# ATHENAEI
# DEIPNOSOPHISTAE

E RECOGNITIONE

AUGUSTI MEINEKE

---

VOL. II

CONTINENS LIB. VII—XII

Acc. 93.902.

BIBLIOTH: ACADEM: DORPAT:

LIPSIAE
IN AEDIBUS B. G. TEUBNERI
MDCCCLVIII

LIPSIAE TYPIS B. G. TEUBNERI.

# Z

275 Ἐπιτελουμένου δὲ ἤδη τοῦ δείπνου, τῶν φαγη-
σίων ἑορτὴν συντελεῖσθαι νομίσαντες οἱ κυνικοὶ πάν-
των μᾶλλον ηὐφραίνοντο, καὶ ὁ Κύνουλκος ἔφη, ἕως
ἡμεῖς δειπνοῦμεν, ὦ Οὐλπιανέ, λόγοις γὰρ ἑστιᾷ,
προβάλλω σοι παρὰ τίνι εἴρηται φαγήσια ἑορτὴ καὶ
φαγησιπόσια. καὶ ὃς ἀπορηθεὶς ἐπισχεῖν τε κελεύσας
τοὺς παῖδας τὴν περιφοράν, καίτοι ἤδη οὔσης ἑσπέ-
ρας, οὐ συμπεριφέρομαι, ὦ σοφώτατε. ὥστε λέγειν
b σοὶ καιρός, ἵνα μᾶλλον καὶ δειπνήσῃς ἥδιον. καὶ ὅς,
εἰ χάριν ὁμολογήσειας μαθών, λέξω. ὁμολογήσαντος
δ' ἔφη, Κλέαρχος Ἀριστοτέλους μαθητής, Σολεὺς δὲ
τὸ γένος, ἐν τῷ προτέρῳ περὶ γρίφων, κρατῶ γὰρ καὶ
τῆς λέξεως διὰ τὸ σφόδρα μοι εἶναι προσφιλῆ, οὑ-
τωσί πως εἴρηκε· φαγήσια, οἱ δὲ φαγησιπόσια προσ-
αγορεύουσι τὴν ἑορτήν. ἐξέλιπε δὲ αὕτη, καθάπερ ἡ
τῶν ῥαψῳδῶν, ἣν ἦγον κατὰ τὴν τῶν Διονυσίων, ἐν
ᾗ παριόντες ἕκαστοι τῷ θεῷ οἷον τιμὴν ἀπετέλουν
τὴν ῥαψῳδίαν.' ταῦτ' εἶπεν ὁ Κλέαρχος. εἰ δ' ἀπι-
στεῖς, ὦ ἑταῖρε, καὶ τὸ βιβλίον κεκτημένος οὐ φθο-
276 νήσω σοί· ἀφ' οὗ πολλὰ ἐκμαθὼν εὐπορήσεις προ-
βλημάτων. καὶ γὰρ Καλλίαν ἱστορεῖ τὸν Ἀθηναῖον
γραμματικὴν συνθεῖναι τραγῳδίαν, ἀφ' ἧς ποιῆσαι
τὰ μέλη καὶ τὴν διάθεσιν Εὐριπίδην ἐν Μηδείᾳ καὶ
Σοφοκλέα τὸν Οἰδίπουν.

2. θαυμασάντων δὲ πάντων τὸ εὐπαίδευτον τοῦ

Κυνούλκου ὁ Πλούταρχος, κατὰ τὸ ὅμοιον, ἔφη, καὶ
ἐν Ἀλεξανδρείᾳ τῇ ἐμῇ λαγυνοφόρια ἑορτή τις ἤγετο,
περὶ ἧς ἱστορεῖ Ἐρατοσθένης ἐν τῷ ἐπιγραφομένῳ
συγγράμματι Ἀρσινόη. λέγει δὲ οὕτως "τοῦ Πτολε- b
μαίου κτίζοντος ἑορτὴν καὶ θυσιῶν παντοδαπῶν γένη
καὶ μάλιστα περὶ τὸν Διόνυσον, ἠρώτησεν Ἀρσινόη
τὸν φέροντα τοὺς θαλλοὺς τίνα νῦν ἡμέραν ἄγει καὶ
τίς ἐστὶν ἑορτή. τοῦ δ' εἰπόντος, καλεῖται μὲν λα-
γυνοφόρια, καὶ τὰ κομισθέντα αὐτοῖς δειπνοῦσι κατα-
κλιθέντες ἐπὶ στιβάδων καὶ ἐξ ἰδίας ἕκαστος λαγύ-
νου παρ' αὑτῶν φέροντες πίνουσιν. ὡς δ' οὗτος
ἀπεχώρησεν, ἐμβλέψασα πρὸς ἡμᾶς, συνοίκιά γ',
ἔφη, ταῦτα ῥυπαρά. ἀνάγκη γὰρ τὴν σύνοδον γίνε- c
σθαι παμμιγοῦς ὄχλου, θοίνην ἕωλον καὶ οὐδαμῶς
εὐπρεπῆ παρατιθεμένων. εἰ δὲ τὸ γένος τῆς ἑορτῆς
ἤρεσκεν, οὐκ ἂν ἐκοπίασε δήπου τὰ αὐτὰ ταῦτα πα-
ρασκευάζουσα ἡ βασίλεια καθάπερ ἐν τοῖς χουσίν.
εὐωχοῦνται μὲν γὰρ κατ' ἰδίαν, παρέχει δὲ ταῦτα ὁ
καλέσας ἐπὶ τὴν ἑστίασιν."

3. τῶν δὲ παρόντων γραμματικῶν τις ἀποβλέψας
εἰς τὴν τοῦ δείπνου παρασκευὴν ἔφη, εἶτα πῶς δει-
πνήσομεν τοσαῦτα δεῖπνα; ἴσως διὰ νυκτός, ὡς ὁ χα-
ρίεις Ἀριστοφάνης ἐν Αἰολοσίκωνι εἶπεν, οὕτως λέ- d
γων οἱονεὶ δι' ὅλης νυκτός· ὡς καὶ τὸ ὁμηρικὸν ἔχει

κεῖτ' ἔντοσθ' ἄντροιο τανυσσάμενος διὰ μήλων,

ἀντὶ διὰ πάντων τῶν μήλων, τὸ μέγεθος αὐτοῦ ἐμ-
φανίζον. πρὸς ὃν ὁ ἰατρὸς ἔφη Δάφνος, ὠφελιμώ-
τερά ἐστι, φίλτατε, τῷ παντὶ σώματι τὰ νυκτερινὰ
δεῖπνα. τὸ γὰρ τῆς σελήνης ἄστρον πρὸς τὰς τῆς τρο-
φῆς ἁρμόττει πέψεις σηπτικὸν ὑπάρχον· κατὰ σῆψιν
δ' ἡ πέψις. εὐσηπτότερα γοῦν τὰ νύκτωρ θυόμενα
τῶν ἱερείων καὶ τῶν ξύλων τὰ πρὸς τὸ σελήνιον κο- e

πτόμενα, καὶ τῶν καρπῶν δὲ οἱ πλεῖστοι πρὸς τὸ σελήνιον πεπαίνονται.

4. πολλῶν δὲ ὄντων καὶ διαφόρων τῶν παρεσκευασμένων καὶ ἀεὶ παρασκευαζομένων ἰχθύων μεγέθει τε καὶ ποικιλίᾳ ὁ Μυρτίλος ἔφη, εἰκότως, ἄνδρες φίλοι, πάντων τῶν προσοψημάτων ὄψων καλουμένων, ἐξενίκησεν ὁ ἰχθὺς διὰ τὴν ἐξαίρετον ἐδωδὴν
f μόνος οὕτως καλεῖσθαι, διὰ τοὺς ἐπιμανῶς ἐσχηκότας πρὸς ταύτην τὴν ἐδωδήν. λέγομεν γοῦν ὀψοφάγους οὐ τοὺς βόεια ἐσθίοντας, οἷος ἦν Ἡρακλῆς, ὃς τοῖς βοείοις κρέασιν ἐπήσθιε σῦκα χλωρά· οὐδὲ τὸν φιλόσυκον, οἷος ἦν Πλάτων ὁ φιλόσοφος, ὡς ἱστορεῖ Φανόκριτος ἐν τῷ περὶ Εὐδόξου (ἱστορεῖ δ' ὅτι καὶ Ἀρκεσίλας φιλόβοτρυς ἦν), ἀλλὰ τοὺς περὶ τὴν ἰχθυοπωλίαν ἀναστρεφομένους. φιλόμηλοι δ' ἦσαν Φίλιππός τε ὁ Μακεδὼν καὶ ὁ υἱὸς αὐτοῦ Ἀλέξανδρος, ὡς
277 Δωρόθεός φησιν ἐν τῇ ἕκτῃ τῶν περὶ Ἀλέξανδρον ἱστοριῶν. Χάρης δ' ὁ Μυτιληναῖος ἱστορεῖ ὡς κάλλιστα μῆλα εὑρὼν ὁ Ἀλέξανδρος περὶ τὴν Βαβυλωνίαν χώραν τούτων τε πληρώσας τὰ σκάφη μηλομαχίαν ἀπὸ τῶν νεῶν ἐποιήσατο, ὡς τὴν θέαν ἡδίστην γενέσθαι. οὐκ ἀγνοῶ δὲ ὅτι ὄψον κυρίως καλεῖται πᾶν τὸ πυρὶ κατασκευαζόμενον εἰς ἐδωδήν. ἤτοι γὰρ ἑψόν ἐστιν ἢ παρὰ τὸ ὠπτῆσθαι ὠνόμασται.

5. πολλῶν οὖν ὄντων τῶν ἰχθύων, οὓς κατὰ τὰς ἑκάστας ὥρας ἐνδαινύμεθα, ὦ θαυμασιώτατε Τιμόκρατες· κατὰ γὰρ τὸν Σοφοκλέα

b χορὸς δ' ἀναύδων ἰχθύων ἐπερρόθει,
σαίνοντες οὐραίοισι

οὐ τὴν κεκτημένην, ἀλλὰ τὰς λοπάδας· καὶ κατὰ τὰς Ἀχαιοῦ δὲ Μοίρας

πολὺς δ' ὅμιλος ποντίου κύκλου σοβῶν,

ἐνάλιος θεωρία,
χραίνοντες οὐραίοισιν εὐδίαν ἁλός.

ἀπομνημονεύσω δέ σοι ἃ περὶ ἑκάστου ἔλεξαν οἱ δειπνοσοφισταί. πάντες γὰρ συνεισήνεγκαν εἰς αὐτοὺς τὰς ἐκ βιβλίων συμβολάς, ὧν τὰ ὀνόματα διὰ τὸ πλῆ- c θος παραλείψω.

[ὅστις ἀγοράζων ὄψον,
ἐξὸν ἀπολαύειν ἰχθύων ἀληθινῶν,
ῥαφανῖδας ἐπιθυμεῖ πρίασθαι μαίνεται,

φησὶν Ἄμφις ἐν Λευκαδίᾳ.] ἵνα δὲ εὐμνημόνευτά σοι γένηται τὰ λεχθέντα, κατὰ στοιχεῖον τάξω τὰ ὀνόματα. καὶ δὴ Σοφοκλέους εἰπόντος ἐν Αἴαντι μαστιγοφόρῳ τοὺς ἰχθῦς ἐλλούς,

ἐφῆκεν ἐλλοῖς ἰχθύσιν διαφθοράν,

ἐζήτησέ τις εἰ καὶ τῶν πρὸ αὐτοῦ τις τῷ ὀνόματι κέχρηται. πρὸς ὃν ὁ Ζωίλος ἔφη, ἐγὼ δὲ οὐκ ὢν ὀψοφαγίστατος (οὕτω γὰρ Ξενοφῶν ὠνόμασεν ἐν Ἀπο- d μνημονεύμασι γράφων οὕτως 'ὀψοφαγίστατός τε καὶ βλακίστατός ἐστιν') οἶδα ὅτι ὁ τὴν Τιτανομαχίαν ποιήσας, εἴτ' Εὔμηλός ἐστιν ὁ Κορίνθιος ἢ Ἀρκτῖνος ἢ ὅστις δήποτε χαίρει ὀνομαζόμενος, ἐν τῷ δευτέρῳ οὕτως εἴρηκεν

ἐν δ' αὐτῇ πλωτοὶ χρυσώπιδες ἰχθύες ἐλλοὶ
νήχοντες παίζουσι δι' ὕδατος ἀμβροσίοιο.

ἔχαιρε δ' ὁ Σοφοκλῆς τῷ ἐπικῷ κύκλῳ, ὡς καὶ ὅλα e δράματα ποιῆσαι κατακολουθῶν τῇ ἐν τούτῳ μυθοποιίᾳ.

6. παρατεθεισῶν οὖν ἀμιῶν ἔφη τις, ταύτας Ἀριστοτέλης ἱστορεῖ τὰ μὲν βραγχία ἔχειν καλυπτά, εἶναι δὲ καρχαρόδοντας καὶ τῶν συναγελαζομένων καὶ σαρκοφάγων, χολήν τε ἔχειν ἰσομήκη τῷ ἐντέρῳ καὶ σπλῆνα ὁμοίως. λέγεται δὲ ὡς θηρευθεῖσαι

προσανάλλονται καὶ ἀποτρώγουσαι τὴν ὁρμιὰν ἐκ-
f φεύγουσιν. μνημονεύει δ' αὐτῶν Ἄρχιππος ἐν Ἰχθύσι λέγων οὕτως

ὅτε δ' ἦσθες ἀμίας παχείας.

καὶ Ἐπίχαρμος δ' ἐν Σειρῆσι

πρωὶ μέν γ' ἀτενὲς ἀπ' ἀοῦς ἀφύας ἀποπυρίζομες
στρογγύλας καὶ δελφακίνας ὀπτὰ κρέα καὶ πωλύπους·
καὶ γλυκύν γ' ἐπ' ὧν ἐπίομες οἶνον. Β. οἴμοι μοι τάλας.
περὶ σᾶμά με καλοῦσα κατίσκα λέγοι, φοῦ τῶν κακῶν.
278 Α. ὃ καὶ παρὰ τρίγλας τε καὶ πάχηα κἀμίαι δύο
διατετμαμέναι μέσαι, φάσσαι τε τοσσαῦται παρῆν,
σκορπίοι τε.

Ἀριστοτέλης δὲ παρετυμολογῶν αὐτῆς τοὔνομά φησιν ὠνομάσθαι παρὰ τὸ ἅμα ἰέναι ταῖς παραπλησίαις· ἔστι γὰρ συναγελαστική. Ἱκέσιος δ' ἐν τοῖς περὶ ὕλης εὐχύλους μὲν αὐτὰς εἶναι καὶ ἁπαλάς, πρὸς δὲ τὰς ἐκκρίσεις μέσας, ἧσσον δὲ τροφίμους.

7. ὁ δὲ ὀψοδαίδαλος Ἀρχέστρατος ἐν τῇ Γαστρολογίᾳ (οὕτως γὰρ ἐπιγράφεσθαί φησι Λυκόφρων ἐν
b τοῖς περὶ κωμῳδίας, ὡς τὴν Κλεοστράτου τοῦ Τενεδίου Ἀστρολογίαν) περὶ τῆς ἀμίας φησὶν οὕτως

τὴν δ' ἀμίαν φθινοπώρου, ὅταν πλειὰς καταδύνῃ,
πάντα τρόπον σκεύαζε. τί σοι τάδε μυθολογεύω;
οὐ γὰρ μὴ σὺ διαφθείρῃς γ', οὐδ' ἂν ἐπιθυμῇς.
εἰ δ' ἐθέλεις καὶ τοῦτο δαήμεναι, ὦ φίλε Μόσχε,
ὅντινα χρή σε τρόπον κείνην διαθεῖναι ἄριστα·
c ἐν συκῆς φύλλοις καὶ ὀριγάνῳ οὐ μάλα πολλῇ·
μὴ τυρόν, μὴ λῆρον. ἁπλῶς δ' οὕτως θεραπεύσας
ἐν συκῆς φύλλοις σχοίνῳ κατάδησον ἄνωθεν.

εἶθ᾽ ὑπὸ θερμὴν ὦσον ἔσω σποδόν, ἐν φρεσὶ καιρὸν
γιγνώσκων, ὁπότ᾽ ἔστ᾽ ὀπτή, καὶ μὴ κατακαύσῃς.
ἔστω δ᾽ αὐτή σοι Βυζαντίου ἐξ ἐρατεινοῦ,
εἴπερ ἔχειν ἀγαθὴν ἐθέλεις. κἂν ἐγγὺς ἁλῷ που
τοῦδε τόπου, κεδνὴν λήψει. τηλοῦ δὲ θαλάσσης
ἑλλησποντιάδος χείρων· κἂν κλεινὸν ἀμείψῃς d
αἰγαίου πελάγους ἔναλον πόρον, οὐκ ἔθ᾽ ὁμοία
γίγνεται, ἀλλὰ καταισχύνει τὸν πρόσθεν ἔπαινον.

8. οὗτος ὁ Ἀρχέστρατος ὑπὸ φιληδονίας γῆν πᾶσαν καὶ θάλασσαν περιῆλθεν ἀκριβῶς, ἐμοὶ δοκεῖ, τὰ πρὸς γαστέρα ἐπιμελῶς ἐξετάσαι βουληθείς, καὶ ὥσπερ οἱ τὰς περιηγήσεις καὶ τοὺς περίπλους ποιησάμενοι μετ᾽ ἀκριβείας ἐθέλει πάντ᾽ ἐκτίθεσθαι, ὅπου ἐστὶν ἕκαστον κάλλιστον βρωτόν τε ποτόν τε. τοῦτο γὰρ αὐτὸς ἐν τῷ προοιμίῳ ἐπαγγέλλεται τῶν καλῶν e τούτων ὑποθηκῶν ὧν πρὸς τοὺς ἑταίρους ποιεῖται Μόσχον τε καὶ Κλέανδρον, ὥσπερ ὑποτιθέμενος αὐτοῖς κατὰ τὴν Πυθίαν ζητεῖν

ἵππον θεσσαλικήν, λακεδαιμονίην τε γυναῖκα,
ἄνδρας δ᾽ οἳ πίνουσιν ὕδωρ καλῆς Ἀρεθούσης.

Χρύσιππος δ᾽ αὐτὸν ὁ ὄντως φιλόσοφος καὶ περὶ πάντ᾽ ἀνὴρ ἀρχηγὸν Ἐπικούρῳ φησὶ γενέσθαι καὶ τοῖς τὰ τούτου ἐπισταμένοις τῆς πάντα διαλυμηναμένης ἡδονῆς. f καὶ γὰρ οὐκ ἐγκαλυπτόμενος ὁ Ἐπίκουρος λέγει, ἀλλὰ μεγάλῃ τῇ φωνῇ 'οὐ γὰρ ἔγωγε δύναμαι νοῆσαι τἀγαθὸν ἀφελὼν μὲν τὴν διὰ χυλῶν, ἀφελὼν δὲ τὴν δι᾽ ἀφροδισίων ἡδονήν.' οἴεται γὰρ οὗτος ὁ σοφὸς καὶ τὸν ἀσώτων βίον ἀνεπίληπτον εἶναι, εἴπερ αὐτῷ προσγένοιτο τὸ ἀδεὲς καὶ ἵλεων. διὸ καὶ οἱ τῆς κωμῳδίας ποιηταὶ κατατρέχοντές που τῆς ἡδονῆς καὶ ἀκρασίας ἐπικούρους καὶ βοηθοὺς βοῶσιν.

9. Βάτων μὲν ἐν Συνεξαπατῶντι δυσχεραίνοντα 279

ποιήσας πατέρα τῷ τοῦ υἱοῦ παιδαγωγῷ καὶ λέγοντα

ἀπολώλεκας τὸ μειράκιόν μου παραλαβών,
ἀκάθαρτε, καὶ πέπεικας ἐλθεῖν εἰς βίον
ἀλλότριον αὐτοῦ, καὶ πότους ἑωθινοὺς
πίνει διὰ σὲ νῦν πρότερον οὐκ εἰθισμένον.
Β. εἶτ᾽ εἰ μεμάθηκε, δέσποτα, ζῆν ἐγκαλεῖς;
Α. ζῆν δὲ τὸ τοιοῦτον; Β. ὡς λέγουσιν οἱ σοφοί.
ὁ γοῦν Ἐπίκουρός φησιν εἶναι τἀγαθὸν
τὴν ἡδονὴν δήπουθεν· οὐκ ἔστιν δ᾽ ἔχειν
b ταύτην ἑτέρωθεν· ἐκ δὲ τοῦ ζῆν παγκάλως
εὔσως ἅπαντας ἦ τυχὸν δώσεις ἐμοί.
Α. ἑόρακας οὖν φιλόσοφον εἶπέ μοί τινα
μεθύοντ᾽ ἐπὶ τούτοις θ᾽ οἷς λέγεις κηλούμενον;
Β. ἅπαντας. οἱ γὰρ τὰς ὀφρῦς ἐπηρκότες
καὶ τὸν φρόνιμον ζητοῦντες ἐν τοῖς περιπάτοις
καὶ ταῖς διατριβαῖς ὥσπερ ἀποδεδρακότα
οὕτως, ἐπὰν γλαυκίσκος αὐτοῖς παρατεθῇ,
ἴσασιν οὗ δεῖ πρῶτον ἅψασθαι τόπου
c καὶ τὴν κεφαλὴν ζητοῦσιν ὥσπερ πράγματος,
ὥστ᾽ ἐκπεπλῆχθαι πάντας.

καὶ ἐν τῷ Ἀνδροφόνῳ δὲ ἐπιγραφομένῳ ὁ αὐτὸς Βάτων διαπαίξας τινὰ τῶν ἐπιεικῶν φιλοσόφων ἐπιφέρει

ἐξὸν γυναῖκ᾽ ἔχοντα κατακεῖσθαι καλὴν
καὶ λεσβίου χυτρῖδε λαμβάνειν δύο·
ὁ φρόνιμός ἐστι τοῦτο, τοῦτο τἀγαθόν.
Ἐπίκουρος ἔλεγε ταῦθ᾽ ἃ νῦν ἐγὼ λέγω.
εἰ τοῦτον ἔζων πάντες ὃν ἐγὼ ζῶ βίον,
d οὔτ᾽ ἄτοπος ἦν ἂν οὔτε μοιχὸς οὐδὲ εἷς.

Ἡγήσιππος δ᾽ ἐν Φιλεταίροις

Ἐπίκουρος ὁ σοφὸς ἀξιώσαντός τινος
εἰπεῖν πρὸς αὐτὸν ὅ τι ποτ᾽ ἐστὶ τἀγαθόν,

ὃ διὰ τέλους ζητοῦσιν, εἶπεν ἡδονήν.
εὖ γ', ὦ κράτιστ' ἄνθρωπε καὶ σοφώτατε·
τοῦ γὰρ μασᾶσθαι κρεῖττον οὐκ ἔστ' οὐδὲ ἓν
ἀγαθόν· πρόσεστιν ἡδονῇ γὰρ τἀγαθόν.

10. ἀσπάζονται δὲ οὐ μόνον οἱ ἐπικούρειοι τὴν ἡδονήν, ἀλλὰ καὶ οἱ κυρηναϊκοὶ καὶ μνησιστράτειοι δὲ καλούμενοι. καὶ γὰρ οὗτοι ζῆν μὲν ἡδέως χαίρου- e σιν, ὥς φησι Ποσειδώνιος. οὐ μακρὰν δὲ τούτων ἦν καὶ Σπεύσιππος ὁ Πλάτωνος ἀκουστὴς καὶ συγγενής. Διονύσιος γοῦν ὁ τύραννος ἐν ταῖς πρὸς αὐτὸν ἐπιστολαῖς καὶ τὰ τῆς φιληδονίας αὐτοῦ διεξερχόμενος, ἔτι δὲ τῆς φιλαργυρίας, ἐρανίζεσθαί τε παρὰ πολλῶν αὐτὸν διελέγχων ὀνειδίζει καὶ τὸν Λασθενείας τῆς Ἀρκαδικῆς ἑταίρας ἔρωτα, ἐπὶ πᾶσί τε λέγει τάδε ʽσὺ τισὶ φιλαργυρίαν ὀνειδίζεις, αὐτὸς μηδὲν ἐλλελοιπὼς αἰσχροκερδίας; τί γὰρ οὐ πεποίηκας; οὐχ f ὑπὲρ ὧν Ἑρμείας ὤφειλεν αὐτὸς ἐκτετικὼς ἔρανον συνάγειν ἐπιχειρεῖς;'

11. περὶ δὲ τοῦ Ἐπικούρου Τίμων ἐν τρίτῃ σίλλων φησί

γαστρὶ χαριζόμενος, τῆς οὐ λαμυρώτερον οὐδέν.

ταύτης γὰρ ἕνεκεν ὁ ἀνὴρ καὶ τῆς ἄλλης τῆς κατὰ σάρκα ἡδονῆς ἐκολάκευε καὶ Ἰδομενέα καὶ Μητρόδωρον. καὶ αὐτὸς δέ που ὁ Μητρόδωρος οὐκ ἀποκρυπτόμενος τὰς καλὰς ταύτας θέσεις φησί ʽπερὶ γαστέ- 280 ρα γάρ, ὦ φυσιολόγε Τιμόκρατες, περὶ γαστέρα ὁ κατὰ φύσιν βαδίζων λόγος τὴν ἅπασαν ἔχει σπουδήν.' Ἐπίκουρος γὰρ ἦν ὁ τούτων διδάσκαλος, ὃς καὶ βοῶν ἔλεγεν ʽἀρχὴ καὶ ῥίζα παντὸς ἀγαθοῦ ἡ τῆς γαστρὸς ἡδονή, καὶ τὰ σοφὰ καὶ τὰ περιττὰ εἰς ταύτην ἔχει τὴν ἀναφοράν.' κἀν τῷ περὶ τέλους δέ φησιν οὕτω πως ʽοὐ γὰρ ἔγωγε δύναμαι νοῆσαι τἀγαθὸν ἀφαιρῶν

μὲν τὰς διὰ χυλῶν ἡδονάς, ἀφαιρῶν δὲ τὰς δι' ἀφροδισίων, ἀφαιρῶν δὲ τὰς δι' ἀκροαμάτων, ἀφαιρῶν b δὲ τὰς διὰ μορφῆς κατ' ὄψιν ἡδείας κινήσεις.' καὶ προελθών φησι λέγειν 'τιμητέον τὸ καλὸν καὶ τὰς ἀρετὰς καὶ τὰ τοιουτότροπα, ἐὰν ἡδονὴν παρασκευάζῃ· ἐὰν δὲ μὴ παρασκευάζῃ, χαίρειν ἐατέον.'

12. πρότερος δὲ τοῦ Ἐπικούρου Σοφοκλῆς ὁ τραγῳδιοποιὸς ἐν Ἀντιγόνῃ περὶ τῆς ἡδονῆς τοιαῦτ' εἴρηκεν

τὰς γὰρ ἡδονὰς
ὅταν προδῶσιν ἄνδρες, οὐ τίθημ' ἐγὼ
ζῆν τοῦτον, ἀλλ' ἔμψυχον ἡγοῦμαι νεκρόν.
c πλούτει τε γὰρ κατ' οἶκον, εἰ βούλει, μέγα,
καὶ ζῆ τύραννον σχῆμ' ἔχων, ἐὰν δ' ἀπῇ
τούτων τὸ χαίρειν, τἆλλ' ἐγὼ καπνοῦ σκιᾶς
οὐκ ἂν πριαίμην ἀνδρὶ πρὸς τὴν ἡδονήν.

Φιλέταιρος Κυναγίδι

τί δεῖ γὰρ ὄντα θνητόν, ἱκετεύω, ποιεῖν,
πλὴν ἡδέως ζῆν τὸν βίον καθ' ἡμέραν,
ἐὰν ἔχῃ τις ὁπόθεν; ἀλλὰ δεῖ σκοπεῖν
τοῦτ' αὐτό, τἀνθρώπει' ὁρῶντα πράγματα,
d εἰς αὔριον δὲ μηδὲ φροντίζειν ὅ τι
ἔσται. περίεργόν ἐστιν ἀποκεῖσθαι πάνυ
ἕωλον ἔνδον τἀργύριον.

καὶ ἐν Οἰνοπίωνι δὲ ὁ αὐτός φησι

θνητῶν δ' ὅσοι
ζῶσιν κακῶς, ἔχοντες ἄφθονον βίον,
ἐγὼ μὲν αὐτοὺς ἀθλίους εἶναι λέγω.
οὐ γὰρ θανὼν δήπουθ' ἂν ἔγχελυν φάγοις,
οὐδ' ἐν νεκροῖσι πέττεται γαμήλιος.

13. Ἀπολλόδωρος δ' ὁ Καρύστιος ἐν Γραμματειδιοποιῷ

ὦ πάντες ἄνθρωποι, τί τὸ ζῆν ἡδέως e
παρέντες ἐπιμελεῖσθε τοῦ κακῶς ποιεῖν
πολεμοῦντες ἀλλήλους; πότερα πρὸς τῶν θεῶν
ἐπιστατεῖ τις τοῦ βίου νυνὶ τύχη
ἄγροικος ἡμῶν οὐδὲ παιδείαν ὅλως
εἰδυῖα, τί τὸ κακόν ποτ' ἢ τί τἀγαθὸν
ἔστ' ἀγνοοῦσα παντελῶς, εἰκῇ τέ πως
ἡμᾶς κυλίνδουσ' ὅντιν' ἂν τύχῃ τρόπον;
οἶμαί γε. πῶς γὰρ μᾶλλον ἂν προείλετο
Ἕλλην ἀληθῶς οὖσα λεπομένους ὁρᾶν
αὑτοὺς ὑφ' αὑτῶν καὶ καταπίπτοντας νεκρούς, f
ἐξὸν ἱλαροὺς παίζοντας ὑποπεπωκότας
αὐλουμένους ὡδί; λέγ' αὐτή, γλυκυτάτη,
ἔλεγχ' ἄγροικον οὖσαν ἡμῶν τὴν τύχην.
καὶ προελθών
οὐ τοῦτο τὸ ζῆν ἐστὶ τὸν καλούμενον
θεῶν ἀληθῶς βίον; ὅσῳ δ' ἡδίονα
τὰ πράγματ' ἐν ταῖς πόλεσιν ἦν ἂν ἢ τὰ νῦν,
εἰ μεταβαλόντες τὸν βίον διήγομεν·
πίνειν Ἀθηναίους ἅπαντας, τοὺς μέχρι 281
ἐτῶν τριάκοντ' ἐξιέναι, τοὺς δ' ἱππέας
ἐπὶ κῶμον εἰς Κόρινθον ἡμέρας δέκα
στεφάνους ἔχοντας καὶ μύρον πρὸ ἡμέρας,
τοὺς τὴν ῥάφανον πωλοῦντας ἕψειν Μεγαρέων,
εἰς τὸ βαλανεῖον ἀπιέναι τοὺς συμμάχους,
κεραννύναι τὸν οἶνον Εὐβοῆς· τρυφὴ
καὶ βίος ἀληθῶς. ἀλλ' ἀπαιδεύτῳ τύχῃ
δουλεύομεν. b

14. φιλήδονον δ' οἱ ποιηταὶ καὶ τὸν ἀρχαῖόν φασι γενέσθαι Τάνταλον. ὁ γοῦν τὴν τῶν Ἀτρειδῶν ποιήσας κάθοδον ἀφικόμενον αὐτὸν λέγει πρὸς τοὺς θεοὺς καὶ συνδιατρίβοντα ἐξουσίας τυχεῖν παρὰ τοῦ Διὸς

αἰτήσασθαι ὅτου ἐπιθυμεῖ. τὸν δὲ πρὸς τὰς ἀπολαύσεις ἀπλήστως διακείμενον ὑπὲρ αὐτῶν τε τούτων μνείαν ποιήσασθαι καὶ τοῦ ζῆν τὸν αὐτὸν τρόπον τοῖς θεοῖς. ἐφ' οἷς ἀγανακτήσαντα τὸν Δία τὴν μὲν εὐχὴν ἀποτελέσαι διὰ τὴν ὑπόσχεσιν, ὅπως δὲ μηδὲν
c ἀπολαύῃ τῶν παρακειμένων ἀλλὰ διατελῇ ταραττόμενος, ὑπὲρ τῆς κεφαλῆς ἐξήρτησεν αὐτῷ πέτρον, δι' ὃν οὐ δύναται τῶν παρακειμένων τυχεῖν οὐδενός. καὶ τῶν στωικῶν δέ τινες συνεφήψαντο ταύτης τῆς ἡδονῆς. Ἐρατοσθένης γοῦν ὁ Κυρηναῖος μαθητὴς γενόμενος Ἀρίστωνος τοῦ Χίου, ὃς ἦν εἷς τῶν ἀπὸ τῆς στοᾶς, ἐν τῷ ἐπιγραφομένῳ Ἀρίστωνι παρεμφαίνει τὸν διδάσκαλον ὡς ὕστερον ὁρμήσαντα ἐπὶ τρυ-
d φὴν λέγων ὧδε 'ἤδη δέ ποτε καὶ τοῦτον πεφώρακα τὸν τῆς ἡδονῆς καὶ ἀρετῆς μεσότοιχον διορύττοντα καὶ ἀναφαινόμενον παρὰ τῇ ἡδονῇ.' καὶ Ἀπολλοφάνης δέ, γνώριμος δὲ ἦν καὶ οὗτος τοῦ Ἀρίστωνος, ἐν τῷ Ἀρίστωνι, καὶ αὐτὸς οὕτως ἐπιγράψας τὸ σύγγραμμα, ἐμφανίζει τὴν τοῦ διδασκάλου φιληδονίαν. περὶ δὲ Διονυσίου τοῦ Ἡρακλεώτου τί δεῖ καὶ λέγειν; ὃς ἄντικρυς ἀποδὺς τὸν τῆς ἀρετῆς χιτῶνα ἀνθινὰ μετημφιάσατο καὶ Μεταθέμενος καλούμενος ἔχαιρε,
e καίτοι γηραιὸς ἀποστὰς τῶν τῆς στοᾶς λόγων καὶ ἐπὶ τὸν Ἐπίκουρον μεταπηδήσας. περὶ οὗ οὐκ ἀχαρίτως ὁ Τίμων ἔφη

ἡνίκ' ἐχρῆν δύνειν, νῦν ἄρχεται ἡδύνεσθαι.
ὥρη ἐρᾶν, ὥρη δὲ γαμεῖν, ὥρη δὲ πεπαῦσθαι.

15. Ἀπολλόδωρος ὁ Ἀθηναῖος ἐν τῷ τρίτῳ περὶ Σώφρονος τῷ εἰς τοὺς ἀνδρείους μίμους, προθεὶς τό 'καταπυγοτέραν τ' ἀλφηστᾶν' φησίν 'ἰχθῦς τινὲς οἱ
f ἀλφησταί, τὸ μὲν ὅλον κιρροειδεῖς, πορφυρίζοντες δὲ κατά τινα μέρη. φασὶ δ' αὐτοὺς ἁλίσκεσθαι σύνδυο

καὶ φαίνεσθαι τὸν ἕτερον ἐπὶ τῷ ἑτέρῳ κατ' οὐρὰν ἑπόμενον. ἀπὸ τοῦ οὖν κατὰ τὴν πυγὴν θατέρῳ τὸν ἕτερον ἀκολουθεῖν τῶν ἀρχαίων τινὲς τοὺς ἀκρατεῖς καὶ καταφερεῖς οὕτω καλοῦσιν.' Ἀριστοτέλης δ' ἐν τῷ περὶ ζῴων μονάκανθον εἶναι καὶ κιρρὸν τὸν ἀλφηστικόν. μνημονεύει δ' αὐτοῦ καὶ Νουμήνιος ὁ Ἡρακλεώτης ἐν Ἁλιευτικῷ οὕτως 282

φυκίδας ἀλφηστήν τε καὶ ἐν χροιῇσιν ἐρυθρὸν
σκορπίον.

καὶ Ἐπίχαρμος ἐν Ἥβας γάμῳ

μύες ἅμ' ἀλφησταί τε κορακῖνοί τε κοριοειδέες.

μνημονεύει δ' αὐτοῦ καὶ Μίθαικος ἐν Ὀψαρτυτικῷ.

16. ΑΝΘΙΑΣ, κάλλιχθυς. τούτου μέμνηται Ἐπίχαρμος ἐν Ἥβας γάμῳ

καὶ σκιφίας χρόμιός θ', ὃς ἐν τῷ ἦρι καττὸν Ἀνάνιον b
ἰχθύων πάντων ἄριστος, ἀνθίας δὲ χείματι.

λέγει δὲ Ἀνάνιος οὕτως

ἔαρι μὲν χρόμιος ἄριστος, ἀνθίας δὲ χειμῶνι.
τῶν καλῶν δ' ὄψων ἄριστον καρὶς ἐκ συκέης φύλλου.
ἡδὺ δ' ἐσθίειν χιμαίρης φθινοπωρισμῷ κρεῖας·
δέλφακος δ', ὅταν τραπέωσι καὶ πατέωσιν, ἐσθίειν.
καὶ κυνῶν αὖ τῆμος ὥρη καὶ λαγῶν κἀλωπήκων·
ὄϊος αὖτ' ὅταν θέρος τ' ᾖ κἠχέται βαβράζωσιν.
εἶτα δ' ἐστὶν ἐκ θαλάσσης θύννος οὐ κακὸν βρῶμα,
ἀλλὰ πᾶσιν ἰχθύεσσιν ἐμπρεπὴς ἐν μυττωτῷ.
βοῦς δὲ πιανθείς, δοκέω μέν, καὶ μεσέων νυκτῶν ἡδὺς c
κἠμήρης.

τῶν τοῦ Ἀνανίου πλεόνων ἐμνημόνευσα νομίζων καὶ τούτων ὑποθήκας τοῖς λάγνοις ταύτας ἐκτεθήσεσθαι.

17. Ἀριστοτέλης δ' ἐν τῷ περὶ ζῴων ἠθῶν 'ὅπου ἂν ἀνθίας ᾖ (φησὶν) οὐκ ἔστι θηρίον. ᾧ σημείῳ χρώμενοι οἱ σπογγεῖς κατακολυμβῶσι, καλοῦντες αὐτὸν ἱερὸν ἰχθύν.' μνημονεύει δ' αὐτοῦ καὶ Δωρίων ἐν τῷ περὶ ἰχθύων 'τὸν δ' ἀνθίαν τινὲς καὶ κάλλιχθυν
d καλοῦσιν, ἔτι δὲ καλλιώνυμον καὶ ἔλοπα.' Ἱκέσιος δ' ἐν τοῖς περὶ ὕλης ὑπὸ μὲν τινῶν λύκον ὑπὸ δ' ἄλλων καλλιώνυμον. εἶναι δ' αὐτὸν χονδρώδη καὶ εὔχυλον καὶ εὐέκκριτον, οὐκ εὐστόμαχον δέ. Ἀριστοτέλης δὲ καὶ καρχαρόδοντα εἶναι τὸν κάλλιχθυν σαρκοφάγον τε καὶ συναγελαζόμενον. Ἐπίχαρμος δ' ἐν Μούσαις τὸν μὲν ἔλοπα καταριθμεῖται, τὸν δὲ κάλλιχθυν ἢ καλλιώνυμον ὡς τὸν αὐτὸν ὄντα σεσίγηκεν. λέγει δὲ περὶ τοῦ ἔλοπος οὕτως

τόν τε πολυτίματον ἔλοπα, ὁ δ' αὐτὸς χαλκὸς ὤνιος,
ἕνα μόνον, καὶ κῆνον ὁ Ζεὺς ἔλαβε κἠκελήσατο
e κατθέμεν αὐτῷ τέ οἱ καὶ τᾷ δάμαρτι θωτέρω.

Δωρίων δ' ἐν τῷ περὶ ἰχθύων διαφέρειν φησὶν ἀνθίαν καὶ κάλλιχθυν, ἔτι δὲ καλλιώνυμον καὶ ἔλοπα.

18. τί δ' ἐστὶν ὁ καλούμενος ἱερὸς ἰχθύς; ὁ μὲν τὴν Τελχινιακὴν ἱστορίαν συνθείς, εἴτ' Ἐπιμενίδης ἐστὶν ὁ Κρὴς ἢ Τηλεκλείδης εἴτ' ἄλλος τις, ἱερούς φησιν εἶναι ἰχθύας δελφῖνας καὶ πομπίλους. ἔστι δ'
f ὁ πομπίλος ζῷον ἐρωτικόν, ὡς ἂν καὶ αὐτὸς γεγονὼς ἐκ τοῦ οὐρανίου αἵματος ἅμα τῇ Ἀφροδίτῃ. Νίκανδρος δ' ἐν δευτέρῳ Οἰταϊκῶν φησι

πομπίλος, ὃς ναύτῃσιν ἀδημονέουσι κελεύθους
μηνύει φιλέρωσι καὶ ἄφθογγός περ ἀμύνων.

Ἀλέξανδρος δ' ὁ Αἰτωλὸς ἐν Κίρκᾳ, εἰ γνήσιον τὸ 283 ποιημάτιον,

πηδαλίῳ ἄκρῳ ἔπι πομπίλος ἀνιοχεύων
ἧστ' ἀκάτω κατόπισθε θεοῖς ὕπο πομπίλος ἰχθύς.

Παγκράτης δ' ὁ Ἀρκὰς ἐν τοῖς θαλασσίοις ἔργοις ἐπιγραφομένοις προειπών

πομπίλος ὃν καλέουσιν ἁλίπλοοι ἱερὸν ἰχθύν,

διηγεῖται ὡς οὐ μόνον τῷ Ποσειδῶνι ὁ πομπίλος ἐστὶ διὰ τιμῆς, ἀλλ' ὅτι καὶ τοῖς τὴν Σαμοθρᾴκην κατέχουσι θεοῖς. ἁλιέα γοῦν τινὰ πρεσβύτην τῷ ἰχθῦι b τούτῳ κόλασιν ὑποσχεῖν ἔτι τοῦ χρυσοῦ γένους κατ' ἀνθρώπους ὄντος. ὄνομα δ' ἦν αὐτῷ Ἐπωπεὺς καὶ ἐξ Ἰκάρου ἦν τῆς νήσου. καὶ τοῦτον οὖν ἅμα τῷ υἱῷ ἁλιεύοντα καὶ οὐκ εὐτυχήσαντα ἄλλων ἰχθύων ἐν τῇ ἄγρᾳ ἢ πομπίλων οὐκ ἀποσχέσθαι τῆς τούτων ἐδωδῆς, ἀλλὰ πάντας μετὰ τοῦ υἱοῦ καταθοινηθῆναι καὶ μετ' οὐ πολὺ δίκας ἐκτῖσαι τῆς δυσσεβείας· κῆτος γὰρ ἐπελθὸν τῇ νηὶ τὸν Ἐπωπέα ἐν ὄψει τοῦ παιδὸς καταπιεῖν. ἱστορεῖ δ' ὁ Παγκράτης ὡς καὶ πολέμιός c ἐστιν ὁ πομπίλος τῷ δελφῖνι καὶ ὅτι οὐδ' οὗτος ἀτιμώρητος ἐκφεύγει πομπίλου φαγών. ἀχρεῖος γοῦν γίνεται καὶ σφαδᾴζων, ἐπειδὰν φάγῃ, καὶ ἐπὶ τοὺς αἰγιαλοὺς ἐκκυμανθεὶς βορὰ γίνεται αἰθυίαις τε καὶ λάροις· ἐνίοτε δὲ καὶ ὑπὸ τῶν ταῖς κητείαις παρεδρευόντων ἀνδρῶν παρανομεῖται. μνημονεύει τῶν πομπίλων καὶ Τιμαχίδας ὁ Ῥόδιος ἐν τῷ ἐνάτῳ τοῦ Δείπνου

κωβιοὶ εἰνάλιοι καὶ πομπίλοι ἱεροὶ ἰχθῦς,

Ἤριννά τε ἢ ὁ πεποιηκὼς τὸ εἰς αὐτὴν ἀναφερόμενον d ποιημάτιον,

πομπίλε, ναύτῃσιν πέμπων πλόον εὔπλοον ἰχθύ,

πομπεύσας πρύμναθεν ἐμὰν ἄδεῖαν ἑταίραν.

19. Ἀπολλώνιος δ' ὁ Ῥόδιος ἢ Ναυκρατίτης ἐν Ναυκράτεως κτίσει τὸν πομπίλον φησὶν ἄνθρωπον πρότερον ὄντα μεταβαλεῖν εἰς ἰχθὺν διά τινα Ἀπόλ-
e λωνος ἔρωτα. τὴν γὰρ Σαμίων πόλιν παραρρεῖν ποταμὸν Ἴμβρασον,

τῷ ῥά ποτ' Ὠκυρόην νύμφην, περικαλλέα κούρην,
Χησιὰς εὐπατέρεια τέκεν φιλότητι μιγεῖσα,
Ὠκυρόην, ᾗ κάλλος ἀπείριτον ὤπασαν Ὧραι.

ταύτης οὖν ἐρασθέντα Ἀπόλλωνα ἐπιχειρῆσαι ἁρπάσαι. διαπεραιωθεῖσαν δ' εἰς Μίλητον κατά τινα Ἀρτέμιδος ἑορτὴν καὶ μέλλουσαν ἁρπάζεσθαι εὐλαβηθεῖσαν, Πομπίλον τινὰ θαλασσουργὸν ἄνθρωπον
f καθικετεῦσαι ὄντα πατρῷον φίλον, ὅπως αὐτὴν εἰς τὴν πατρίδα διασώσῃ, λέγουσαν τάδε

πατρὸς ἐμοῖο φίλου συμφράδμονα θυμὸν ἀέξων,
Πομπίλε, δυσκελάδου δεδαὼς θοὰ βένθεα πόντου,
σῶζέ με·

καὶ τὸν εἰς τὴν ἀκτὴν διαγαγόντα αὐτὴν διαπεραιοῦν, ἐπιφανέντα δὲ τὸν Ἀπόλλωνα τήν τε κόρην ἁρπάσαι καὶ τὴν ναῦν ἀπολιθώσαντα τὸν Πομπίλον εἰς τὸν ὁμώνυμον ἰχθὺν μεταμορφῶσαι ποιῆσαί τε τὸν

284 πομπίλον ὠκυάλων νηῶν αἰήονα φρουρόν.

20. Θεόκριτος δ' ὁ Συρακόσιος ἐν τῇ ἐπιγραφομένῃ Βερενίκῃ τὸν λεῦκον ὀνομαζόμενον ἰχθὺν ἱερὸν καλεῖ διὰ τούτων

καἴ τις ἀνὴρ αἰτεῖται ἐπαγροσύνην τε καὶ ὄλβον,
ἐξ ἁλὸς ᾧ ζωή, τὰ δὲ δίκτυα κείνῳ ἄροτρα,
σφάζων ἀκρόνυχος ταύτῃ θεῷ ἱερὸν ἰχθύν,

ὃν λεῦκον καλέουσιν, ὃ γὰρ φιερώτατος ἄλλων,
καί κε λίνα στήσαιτο καὶ ἐξερύσαιτο θαλάσσης b
ἔμπλεα.

Διονύσιος δ' ὁ ἐπικαλούμενος Ἴαμβος ἐν τῷ περὶ διαλέκτων γράφει οὕτως 'ἀκηκόαμεν γοῦν ἁλιέως Ἐρετρικοῦ τὸν ἱερὸν ἰχθὺν καὶ ἄλλων πολλῶν ἁλιέων καλούντων τὸν πομπίλον. ἔστι δὲ πελάγιος καὶ παρὰ τὰς ναῦς πυκνὰ φαίνεται, ἐοικὼς πηλαμύδι, ποικίλος. τὸν δ' οὖν ἰχθύν τις παρὰ τῷ ποιητῇ ἕλκει

ἀκτῇ ἐπὶ προβλῆτι καθήμενος ἱερὸν ἰχθύν· c

εἰ μὴ ἄλλος τίς ἐστιν οὕτω καλούμενος ἱερὸς ἰχθύς. Καλλίμαχος δ' ἐν Γαλατείᾳ τὸν χρύσοφρυν

ἢ μᾶλλον χρύσειον ἐπ' ὀφρύσιν ἱερὸν ἰχθύν,
ἢ πέρκας ὅσα τ' ἄλλα φέρει βυθὸς ἄσπετος
ἅλμης.

ἐν δὲ τοῖς ἐπιγράμμασιν ὁ αὐτὸς ποιητής φησιν 'ἱερὸς δέ τοι, ἱερὸς ὕκης.' ἄλλοι δ' ἀκούουσιν ἱερὸν ἰχθὺν τὸν ἄνετον, ὡς καὶ ἱερὸν βοῦν τὸν ἄνετον· οἱ δὲ τὸν μέγαν ὡς ἱερὸν μένος Ἀλκινόοιο. τινὲς δὲ τὸν ἱέμε- d
νον πρὸς τὸν ῥοῦν.'

21. Κλείταρχος δ' ἐν ἑβδόμῃ Γλωσσῶν 'οἱ ναυτικοὶ (φησὶ) πομπίλον ἱερὸν ἰχθὺν προσαγορεύουσι διὰ τὸ ἐκ πελάγους προπέμπειν τὰς ναῦς ἕως εἰς λιμένας· διὸ καὶ πομπίλον καλεῖσθαι, χρύσοφρυν ὄντα.' καὶ Ἐρατοσθένης δ' ἐν Ἑρμῇ φησίν

ἄγρης μοῖραν ἔλειπον, ἔτι ζώοντας ἰούλους,
ἠὲ γενειῆτιν τρίγλην, ἢ περκάδα κίχλην,
ἢ δρομίην χρύσειον ἐπ' ὀφρύσιν ἱερὸν ἰχθύν.

ἐκ ταύτης ἡμῶν τῆς ὀψολογίας ὁ καλὸς Οὐλπιανὸς e
ζητείτω κατὰ τί Ἀρχέστρατος ἐν ταῖς καλαῖς ὑποθήκαις περὶ τῶν ἐν βοσπόρῳ ταρίχων εἰπών

βοσπόρου ἐκπλεύσαντα τὰ λευκότατ', ἀλλὰ προσέστω
μηδὲν ἐκεῖ στερεᾶς σαρκὸς μαιώτιδι λίμνῃ
ἰχθύος αὐξηθέντος, ὃν ἐν μέτρῳ οὐ θέμις εἰπεῖν.

τίς οὗτός ἐστιν ὅν φησιν οὐ θεμιτὸν εἶναι ἐμμέτρως εἰπεῖν;

f 22. ΑΦΥΑΙ. καὶ ἑνικῶς δὲ ἀφύην λέγουσιν. Ἀριστώνυμος Ἡλίῳ ῥιγῶντι 'ὥστ' οὔτ' ἀφύη νῦν ἐστιν ἁπλῶς.' τῆς δ' ἀφύης ἐστὶ γένη πλείω. καὶ ἡ μὲν ἀφρῖτις λεγομένη οὐ γίνεται ἀπὸ γόνου, ὥς φησιν Ἀριστοτέλης, ἀλλ' ἐκ τοῦ ἐπιπολάζοντος τῇ θαλάσσῃ ἀφροῦ, ὅταν ὄμβρων γενομένων πολλῶν σύστασις γένηται. ἑτέρα δ' ἐστὶν ἀφύη ἡ κωβῖτις λεγομένη. γίνεται δ' αὕτη ἐκ τῶν μικρῶν καὶ φαύλων τῶν ἐν τῇ ἄμμῳ διαγενομένων κωβιδίων. καὶ ἐξ αὐτῆς δὲ
285 ταύτης τῆς ἀφύης ἀπογεννῶνται ἕτεραι, αἵτινες ἐγκρασίχολοι καλοῦνται. γίνεται δὲ καὶ ἄλλη ἀφύη ὁ γόνος τῶν μαινίδων, καὶ ἄλλη δὲ ἐκ τῆς μεμβράδος, καὶ ἔτι ἄλλη ἐκ τῶν μικρῶν κεστρέων τῶν ἐκ τῆς ἄμμου καὶ τῆς ἰλύος γινομένων. πάντων δὲ τούτων ἡ ἀφρῖτις ἀρίστη. Δωρίων δ' ἐν τῷ περὶ ἰχθύων κωβίτην τινὰ ἑψητὸν λέγει καὶ τὸν ἐξ ἀθερίνης· ἰχθυδίου δ' ὄνομα ἀθερίνη. εἶναι δέ φησι καὶ τριγλῖτιν ἀφύην. Ἐπίχαρμος δ' ἐν Ἥβας γάμῳ ἐν μεμβράσι καὶ
b καμμάροις τὰς ἀφύας καταριθμεῖται, διαστέλλων τὸν λεγόμενον γόνον. Ἱκέσιος δέ φησι 'τῆς ἀφύης ἣ μὲν λευκὴ καὶ λίαν λεπτὴ καὶ ἀφρώδης, ἣν καλοῦσιν ἔνιοι καὶ κωβῖτιν, ἣ δὲ ῥυπαρωτέρα ταύτης καὶ ἁδροτέρα. διαφέρει δ' ἡ καθαρὰ καὶ λεπτή.' Ἀρχέστρατος δ' ὁ ὀψοδαίδαλός φησι

τὴν ἀφύην μίνθου πᾶσαν πλὴν τὴν ἐν Ἀθήναις·
τὸν γόνον ἐξαυδῶ, τὸν ἀφρὸν καλέουσιν Ἴωνες.

καὶ λαβὲ πρόσφατον αὐτὸν ἐν εὐκόλποιο Φα-
λήρου
ἀγκῶσιν ληφθένθ' ἱεροῖς. κἀν τῇ περικλύστῳ c
ἐστὶ Ῥόδῳ γενναῖος, ἐὰν ἐπιχώριος ἔλθῃ.
ἂν δέ που ἱμείρῃς αὐτοῦ γεύσασθαι, ὁμοῦ χρὴ
κνίδας ὀψωνεῖν, τὰς ἀμφικόμους ἀκαλήφας·
εἰς ταὐτὸν μίξας δ' αὐτὰς ἐπὶ τηγάνου ὄπτα,
εὐώδη τρίψας ἄνθη λαχάνων ἐν ἐλαίῳ.

23. Κλέαρχος δ' ὁ περιπατητικὸς ἐν τοῖς περὶ παροιμιῶν περὶ τῆς ἀφύης φησί 'διὰ τὸ μικροῦ δεῖσθαι πυρὸς ἐν τοῖς τηγάνοις οἱ περὶ Ἀρχέστρατον d ἐπιβάλλοντες κελεύουσιν ἐπὶ θερμὸν τήγανον σίζουσαν ἀφαιρεῖν. ἅμα δ' ἧπται καὶ σίζει καθάπερ τοὔλαιον εὐθύς. διὸ λέγεται, εἶδε πῦρ ἀφύη.' Χρύσιππος δ' ὁ φιλόσοφος ἐν τῷ περὶ τῶν δι' αὑτὰ αἱρετῶν 'τὴν ἀφύην (φησὶ) τὴν μὲν ἐν Ἀθήναις διὰ τὴν δαψίλειαν ὑπερορῶσι καὶ πτωχικὸν εἶναί φασιν ὄψον, ἐν ἑτέραις δὲ πόλεσιν ὑπερθαυμάζουσι πολὺ χείρω γινομένην. εἶθ' οἳ μὲν (φησὶν) ἐνταῦθα τοὺς ἀδριατικοὺς ὄρνιθας τρέφειν σπεύδουσιν ἀχρειοτέρους ὄντας, ὅτι τῶν παρ' ἡμῖν πολὺ ἐλάττους εἰσίν· ἐκεῖνοι δὲ τἀναντία μεταπέμπονται τοὺς ἐνθάδε.' ἐπὶ τοῦ ἑνικοῦ e Ἕρμιππος Δημόταις

νῦν δ' οὐδ' ἀφύην κινεῖν δοκεῖς.

Καλλίας Κύκλωψι

πρὸς τῆς ἀφύης τῆς ἡδίστης.

Ἀριστώνυμος Ἡλίῳ ῥιγῶντι

ὥστ' οὔτ' ἀφύη νῦν ἐστιν ἁπλῶς.

ἀφύδια δ' Ἀριστοφάνης Ταγηνισταῖς

μηδὲ τὰ φαληρικὰ τὰ μικρὰ τάδ' ἀφύδια.

24. Λυγκεὺς δ' ὁ Σάμιος ἐν τῇ πρὸς Διαγόραν ἐπιστολῇ ἐπαινῶν τὰς ῥοδιακὰς ἀφύας κἀντιτιθεὶς

πολλὰ τῶν Ἀθήνησι γινομένων πρὸς τὰ ἐν τῇ Ῥόδῳ f φησί ‘ταῖς μὲν φαληρικαῖς ἀφύαις τὰς αἰνεάτιδας καλουμένας ἀφύας, τῷ δὲ γλαυκίσκῳ τὸν ἔλοπα καὶ τὸν ὄρφον ἀντιπαρατιθεῖσα· πρὸς δὲ τὰς ἐλευσινιακὰς ψήττας καὶ σκόμβρους, καὶ εἴ τις ἄλλος παρ᾽ αὐτοῖς ἰχθὺς ἐπάνω τῇ δόξῃ τοῦ Κέκροπος γέγονεν, ἀντιγεννήσασα τὸν ἀλώπεκα καλούμενον. ὁ δὲ τὴν ἡδυπάθειαν γράψας παρακελεύεται τῷ μὴ δυναμένῳ τιμῇ κατεργάσασθαι τὴν ἐπιθυμίαν, ἀδικίᾳ κτήσασθαι τὴν 286 ὀψοφαγίαν.’ Ἀρχέστρατον λέγει τὸν τένθην ὁ Λυγκεύς, ὃς ἐν τῷ πολυθρυλήτῳ ποιήματι περὶ τοῦ γαλεοῦ λέγει οὕτως

ἐν δὲ Ῥόδῳ γαλεὸν τὸν ἀλώπεκα, κἂν ἀποθνήσκειν
μέλλῃς, ἂν μή σοι πωλεῖν θέλῃ, ἅρπασον αὐτόν·
ὃν καλέουσι Συρακόσιοι κύνα πίονα. κᾆτα
ὕστερον ἤδη πάσχ᾽ ὅ τί σοι πεπρωμένον ἐστίν.

25. ΑΧΑΡΝΟΣ. Καλλίας Κύκλωψι

b κίθαρος ὀπτὸς καὶ βατὶς θύννου τε κεφάλαιον τοδί,
ἐγχέλεια κάραβοι λινεὺς ἄχαρνος οὑτοσί.

26. ΒΑΤΙΣ ΒΑΤΡΑΧΟΣ ΒΑΤΟΣ. τῆς μὲν οὖν βατίδος καὶ τοῦ βατράχου μνημονεύει Ἀριστοτέλης ἐν τοῖς περὶ ζῴων, καταριθμῶν αὐτὰ ἐν τοῖς σελάχεσιν. Εὔπολις δ᾽ ἐν Κόλαξί φησι

παρὰ τῷδε [Καλλίᾳ] πολλὴ θυμηδία,
ἵνα πάρα μὲν κάραβοι καὶ βατίδες καὶ λαγῴ,
καὶ γυναῖκες εἱλίποδες.

καὶ Ἐπίχαρμος ἐν Ἥβας γάμῳ

ἦν δὲ νάρκαι καὶ βατίδες, ἦν δὲ ζύγαιναι, πρήστιες,
c κᾶμίαι τε καὶ βάτοι ῥῖναί τε τραχυδέρμονες.

ἐν δὲ Μεγαρίδι

τὰς πλευρὰς οἷόν περ βατίς,
τὰν δ' ὀπισθίαν ἔχησθ' ἀτενὲς οἷόν περ βάτος,
τὰν δὲ κεφαλὰν ὀστέων οἷόν περ ἔλαφος, οὐ
βατίς,
τὰν δὲ λαπάραν σκορπίος παῖς ἐπιθαλάττιός
τε οὔ.

Σαννυρίων δ' ἐν Γέλωτι

ὦ βατίδες, ὦ γλαύκων κάρα.

Ἀριστοτέλης δ' ἐν πέμπτῳ ζῳων μορίων σελάχη φησὶν εἶναι βάτον τρυγόνα βοῦν λάμιαν ἀετὸν νάρκην βάτραχον καὶ πάντα τὰ γαλεοειδῆ. Σώφρων δ' ἐν μίμοις ἀνδρείοις βότιν καλεῖ τινα ἰχθὺν ἐν τούτοις 'κέστραι βότιν κάπτουσαι.' καὶ μήποτε βοτάνην τινὰ λέγει. περὶ δὲ τοῦ βατράχου συμβουλεύει ὁ σοφώτατος Ἀρχέστρατος ἐν ταῖς γνώμαις τάδε

βάτραχον ἔνθ' ἂν ἴδῃς ὀψώνει καὶ γαστρίον
αὐτοῦ
σκεύασον.

περὶ δὲ τῆς βατίδος

καὶ βατίδ' ἑφθὴν ἔσθε μέσου χειμῶνος ἐν ὥρῃ·
καὶ ταύτῃ τυρὸν καὶ σίλφιον· ἅττα τε σάρκα
μὴ πίειραν ἔχει πόντου τέκνα, τῷδε τρόπῳ χρὴ
σκευάζειν. ἤδη σοὶ ἐγὼ τάδε δεύτερον αὐδῶ.

Ἔφιππος δ' ὁ κωμῳδιοποιὸς ἐν Φιλύρᾳ δράματι (ἑταίρας δ' ὄνομα ἡ Φιλύρα)·

πότερον ἐγὼ
τὴν βατίδα τεμάχη κατατεμὼν ἕψω; Β. τί φής;
Α. ἢ σικελικῶς ὀπτὴν ποιήσω; Β. σικελικῶς.

27. ΒΩΚΕΣ. Ἀριστοτέλης ἐν τῷ ἐπιγραφομένῳ ζωικῷ ἢ περὶ ἰχθύων 'νωτόγραπτα (φησὶ) λέγεται

βῶξ, σκολιόγραπτα δὲ κολίας.' Ἐπίχαρμος δ' ἐν Ἥβας γάμῳ

ἔτι δὲ ποττούτοισι βῶκες σμαρίδες ἀφύαι κάμμαροι.

Νουμήνιος δ' ἐν Ἁλιευτικῷ βόηκας αὐτοὺς καλεῖ ἐν τούτοις

ἢ λευκὴν συνόδοντα βόηκάς τε τριγκούς τε.

Σπεύσιππος δὲ καὶ οἱ ἄλλοι Ἀττικοὶ βόακας. Ἀριστοφάνης Σκηνὰς καταλαμβανούσαις

287 ἀλλ' ἔχουσα γαστέρα
μεστὴν βοάκων ἀπεβάδιζον οἴκαδε.

ὠνομάσθη δὲ παρὰ τὴν βοήν. διὸ καὶ Ἑρμοῦ ἱερὸν εἶναι λόγος τὸν ἰχθύν, ὡς τὸν κίθαρον Ἀπόλλωνος. Φερεκράτης δ' ἐν Μυρμηκανθρώποις εἰπών

ἀλλὰ φωνὴν οὐκ ἔχειν
ἰχθύν γε φασὶ τὸ παράπαν,

ἐπιφέρει

νὴ τὼ θεώ,
οὐκ ἔστιν ἰχθὺς ἄλλος οὐδὲ εἷς βόαξ.

Ἀριστοφάνης δ' ὁ Βυζάντιος κακῶς φησὶν ἡμᾶς λέγειν τὸν ἰχθὺν βῶκα, δέον βόωπα· ἐπεὶ μικρὸς ὑπάρχων μεγάλους ὦπας ἔχει. εἴη ἂν οὖν ὁ βόωψ, βοὸς
b ὀφθαλμοὺς ἔχων.' πρὸς ὃν λεκτέον, εἰ τοῦτον κακῶς ὀνομάζομεν, διὰ τί κορακῖνον φαμὲν καὶ οὐ κορακῖνον; ὠνομάσθη γὰρ ἀπὸ τοῦ τὰς κόρας κινεῖν. τί δ' οὐχὶ καὶ σείουρον λέγομεν ἀλλὰ σίλουρον; ὠνόμασται γὰρ καὶ οὗτος ἀπὸ τοῦ σείειν συνεχῶς τὴν οὐράν.

28. ΒΕΜΒΡΑΔΕΣ. Φρύνιχος Τραγῳδοῖς

ὦ χρυσοκέφαλοι βεμβράδες θαλάσσιαι.

Ἐπίχαρμος δ' ἐν Ἥβας γάμῳ βαμβραδόνας αὐτὰς καλεῖ

βαμβραδόνες τε καὶ κίχλαι, λαγοὶ δράκοντές τ' ἄλκιμοι.

καὶ Σώφρων ἐν ἀνδρείοις 'βαμβραδόνι ῥαφίδι.' Νου- c μήνιος δ' ἐν Ἁλιευτικῷ

ἢ βαιῇ καρῖδι καὶ εἴ ποτε βεμβράδι, κείνη
ζωὴ ἐπ' ἀγρώστοιο, τάδε σκέψαιο δέλετρα.

Δωρίων δ' ἐν τῷ περὶ ἰχθύων φησί 'βεμβράδ' ἀποκεφαλίσας, ἐὰν ᾖ ἁδροτέρα, καὶ ἀποπλύνας ἁλὶ λεπτῷ καὶ ὕδατι ἕψε τὸν αὐτὸν τρόπον τῇ τριγλίτιδι. γίνεται δὲ (φησὶν) ἐκ μόνης τῆς βεμβράδος σκευασία τις ἡ προσαγορευομένη βεμβραφύη· ὧν μνημονεύει Ἀριστώνυμος ἐν Ἡλίῳ ῥιγῶντι

ὅ γέ τοι Σικελὸς ταῖς μεμβραφύαις προσέοικεν d
ὁ καρκινοβήτης.

Ἀττικοὶ δ' ὅμως βεμβράδας λέγουσιν. Ἀριστομένης Γόησι 'βεμβράδας φέρων ὀβολοῦ.' Ἀριστώνυμος Ἡλίῳ ῥιγῶντι

ὥστ' οὔτ' ἀφύη νῦν ἐστὶν ἁπλῶς οὔτ' αὖ βεμ-
βρὰς κακοδαίμων.

Ἀριστοφάνης Γήρᾳ

ταῖς πολιόχρωσι βεμβράσιν τεθραμμένη.

Πλάτων Πρέσβεσιν 'Ἡράκλεις, τῶν βεμβράδων.' ἐν δὲ ταῖς Εὐπόλιδος Αἰξὶν ἔστιν εὑρεῖν καὶ διὰ τοῦ μ γραφόμενον. Ἀντιφάνης δ' ἐν Κνοιθιδεῖ e

ἄτοπά γε κηρύττουσιν ἐν τοῖς ἰχθύσιν
κηρύγμαθ', οὗ καὶ νῦν τις ἐκεκράγει μέγα
μέλιτος γλυκυτέρας μεμβράδας φάσκων ἔχειν.
εἰ τοῦτο τοιοῦτ' ἐστίν, οὐδὲν κωλύει
τοὺς μελιτοπώλας αὖ λέγειν βοᾶν θ' ὅτι
πωλοῦσι τὸ μέλι σαπρότερον τῶν μεμβράδων.

καὶ Ἄλεξις δ' ἐν Χορηγίδι διὰ τοῦ μ εἴρηκεν

ὃς τοῖσι τετραδισταῖς παρέθηκεν ἑστιῶν f
πρῴην λέκιθον καὶ μεμβράδας καὶ στέμφυλα.

ἐν δὲ Πρωτοχόρῳ

ἐπιπονώτερον
ἔργον μὰ τὸν Διόνυσον οὐκ εἴληφ' ἐγώ,
ἀφ' οὗ παρασιτῶ. μεμβράδας μοι κρεῖττον ἦν
ἔχειν μετ' ἀττικιστὶ δυναμένου λαλεῖν.
ὀνησιφόρον ἦν τοῦτο.

288 29. ΒΛΕΝΝΟΣ. τούτου μέμνηται Σώφρων ἐν τῷ ἐπιγραφομένῳ Ὡλιεὺς τὸν ἀγροιώταν 'βλέννῳ θηλαμόνι.' ἔστι δὲ κωβιῷ τὴν ἰδέαν παραπλήσιος. Ἐπίχαρμος δ' ἐν Ἥβας γάμῳ ΒΑΙΟΝΑΣ τινὰς ἰχθῦς καλεῖ ἐν τούτοις

ἆγε δὲ τρίγλας τε κυφὰς κἀχαρίστους βαίονας.

καὶ παρ' Ἀττικοῖς δὲ παροιμία ἐστί 'μή μοι βαίων· κακὸς ἰχθύς.'

30. ΒΟΥΓΛΩΣΣΟΣ. ὁ πυθαγορικὸς δὲ δι' ἐγκράτειαν Ἀρχέστρατός φησιν

b εἶτα λαβεῖν ψῆτταν μεγάλην καὶ τὴν ὑπότρηχυν
βούγλωσσον ταύτην θέρεος κατὰ Χαλκίδα κεδνήν.

Ἐπίχαρμος δ' ἐν Ἥβας γάμῳ 'βούγλωσσοί τε καὶ κίθαρος ἐνῆς.' τῶν δὲ βουγλώσσων διαλλάττοντές εἰσιν οἱ κυνόγλωσσοι· περὶ ὧν καὶ αὐτῶν Ἐπίχαρμός φησιν

αἰολίαι πλῶτές τε κυνόγλωσσοί τ', ἐνῆν δὲ σκιαθίδες.

Ἀττικοὶ δὲ ψῆτταν αὐτὴν καλοῦσιν.

c 31. ΓΟΓΓΡΟΙ. τούτους Ἱκέσιος σκληροτέρους τῶν ἐγχέλεων εἶναί φησι καὶ ἀραιοσαρκοτέρους τε καὶ ἀτροφωτέρους εὐχυλίᾳ τε πολὺ λειπομένους, εὐστομάχους δὲ εἶναι. Νίκανδρος δὲ ὁ ἐποποιὸς ἐν τρίτῳ Γλωσσῶν καλεῖσθαι φησὶν αὐτοὺς καὶ γρύλλους. Εὔδοξος δ' ἐν ἕκτῳ γῆς Περιόδου γόγγρους φησὶ πολλοὺς ἀνδραχθεῖς ἐν Σικυῶνι ἁλίσκεσθαι· ὧν

ἐνίους εἶναι καὶ ἁμαξιαίους. Φιλήμων δὲ τῆς κωμῳδίας ὁ ποιητὴς καὶ αὐτὸς μνημονεύων τῶν ἐν Σικυῶνι διαφόρων γόγγρων, ποιεῖ τινα μάγειρον ἐπὶ d
τέχνῃ τῇ ἑαυτοῦ σεμνυνόμενον καὶ λέγοντα ἐν τῷ ἐπιγραφομένῳ Στρατιώτῃ τάδε

32. ὡς ἵμερός μ' ὑπῆλθε γῇ τε κοὐρανῷ
λέξαι μολόντι τοὖψον ὡς ἐσκεύασα.
νὴ τὴν Ἀθηνᾶν, ἡδύ γ' ἔστ' εὐημερεῖν
ἐν ἅπασιν. ἰχθὺς ἁπαλὸς οἷος γέγονέ μοι,
οἷον παρατέθεικ', οὐ πεφαρμακευμένον
τυροῖσιν οὐδ' ἄνωθεν ἐξηνθισμένον·
ἀλλ' οἷος ἦν ζῶν, κὠπτὸς ὢν τοιοῦτος ἦν.
οὕτως ἁπαλὸν ἔδωκα καὶ πρᾶον τὸ πῦρ e
ὀπτῶν τὸν ἰχθύν. οὐδὲ πιστευθήσομαι.
ὅμοιον ἐγένετ' ὄρνις ὁπόταν ἁρπάσῃ
τοῦ καταπιεῖν μεῖζόν τι· περιτρέχει κύκλῳ
τηροῦσα τοῦτο, καταπιεῖν ἐσπούδακεν,
ἕτεραι διώκουσιν δὲ ταύτην. ταυτὸν ἦν.
τὴν ἡδονὴν ὁ πρῶτος αὐτῶν καταμαθὼν
τῆς λοπάδος ἀνεπήδησε κἄφευγεν κύκλῳ f
τὴν λοπάδ' ἔχων, ἄλλοι δ' ἐδίωκον κατὰ πόδας.
ἐξῆν ὀλολύζειν· οἳ μὲν ἥρπασάν τι γάρ,
οἳ δ' οὐδέν, οἳ δὲ πάντα. καίτοι παρέλαβον
ἰχθῦς ποταμίους ἐσθίοντας βόρβορον.
εἰ δ' ἔλαβον ἀρτίως σκάρον, ἢ 'κ τῆς Ἀττικῆς
γλαυκίσκον, ὦ Ζεῦ σῶτερ, ἢ 'ξ Ἄργους κάπρον,
ἢ 'κ τῆς Σικυῶνος τῆς φίλης ὃν τοῖς θεοῖς 289
φέρει Ποσειδῶν γόγγρον εἰς τὸν οὐρανόν,
ἅπαντες οἱ φαγόντες ἐγένοντ' ἂν θεοί.
ἀθανασίαν εὕρηκα· τοὺς ἤδη νεκροὺς
. . . ὅταν ὀσφρανθῶσι, ποιῶ ζῆν πάλιν.

33. ταῦτα νὴ τὴν Ἀθηνᾶν οὐδ' ἂν Μενεκράτης

ἂν ὁ Συρακόσιος ἐξωγκώσατο ὁ Ζεὺς ἐπικαλούμενος, ὃς ἐφρόνει μέγα ὡς μόνος αἴτιος τοῦ ζῆν τοῖς ἀνθρώποις γινόμενος διὰ τῆς αὑτοῦ ἰατρικῆς. τοὺς γοῦν b θεραπευομένους ὑπ᾽ αὐτοῦ τὰς ἱερὰς καλουμένας νόσους συγγράφεσθαι ἠνάγκαζεν ὅτι ὑπακούσονται αὐτῷ δοῦλοι περισωθέντες. καὶ ἠκολούθουν ὃ μέν τις Ἡρακλέους σκευὴν ἔχων καὶ καλούμενος Ἡρακλῆς, (Νικόστρατος δ᾽ ἦν οὗτος ὁ Ἀργεῖος, ἱερὰν νόσον θεραπευθείς. μνημονεύει δ᾽ αὐτῶν Ἔφιππος ἐν Πελταστῇ λέγων ὧδε

οὐ Μενεκράτης μὲν ἔφασκεν εἶναι Ζεὺς θεός,
Νικόστρατος δ᾽ ἁργεῖος ἕτερος Ἡρακλῆς;)

ἄλλος δέ τις ὡς Ἑρμῆς χλαμύδ᾽ ἔχων καὶ κηρύκειον, c πρὸς δὲ τούτοις πτερά· ὡς ὁ Ζελείτης Νικαγόρας ὁ καὶ τῆς πατρίδος τυραννήσας, ὡς ἱστορεῖ Βάτων ἐν τοῖς περὶ τῶν ἐν Ἐφέσῳ τυράννων. Ἡγήσανδρος δέ φησιν ὅτι καὶ Ἀστυκρέοντα θεραπευθέντα ὑπ᾽ αὐτοῦ Ἀπόλλωνα ἐκάλεσε. καὶ ἄλλος δ᾽ αὐτῷ τῶν περισωθέντων Ἀσκληπιοῦ στολὴν ἀναλαβὼν συμπεριεφθείρετο. αὐτὸς δ᾽ ὁ Ζεὺς πορφύραν ἠμφιεσμένος καὶ στέφανον χρυσοῦν ἐπὶ τῆς κεφαλῆς ἔχων καὶ σκῆπτρον κρατῶν κρηπῖδάς τε ὑποδεδεμένος περιῄει d μετὰ τοῦ θείου χοροῦ. καὶ ἐπιστέλλων Φιλίππῳ τῷ βασιλεῖ οὕτως ἔγραψεν

34. 'Μενεκράτης Ζεὺς Φιλίππῳ χαίρειν. σὺ μὲν Μακεδονίας βασιλεύεις, ἐγὼ δὲ ἰατρικῆς. καὶ σὺ μὲν ὑγιαίνοντας δύνασαι, ὅταν βουληθῇς, ἀπολλύναι, ἐγὼ δὲ τοὺς νοσοῦντας σώζειν, καὶ τοὺς εὐρώστους ἀνόσους, οἳ ἂν ἐμοὶ πείθωνται, παρέχειν μέχρι γήρως ζῶντας. τοιγαροῦν σὲ μὲν Μακεδόνες δορυφοροῦσιν, ἐμὲ δὲ καὶ οἱ ἀεὶ μέλλοντες ἔσεσθαι. Ζεὺς e γὰρ ἐγὼ αὐτοῖς βίον παρέχω.' πρὸς ὃν ὡς μελαγχο-

λῶντα ἐπέστελλεν ὁ Φίλιππος ‘Φίλιππος Μενεκράτει ὑγιαίνειν.’ παραπλησίως δ’ ἐπέστελλε καὶ Ἀρχιδάμῳ τῷ Λακεδαιμονίων βασιλεῖ καὶ τοῖς ἄλλοις ὅσοις ἔγραφεν, οὐκ ἀπεχόμενος τοῦ Διός. καλέσας δ’ αὐτόν ποτε ἐπὶ δεῖπνον ὁ Φίλιππος μετὰ τῶν ἰδίων θεῶν συγκατέκλινε πάντας ἐπὶ τῆς μέσης κλίνης ὑψηλότατα καὶ ἱεροπρεπέστατα κεκοσμημένης, καὶ τράπεζαν παραθείς, ἐφ’ ἧς βωμὸς ἔκειτο καὶ τῶν ἀπὸ γῆς πάντων ἀπαρχαί. καὶ ὁπότε τοῖς ἄλλοις παρεφέ- f ρετο τὰ ἐδώδιμα, τοῖς ἀμφὶ Μενεκράτην ἐθυμίων καὶ ἔσπενδον οἱ παῖδες. καὶ τέλος ὁ καινὸς Ζεὺς μετὰ τῶν ὑπηκόων γελώμενος θεῶν ἔφυγεν ἐκ τοῦ συμποσίου, ὡς Ἡγήσανδρος ἱστορεῖ. μνημονεύει δὲ τοῦ Μενεκράτους καὶ Ἄλεξις ἐν Μίνῳ.

35. καὶ Θεμίσων δ’ ὁ Κύπριος, τὰ Ἀντιόχου τοῦ βασιλέως παιδικά, ὥς φησι Πύθερμος ὁ Ἐφέσιος ἐν τῇ ὀγδόῃ τῶν ἱστοριῶν, οὐ μόνον ἐν ταῖς πανηγύρεσιν ἀνεκηρύττετο ‘Θεμίσων Μακεδὼν Ἀντιόχου βασιλέως Ἡρακλῆς,’ ἔθυον δὲ αὐτῷ πάντες οἱ ἐγχώριοι 290 ἐπιλέγοντες Ἡρακλεῖ Θεμίσωνι, καὶ παρῆν αὐτὸς ὁπότε τις τῶν ἐνδόξων θύοι, καὶ ἀνέκειτο στρωμνὴν καθ’ αὑτὸν ἔχων, ἠμφιεσμένος λεοντῆν. ἐφόρει δὲ καὶ τόξα σκυθικὰ καὶ ῥόπαλον ἐκράτει. ὁ δ’ οὖν Μενεκράτης τοιοῦτος ὢν ὁποῖος εἴρηται οὐδὲν παραπλήσιόν ποτε ἐξωγκώσατο οἷον ὁ προειρημένος μάγειρος

ἀθανασίαν ηὕρηκα. τοὺς ἤδη νεκροὺς
. . . ὅταν ὀσφρανθῶσι, ποιῶ ζῆν πάλιν.

36. ἀλαζονικὸν δ’ ἐστὶ πᾶν τὸ τῶν μαγείρων b φῦλον, ὡς καὶ Ἡγήσιππος ἐν Ἀδελφοῖς παρίστησι. παράγει δὲ μάγειρον λέγοντα·

βέλτιστε, πολλοῖς πολλὰ περὶ μαγειρικῆς
εἰρημέν’ ἐστίν· ἢ λέγων φαίνου τί μοι

καινὸν παρὰ τοὺς ἔμπροσθεν ἢ μὴ κόπτε με.
Β. οὐκ ἀλλὰ τὸ πέρας τῆς μαγειρικῆς, Σύρε,
εὑρηκέναι πάντων νόμιζε μόνον ἐμέ.
οὐ γὰρ παρέργως ἔμαθον ἐν ἔτεσιν δυσὶν
ἔχων περίζωμ᾽, ἀλλ᾽ ἅπαντα τὸν βίον
ζητῶν κατὰ μέρη τὴν τέχνην ἐξήτακα,
c εἴδη λαχάνων ὅσ᾽ ἐστί, βεμβράδων τρόπους,
φακῆς γένη παντοδαπά. τὸ πέρας σοι λέγω·
ὅταν ἐν περιδείπνῳ τυγχάνω διακονῶν,
ἐπὰν τάχιστ᾽ ἔλθωσιν ἐκ τῆς ἐκφορᾶς
τὰ βάπτ᾽ ἔχοντες, τοὐπίθημα τῆς χύτρας
ἀφελὼν ἐποίησα τοὺς δακρύοντας γελᾶν·
τοιοῦτος ἔνδοθέν τις ἐν τῷ σώματι
διέδραμε γαργαλισμός, ὡς ὄντων γάμων.
Α. φακῆν παρατιθείς, εἰπέ μοι, καὶ βεμβράδας;
Β. τὰ πάρεργά μου ταῦτ᾽ ἔστιν. ἂν δὲ δὴ λάβω
d τὰ δέοντα καὶ τοὐπτάνιον ἁρμόσωμ᾽ ἅπαξ,
ὅπερ ἐπὶ τῶν ἔμπροσθε σειρήνων, Σύρε,
ἐγένετο, καὶ νῦν ταὐτὸ τοῦτ᾽ ὄψει πάλιν.
ὑπὸ τῆς γὰρ ὀσμῆς οὐδὲ εἷς δυνήσεται
ἁπλῶς διελθεῖν τὸν στενωπὸν τουτονί
ὁ δὲ παριὼν πᾶς εὐθέως πρὸς τὴν θύραν
ἑστήξετ᾽ ἀχανής, προσπεπατταλευμένος,
ἄφωνος ἄχρι ἂν τῶν φίλων βεβυσμένος
τὴν ῥῖν᾽ ἕτερός τις προσδραμὼν ἀποσπάσῃ.
Α. μέγας εἶ τεχνίτης. Β. ἀγνοεῖς πρὸς ὃν λαλεῖς·
e πολλοὺς ἐγὼ σφόδρ᾽ οἶδα τῶν κεκλημένων,
οἳ καταβεβρώκασ᾽ ἕνεκ᾽ ἐμοῦ τὰς οὐσίας.

πρὸς τῶν θεῶν τί διαφέρειν οὗτος ὑμῖν δοκεῖ τῶν παρὰ Πινδάρῳ κηληδόνων, αἳ κατὰ τὸν αὐτὸν τρόπον ταῖς σειρῆσι τοὺς ἀκροωμένους ἐποίουν ἐπιλαν-

θανομένους τῶν τροφῶν διὰ τὴν ἡδονὴν ἀφαναίνεσθαι;

37. Νικόμαχος δ' ἐν Εἰλειθυίᾳ καὶ αὐτὸς παράγει τινὰ μάγειρον ὑπερβάλλοντα τοὺς περὶ τὸν Διόνυσον τεχνίτας. λέγει δ' οὖν οὗτος πρὸς τὸν μισθωσάμενον

ὑποδεικνύεις μὲν ἦθος ἀστεῖον πάνυ f
καὶ πρᾶον, ὀλίγωρον δὲ πεποίηκάς τι. Β. πῶς;
Α. ἐν τῇ τέχνῃ τίνες ἐσμὲν οὐκ ἐξήτακας.
ἢ πρότερον ἐπύθου τῶν ἀκριβῶς εἰδότων
οὕτω τ' ἐμισθώσω με; Β. μὰ Δί' ἐγὼ μὲν οὔ.
Α. ἦ μὴν ἴσως ὅσον μαγείρου διαφέρει
μάγειρος οὐκ οἶσθ'. Β. εἴσομαι δέ γ', ἂν λέγῃς· 291
Α. τὸ γὰρ παραλαβόντ' ὄψον ἠγορασμένον,
πάτερ, ἀποδοῦναι σκευάσαντα μουσικῶς
διακόνου 'στ' οὐ τοῦ τυχόντος. Β. Ἡράκλεις·
Α. ὁ μάγειρός ἐσθ' ὁ τέλειος ἑτέρα διάθεσις.
πολλὰς τέχνας λάβοις ἂν ἐνδόξους πάνυ,
ὧν τὸν μαθεῖν βουλόμενον ὀρθῶς οὐκ ἔνι
ταύταις προσελθεῖν εὐθύς, ἀλλ' ἔμπροσθε δεῖ...
ζωγραφίας ἧφθαι. κατὰ ταὐτὰ καὶ μαγειρικῆς
πρότερον μαθεῖν δεῖ τινὰ τέχνης ἑτέρας τέχνας,
ὧν εἰδέναι σοι κρεῖττον ἦν μοι πρὶν λαλεῖν· b
γεωμετρικὴν ἰατρικὴν ἀστρολογικήν.
τῶν ἰχθύων γὰρ τὰς δυνάμεις καὶ τὰς τύχας
ἐντεῦθεν εἴσει, παρακολουθήσεις χρόνοις,
πότ' ἄωρός ἐσθ' ἕκαστος ἢ πόθ' ὥριμος.
τῶν ἡδονῶν γὰρ μεγάλα τὰ διαστήματα·
ἐνίοτε κρείττων γίγνεται θύννου βόαξ.
Β. ἔστω. γεωμετρικῇ δὲ καὶ σοὶ πρᾶγμα τί;
Α. τοὐπτάνιον ἡμεῖς σφαῖραν εἶναι τιθέμεθα.
τοῦτο διελέσθαι καὶ τόπον λαβόνθ' ἕνα

c μερίσαι κατ' εἶδος τῆς τέχνης ἐπιδέξια,
ἐκεῖθεν ἐνταῦθ' ἐστὶ μετενηνεγμένα.
B. οὗτος, πέπεισμαι· καὶ τὰ λοιπὰ μὴ λάλει.
A. περὶ τῆς ἰατρικῆς δέ. τῶν γὰρ βρωμάτων
πνευματικὰ καὶ δύσπεπτα καὶ τιμωρίαν
ἔχοντ' ἔνι' ἔστιν, οὐ τροφήν. δειπνῶν δὲ πᾶς
τἀλλότρια γίγνετ' ὀξύχειρ κοὐκ ἐγκρατής.
τοῖς δὴ τοιούτοις βρώμασιν τὰ φάρμακα
εὕρητ' ἐκεῖθεν, μεταφορὰ δ' ἐστὶν τέχνης.
d ἤδη τὸ μετὰ νοῦ καὶ τὸ συμμέτρως ἔχον. . .
παρὰ τακτικῆς, ἕκαστα ποῦ τεθήσεται·
ἀριθμῷ τὸ πλῆθος εἰδέναι, ἀριθμητικῆς.
οὐδεὶς ἕτερός σοι πρὸς ἐμὲ καὶ γραφήσεται.
B. μικρὰ διάκουσον ἐν μέρει κἀμοῦ. A. λέγε.
B. σὺ μηδὲν ἐνόχλει μήτε σαυτὸν μήτ' ἐμέ,
ἀπραγμόνως δὲ διαγενοῦ τὴν ἡμέραν.

38. ὁ δὲ παρὰ τῷ νεωτέρῳ Φιλήμονι μάγειρος διδασκαλικός τις εἶναι θέλει τοιαῦτά τινα λαλῶν

ἐάσαθ' οὕτως ὡς ἔχει. τὸ πῦρ μόνον
e ποιεῖτε τοῖς ὀπτοῖσι μήτ' ἀνειμένον·
τὸ γὰρ τοιοῦτ' οὐκ ὀπτὸν ἀλλ' ἑφθὸν ποιεῖ·
μήτ' ὀξύ· κατακάει γὰρ ὅσ' ἂν ἔξω λάβῃ
τοῦτο πάλιν, εἰς τὴν σάρκα δ' οὐκ ἐνδύεται.
μάγειρός ἐστιν οὐκ ἐὰν ζωμήρυσιν
ἔχων τις ἔλθῃ καὶ μάχαιραν πρός τινα,
οὐδ' ἄν τις εἰς τὰς λοπάδας ἰχθῦς ἐμβάλῃ,
f ἀλλ' ἔστι τις φρόνησις ἐν τῷ πράγματι.

39. ὁ δὲ παρὰ Διφίλῳ ἐν τῷ Ζωγράφῳ καὶ πρὸς οὓς ἐκμισθοῦν αὑτὸν δεῖ διδάσκει λέγων οὕτως

οὐ μὴ παραλάβω σ' οὐδαμοῦ, Δράκων, ἐγὼ
ἐπ' ἔργον, οὗ μὴ διατελεῖς τὴν ἡμέραν
τραπεζοποιῶν ἐν ἀγαθοῖς πολλοῖς χύδην.

οὐ γὰρ βαδίζω πρότερον, ἂν μὴ δοκιμάσω
τίς ἔσθ' ὁ θύων, ἢ πόθεν συνίσταται 292
τὸ δεῖπνον, ἢ κέκληκεν ἀνθρώπους τίνας.
ἔστιν δ' ἁπάντων τῶν γενῶν μοι διαγραφή,
εἰς ποῖα μισθοῦν ἢ φυλάττεσθαί με δεῖ.
οἷον τὸ κατὰ τοὐμπόριον, εἰ βούλει, γένος·
ναύκληρος ἀποθύει τις εὐχήν, ἀποβαλὼν
τὸν ἱστὸν ἢ πηδάλια συντρίψας νεώς,
ἢ φορτί' ἐξέρριψ' ὑπέραντλος γενόμενος,
ἀφῆκα τὸν τοιοῦτον· οὐδὲν ἡδέως
ποιεῖ γὰρ οὗτος ἀλλ' ὅσον νόμου χάριν,
ὁμοῦ δὲ ταῖς σπονδαῖσι διαλογίζεται b
τοῖς συμπλέουσιν ὁπόσον ἐπιβάλλει μέρος
τιθείς, τά θ' αὑτοῦ σπλάγχν' ἕκαστος ἐσθίει.
ἀλλ' ἕτερος εἰσπέπλευκεν ἐκ Βυζαντίου
τριταῖος ἀπαθὴς εὐπορηκώς, περιχαρὴς
εἰς δέκ' ἐπὶ τῇ μνᾷ γεγονέναι καὶ δώδεκα,
λαλῶν τὰ ναῦλα καὶ δάνει' ἐρυγγάνων,
ἀφροδίσι' ὑπὸ κόλλοψι μαστροποῖς ποιῶν,
ὑπὸ τοῦτον ὑπέκυψ' εὐθὺς ἐκβεβηκότα,
τὴν δεξιὰν ἐνέβαλον, ἐμνήσθην Διὸς
σωτῆρος, ἐμπέπηγα τῷ διακονεῖν. c
τοιοῦτος ὁ τρόπος. μειράκιον ἐρῶν πάλιν
τὰ πατρῷα βρύκει καὶ σπαθᾷ· πορεύομαι.
ἀπὸ συμβολῶν συνάγοντα νὴ Δί' ἕτερά που
ἐνέβαλεν εἰς τὸν κέραμον ἀνασεσυρμένα,
τὰ κράσπεδ' ἀποθλίβοντα, καὶ κεκραγότα
'ὀψάριον ἀγοραῖον ποιεῖν τίς βούλεται;'
ἐῶ βοᾶν. πληγὰς γὰρ ἔνι προσλαμβάνειν
ἐλθόντα καὶ τὴν νύχθ' ὅλην διακονεῖν.
τὸ μισθάριον γὰρ ἂν ἀπαιτῇς, ἀμίδα μοι
ἔνεγκε πρῶτον, φησίν. ὄξος ἡ φακῆ d

οὐκ εἶχε. πάλιν ᾔτησας, οἰμώξει μακρὰ
πρῶτος μαγείρων, φησίν. ἕτερα μυρία
τοιαῦτα καταλέξαιμ᾽ ἄν. οἷ δὲ νῦν σ᾽ ἄγω,
πορνεῖόν ἐστι, πολυτελῶς ἀδώνια
ἄγουσ᾽ ἑταίρα μεθ᾽ ἑτέρων πορνῶν χύδην.
σαυτὸν ἀποσάξεις τόν τε κόλπον ἀποτρέχων.

40. καὶ παρ᾽ Ἀρχεδίκῳ δ᾽ ἐν Θησαυρῷ ἄλλος
e σοφιστὴς μαγειρικὸς τάδε λέγει

πρῶτον ὠμῶν κειμένων
τῶν ἰχθύων πάρεισιν οἱ κεκλημένοι.
'δίδου κατὰ χειρός. τοὖψον οὐκ οἴσεις λαβών;'
τὰς λοπάδας ἐπιθεὶς ἐπὶ τὸ πῦρ τοὺς ἄνθρακας
ἔρραν᾽ ἐλαίῳ πάντα καὶ ποιῶ φλόγα.
ἐν ᾧ τὸ λάχανον αἵ τε τῶν παροψίδων
τὸν ἄνδρα δριμύτητες εὐφραίνουσί μου,
ἑφθὸν τὸν ἰχθὺν ἀποδίδωμ᾽, ἔχοντα τοὺς
f χυμοὺς ἐν αὑτῷ τήν τε τῆς ἅλμης ἀκμήν,
εἰς ἣν ἂν ἐμβάψαιτο πᾶς ἐλεύθερος.
ἐλαδίου κοτύλης τε παραναλωμένης
σέσωκ᾽ ἐμοὶ τρίκλινα πεντήκοντ᾽ ἴσως.

Φιλοστέφανος δ᾽ ἐν Δηλίῳ καὶ ὀνόματα ἐνδόξων μαγείρων ἐν τοῖσδε καταλέγει

293 εἰδώς σε πάντων διαφέροντα τῇ τέχνῃ
τῇ τ᾽ ὀξύτητι μετὰ Θίβρωνα, Δαίδαλε,
τὸν ἐξ Ἀθηνῶν, τὸν καλούμενον πέρας,
δοὺς μισθὸν ὅν μ᾽ ᾔτησας ἥκω δεῦρ᾽ ἄγων.

41. Σωτάδης δ᾽, οὐχ ὁ τῶν ἰωνικῶν ᾀσμάτων ποιητὴς ὁ Μαρωνίτης ἀλλ᾽ ὁ τῆς μέσης κωμῳδίας, ποιεῖ καὶ αὐτὸς ἐν Ἐγκλειομέναις, οὕτω γὰρ ἐπιγράφει τὸ δρᾶμα, τοιάδε μάγειρον λέγοντα

καρῖδας ἔλαβον πρῶτον, ἀπεταγήνισα
b ταύτας ἁπάσας. γαλεὸς εἴληπται μέγας,

ὤπτησα τὰ μέσα, τὴν δὲ λοιπὴν γρυμέαν
ἕψω ποιήσας τρῖμμα συκαμίνινον.
γλαύκου φέρω κεφάλαια παμμεγέθη δύο·
ἐν λοπάδι μεγάλῃ ταῦτα, λιτῶς προσαγαγὼν
χλόην κύμινον ἅλας ὕδωρ ἐλάδιον.
λάβρακα μετὰ ταῦτ᾽ ἐπριάμην καλὸν σφόδρα·
ἔσται δι᾽ ἅλμης λιπαρὸς ἑφθὸς ἐν χλόῃ.
ἀποδοὺς ὅσ᾽ ἐστὶν ἀπ᾽ ὀβελίσκων ὀπτανά,
τρίγλας καλὰς ἠγόρασα καὶ κίχλας καλάς, c
ἔρριψα ταύτας ἐπὶ τὸν ἄνθραχ᾽ ὡς ἔχει,
ἅλμῃ τε λιπαρᾷ παρατίθημ᾽ ὀρίγανον.
ταύταις προσέλαβον σηπίας καὶ τευθίδας·
ἀστεῖον ἑφθὴ τευθὶς ὠνθυλευμένη
καὶ πτερύγι᾽ ἁπαλῶς σηπίας ὠπτημένα.
τριμμάτιον ᾠκείωσα τούτοις ἀνθινὸν
παντοδαπόν. ἑψητὸν δὲ μετὰ ταύτας τινά·
ὀξυλίπαρον τούτοις ἔδωκα χυμίον.
γόγγρον ἐπὶ τούτοις ἐπριάμην παχὺν σφόδρα, d
κατέπνιξ᾽ ἐν ἅλμῃ τοῦτον εὐανθεστέρᾳ.
κωβίδι᾽ ἄττα καὶ πετραῖα δή τινα
ἰχθύδια, τούτων ἀποκνίσας τὰ κρανία
ἐμόλυν᾽ ἀλεύρῳ [ταῦτα] τοιούτῳ τινί,
πέμπω τε ταῖς καρῖσι τὴν αὐτὴν ὁδόν.
ἀμίαν τε χήραν, θηρίον καλὸν σφόδρα,
θρίοισι ταύτην ἅλις ἐλαδίῳ διεὶς
ἐσπαργάνωσα περιπάσας ὀρίγανον,
ἐνέκρυψά θ᾽ ὥσπερ δαλὸν εἰς πολλὴν τέφραν. e
ἀφύην θ᾽ ἅμ᾽ αὐτῇ παρέλαβον φαληρικήν.
εἷς κύαθος ἐνταῦθ᾽ ὕδατος ἐπιχυθεὶς πολύ·
τεμὼν δὲ λεπτὴν τῆς χλόης καὶ πλείονα,
κἂν ᾖ δικότυλος λήκυθος, καταστρέφω.
τί λοιπόν; οὐδὲν ἄλλο. τοῦτ᾽ ἔσθ᾽ ἡ τέχνη,

οὐκ ἐξ ἀπογραφῆς οὐδὲ δι' ὑπομνημάτων.

42. καὶ μαγείρων μὲν ἅλις· τοῦ δὲ γόγγρου
f πέρι λεκτέον. Ἀρχέστρατος μὲν γὰρ ἐν τῇ Γαστρονομίᾳ καὶ ὁπόθεν ἕκαστον μέρος αὐτοῦ δεῖ συνωνεῖσθαι διηγεῖται οὕτως

γόγγρου μὲν γὰρ ἔχεις κεφαλὴν φίλη ἐν Σικυῶνι,
πίονος ἰσχυροῦ μεγάλου, καὶ πάντα τὰ κοῖλα·
εἶτα χρόνον πολὺν ἕψε χλόῃ περίπαστον ἐν ἅλμῃ·

294 ἑξῆς τε περὶ τῶν κατ' Ἰταλίαν τόπων διεξιὼν πάλιν ὁ καλὸς οὗτος περιηγητής φησι

καὶ γόγγρος σπουδαῖος ἁλίσκεται, ὥστε τοσοῦτον
τῶν ἄλλων πάντων ὄψων κρατεῖ οὗτος ὅσον περ
θύννος ὁ πιότατος τῶν φαυλοτάτων κορακίνων.

Ἄλεξις ἐν Ἑπτὰ ἐπὶ Θήβαις

γόγγρου δ' ὁμοῦ σωρευτὰ πιμελῆς μέλη
ὑπεργέμοντα.

b Ἀρχέδικος δ' ἐν Θησαυρῷ παράγει τινὰ μάγειρον λέγοντα περὶ ὧν ὠψώνηκεν αὐτός

δραχμῶν τριῶν γλαυκίσκον,
γόγγρου κεφαλὴν καὶ τὰ πρῶτα τεμάχια
δραχμῶν πάλιν πέντ'. ὢ ταλαιπώρου βίου.
δραχμῆς τραχήλους. ἀλλὰ νὴ τὸν ἥλιον,
κἀμοὶ τράχηλον ἕτερον εἴ ποθεν λαβεῖν
ἦν καὶ πρίασθαι δυνατόν, ὃν ἔχω τοῦτον ἄν,
πρὶν εἰσενεγκεῖν ταῦτα δεῦρ', ἀπηγξάμην.
c οὐδεὶς δεδιηκόνηκεν ἐπιπονώτερον.
ἅμα μὲν πρίασθαι πολλὰ καὶ πολλοῦ σφόδρα,
ἅμα δ' εἴ τι χρηστὸν ἀγοράσαιμ' ἀπωλλύμην,
'κατέδοντ' ἐκεῖνοι τοῦτο' πρὸς ἐμαυτὸν λέγω.
διαπυτιοῦσ' οἶνον δὲ τοιοῦτον χαμαί.
οἴμοι.

43. ΓΑΛΕΟΙ. Ἱκέσιος ἐν τοῖς περὶ ὕλης τῶν γα-

λεῶν βελτίονας εἶναι καὶ ἁπαλωτέρους τοὺς ἀστερίας καλουμένους. Ἀριστοτέλης δὲ εἴδη αὐτῶν φησὶν εἶναι d πλείω, ἀκανθίαν λεῖον ποικίλον σκύμνον ἀλωπεκίαν ῥίνην. Δωρίων δ' ἐν τῷ περὶ ἰχθύων τὸν ἀλωπεκίαν μίαν ἔχειν φησὶ λοφιὰν πρὸς τῷ οὐραίῳ, ἐπὶ δὲ τῆς ῥάχεως οὐδαμῶς. ὁ δ' Ἀριστοτέλης ἐν πέμπτῳ ζῴων μορίων καὶ κεντρίνην φησί τινα γαλεὸν εἶναι καὶ νωτιδανόν. Ἐπαίνετος δ' ἐν Ὀψαρτυτικῷ ἐπινωτιδέα καλεῖ, χείρονα δ' εἶναι τὸν κεντρίνην καὶ δυσώδη. γνωρίζεσθαι δ' ἐκ τοῦ πρὸς τῇ πρώτῃ λοφιᾷ ἔχειν κέντρον, τῶν ὁμοειδῶν οὐκ ἐχόντων· οὔτε δὲ στέαρ οὔτε πιμελὴν ἔχειν τοὺς ἰχθῦς τούτους διὰ τὸ χον- e δρώδεις εἶναι. ἰδίως δὲ ὁ ἀκανθίας τὴν καρδίαν ἔχει πεντάγωνον. τίκτει δ' ὁ γαλεὸς τὰ πλεῖστα τρία, καὶ εἰσδέχεται τὰ γεννηθέντα εἰς τὸ στόμα καὶ πάλιν ἀφίησι, μάλιστα δ' ὁ ποικίλος καὶ ὁ ἀλωπεκίας· οἱ δὲ λοιποὶ οὐκ ἔτι διὰ τὴν τραχύτητα.

44. Ἀρχέστρατος δὲ ὁ τὸν αὐτὸν Σαρδαναπάλλῳ ζήσας βίον περὶ τοῦ ἐν Ῥόδῳ γαλεοῦ λέγων τὸν αὐτὸν εἶναι ἡγεῖται τῷ παρὰ Ῥωμαίοις μετ' αὐλῶν καὶ στεφάνων εἰς τὰ δεῖπνα περιφερομένῳ, ἐστε- f φανωμένων καὶ τῶν φερόντων αὐτόν, καλούμενόν τε ἀκκιπήσιον. ἀλλ' οὗτος μὲν μικρὸς καὶ μακρορυγχότερός ἐστι καὶ τῷ σχήματι τρίγωνος ἐκείνων μᾶλλον· τούτων δ' ὁ εὐτελέστατος καὶ μικρότατος οὐχ ἧττον ἀττικῶν χιλίων πιπράσκεται. Ἀπίων δ' ὁ γραμματικὸς ἐν τῷ περὶ τῆς Ἀπικίου τρυφῆς τὸν ἔλοπα καλούμενον τοῦτόν φησιν εἶναι τὸν ἀκκιπήσιον. ἀλλ' ὅ γε Ἀρχέστρατος περὶ τοῦ ῥοδιακοῦ γαλεοῦ λέγων τοῖς ἑταίροις πατρικῶς πως συμβουλεύων φησίν

ἐν δὲ Ῥόδῳ γαλεὸν τὸν ἀλώπεκα· κἂν ἀποθνήσκειν 295

μέλλῃς, ἂν μή σοι πωλεῖν θέλῃ, ἅρπασον αὐτόν·
ὃν καλέουσι Συρακόσιοι κύνα πίονα· κᾆτα
ὕστερον ἤδη πάσχ' ὅ τί σοι πεπρωμένον ἐστίν.

τούτων τῶν ἐπῶν μνησθεὶς καὶ Λυγκεὺς ὁ Σάμιος ἐν τῇ πρὸς Διαγόραν ἐπιστολῇ φησὶ καὶ δικαίως παρακελεύεσθαι τὸν ποιητὴν τῷ μὴ δυναμένῳ τιμὴν ἀριθμῆσαι ἀδικίᾳ κτήσασθαι τὴν ἐπιθυμίαν. καὶ γὰρ
b τὸν Θησέα φησὶ γεγονότα καλόν, ὑπολαμβάνω, τοῦ Τληπολέμου τὸν ἰχθὺν τοῦτον αὐτῷ παρασχόντος, παρεσχηκέναι. Τιμοκλῆς δ' ἐν Δακτυλίῳ φησί

γαλεοὺς καὶ βατίδας ὅσα τε τῶν γενῶν
ἐν ὀξυλιπάρῳ τρίμματι σκευάζεται.

45. ΓΛΑΥΚΟΣ. Ἐπίχαρμος ἐν Ἥβας γάμῳ

σκορπίοι τε ποικίλοι σαῦροί τε, γλαῦκοι πίονες.

Νουμήνιος δ' ἐν Ἁλιευτικῷ

ὕκην ἢ κάλλιχθυν ἠὲ χρόμιν, ἄλλοτε δ' ὀρφόν,
c ἢ γλαῦκον περόωντα κατὰ μνία σιγαλόεντα.

τὴν δὲ τοῦ γλαύκου κεφαλὴν ἐπαινῶν ὁ Ἀρχέστρατός φησιν

ἀλλά μοι ὀψώνει γλαύκου κεφαλὴν ἐν Ὀλύνθῳ
καὶ Μεγάροις. σεμνὸς γὰρ ἁλίσκεται ἐν τενάγεσσι.

καὶ Ἀντιφάνης δ' ἐν Προβατεῖ φησίν

βοιώτιαι μὲν ἐγχέλεις, μῦς ποντικοί,
γλαῦκοι μεγαρικοί, μαινίδες καρύστιαι,
d φάγροι δ' ἐρετρικοί, σκύριοι δὲ κάραβοι.

ὁ δ' αὐτὸς ἐν Φιλώτιδι καὶ ταῦτα λέγει

οὐκοῦν τὸ μὲν γλαυκίδιον ὥσπερ ἄλλοτε
ἕψειν ἐν ἅλμῃ φημί. Β. τὸ δὲ λαβράκιον;
Α. ὀπτᾶν ὅλον. Β. τὸν γαλεόν; Α. ἐν ὑποτρίμματι
ζέσαι. Β. τὸ δ' ἐγχέλειον; Α. ἅλες ὀρίγανον

ὕδωρ. Β. ὁ γόγγρος; Α. ταὐτόν. Β. ἡ βατίς; Α. χλόη.
Β. πρόσεστι θύννου τέμαχος. Α. ὀπτήσεις. Β. κρέας
ἐρίφειον; Α. ὀπτόν. Β. θάτερον; Α. τἀναντία.
Β. ὁ σπλήν; Α. σεσάχθω. Β. νῆστις;

46. Εὔβουλος Καμπυλίωνι e

τήν τ' εὐπρόσωπον λοπάδα τοῦδε τοῦ θαλαττίου
γλαύκου φέρουσαν εὐγενέστερον
λάβρακά θ' ἑφθὸν ἅλμῃ μίαν.

Ἀναξανδρίδης Νηρεῖ

ὁ πρῶτος εὑρὼν πολυτελὲς τμητὸν μέγα
γλαύκου πρόσωπον τοῦ τ' ἀμύμονος δέμας
θύννου τά τ' ἄλλα βρώματ' ἐξ ὑγρᾶς ἁλός,
Νηρεὺς κατοικεῖ πάντα τόνδε τὸν τόπον.

Ἄμφις ἐν Ἑπτὰ ἐπὶ Θήβαις

γλαῦκοι δ' ὅλοι, ῥαχιστὰ κρανίων μέρη f
εὔσαρκα.

καὶ ἐν Φιλεταίρῳ

ἔχειν καθαρείως ἐγχελύδιόν τι καὶ
γλαυκινιδίου κεφάλαια καὶ λαβρακίου
τεμάχια.

Ἀντιφάνης δ' ἐν Κύκλωπι ὑπερακοντίζων τὸν τένθην Ἀρχέστρατόν φησιν

ἔστω δ' ἡμῖν κεστρεὺς τμητός,
νάρκη πνικτή, πέρκη σχιστή,
τευθὶς σακτή, συνόδων ὀπτός,
γλαύκου προτομή, γόγγρου κεφαλή,
βατράχου γαστήρ, θύννου λαγόνες,
βατίδος νῶτον, κέστρας ὀσφύς,
ψήττας κίσχος, μαινίς, καρίς,
τρίγλη, φυκίς·

τῶν τοιούτων μηδὲν ἀπέστω.

296 47. Ναυσικράτης Ναυκλήροις

δύο μὲν (φησὶν) ἁπαλοὶ καὶ καλοὶ
[ἐπώνυμοι] τοῦ ναυτίλοισι πολλάκις
ἤδη φανέντος πελαγίοις ἐν ἀγκάλαις,
ὃν καὶ τὰ θνητῶν φασὶν ἀγγέλλειν πάθη.
Β. γλαῦκον λέγεις. Α. ἔγνωκας.

τὸν δὲ Γλαῦκον τὸν θαλάττιον δαίμονα Θεόλυτος μὲν ὁ Μηθυμναῖος ἐν τοῖς Βακχικοῖς ἔπεσιν ἐρασθέντα φησὶν Ἀριάδνης, ὅτ' ἐν Δίᾳ τῇ νήσῳ ὑπὸ Διονύσου ἡρπάσθη, καὶ βιαζόμενον ὑπὸ Διονύσου ἀμπελίνῳ
b δεσμῷ ἐνδεθῆναι, καὶ δεηθέντα ἀφεθῆναι εἰπόντα

Ἀνθηδών νύ τις ἐστὶν ἐπὶ πλευροῖο θαλάσσης
ἀντίον Εὐβοίης σχεδὸν εὐρίποιο ῥοάων·
ἔνθεν ἐγὼ γένος εἰμί· πατὴρ δέ με γείνατο Κωπεύς.

Προμαθίδας δ' ὁ Ἡρακλεώτης ἐν ἡμιάμβοις Πολύβου τοῦ Ἑρμοῦ καὶ Εὐβοίας τῆς Λαρύμνου γενεαλογεῖ τὸν Γλαῦκον. Μνασέας δ' ἐν τρίτῳ τῶν Εὐρωπιακῶν Ἀνθηδόνος καὶ Ἀλκυόνης αὐτὸν γενεαλογεῖ. ναυτι-
c κὸν δὲ αὐτὸν καὶ κολυμβητὴν ἀγαθὸν γενόμενον πόντιον καλεῖσθαι· ἁρπάσαντα δὲ Σύμην τὴν Ἰηλύσου καὶ Δωτίδος θυγατέρα ἀποπλεῦσαι εἰς τὴν Ἀσίαν, καὶ τὴν ἐγγὺς τῆς Καρίας νῆσον ἔρημον κατοικίσαντα ἀπὸ τῆς γυναικὸς Σύμην αὐτὴν προσαγορεῦσαι. Εὐάνθης δ' ὁ ἐποποιὸς ἐν τῷ εἰς τὸν Γλαῦκον ὕμνῳ Ποσειδῶνος αὐτὸν υἱὸν εἶναι καὶ ναίδος νύμφης, μιγῆναί τε Ἀριάδνῃ ἐν Δίᾳ τῇ νήσῳ ἐρασθέντα, ὅτε ὑπὸ Θησέως κατελείφθη. Ἀριστοτέλης δ' ἐν τῇ Δηλίων πολιτείᾳ ἐν Δήλῳ κατοικήσαντα μετὰ τῶν νηρηίδων τοῖς θέ-
d λουσι μαντεύεσθαι. Πόσσις δ' ὁ Μάγνης ἐν τρίτῳ Ἀμαζονίδος τῆς Ἀργοῦς φησὶ δημιουργὸν γενέσθαι

τὸν Γλαῦκον, καὶ κυβερνῶντα αὐτήν, ὅτε Ἰάσων μετὰ τῶν Τυρρηνῶν ἐμάχετο, μόνον ἄτρωτον γενέσθαι ἐν τῇ ναυμαχίᾳ· κατὰ δὲ Διὸς βούλησιν ἐν τῷ τῆς θαλάττης βυθῷ ἀφανισθῆναι, καὶ οὕτως γενέσθαι θαλάττιον δαίμονα ὑπὸ μόνου τε Ἰάσονος θεωρηθῆναι. Νικάνωρ δὲ ὁ Κυρηναῖος ἐν Μετονομασίαις τὸν Μελικέρτην φησὶ Γλαῦκον μετονομασθῆναι.

48. ἱστορεῖ δὲ περὶ αὐτοῦ καὶ ὁ Αἰτωλὸς Ἀλέ- e
ξανδρος ἐν τῷ ἐπιγραφομένῳ Ἁλιεῖ ὡς ὅτι ʽγευσάμενος βοτάνηςʼ κατεποντώθη,

ἣν Ἡλίῳ φαέθοντι
ἐν μακάρων νήσοισι λιτὴ φύει εἴαρι γαῖα,
Ἠέλιος δ' ἵπποις θυμήρεα δόρπον ὀπάζει
ὕλῃ ναιετάουσαν, ἵνα δρόμον ἐκτελέσωσιν
ἄτρυτοι καὶ μή τιν' ἕλῃ μεσσηγὺς ἀνίη.

Αἰσχρίων δ' ὁ Σάμιος ἔν τινι τῶν ἰάμβων Ὕδνης φησὶ τῆς Σκύλλου τοῦ Σκιωναίου κατακολυμβητοῦ θυγατρὸς τὸν θαλάσσιον Γλαῦκον ἐρασθῆναι. ἰδίως f
δὲ καὶ περὶ τῆς βοτάνης λέγει, ἣν φαγὼν ἀθάνατος ἐγένετο·

καὶ θεῶν [βρῶμα]
ἄγρωστιν εὗρες, ἣν Κρόνος κατέσπειρεν.

Νίκανδρος δ' ἐν τρίτῳ Εὐρωπίας Νηρέως ἐρώμενον τὸν Γλαῦκον ἱστορεῖ γενέσθαι. ὁ δ' αὐτὸς Νίκανδρος ἐν πρώτῳ Αἰτωλικῶν τὴν μαντικήν φησιν Ἀπόλλωνα ὑπὸ Γλαύκου διδαχθῆναι· θηρῶντα δὲ περὶ τὴν 297
Ὀρείην, ὄρος δὲ τοῦθ' ὑπάρχειν ὑψηλὸν ἐν Αἰτωλίᾳ, λαγὼν θηρᾶσαι, ὃν λιποθυμοῦντα ὑπὸ τῆς διώξεως ἀπαγαγεῖν ἐπὶ κρήνῃ τινί, καὶ τῇ παρακειμένῃ πόᾳ ἤδη ἀποψυχόμενον ἀπομάσσειν. ἀναζωπυρήσαντος δὲ τοῦ λαγὼ τῇ βοτάνῃ ἐπιγνόντα τῆς βοτάνης τὴν δύναμιν ἀπογεύσασθαι, καὶ ἔνθεον γενόμενον ἐπιγενο-

μένου χειμῶνος κατὰ Διὸς βούλησιν εἰς τὴν θάλασσαν αὐτὸν ἐκρῖψαι. Ἡδύλος δ' ὁ Σάμιος ἢ Ἀθηναῖος b Μελικέρτου φησὶν ἐρασθέντα τὸν Γλαῦκον ἑαυτὸν ῥῖψαι εἰς τὴν θάλασσαν. Ἡδύλη δὲ τοῦ ποιητοῦ τούτου μήτηρ, Μοσχίνης δὲ θυγάτηρ τῆς Ἀττικῆς ἰάμβων ποιητρίας, ἐν τῇ ἐπιγραφομένῃ Σκύλλῃ ἱστορεῖ τὸν Γλαῦκον ἐρασθέντα Σκύλλης ἐλθεῖν αὐτῆς εἰς τὸ ἄντρον

ἢ κόγχου δώρημα φέροντ' ἐρυθραίης ἀπὸ πέτρης,
ἢ τοὺς ἀλκυόνων παῖδας ἔτ' ἀπτερύγους,
τῇ νύμφῃ δυσπείστῳ ἀθύρματα. δάκρυ δ' ἐκείνου
καὶ Σειρὴν γείτων παρθένος ᾠκτίσατο·
c ἀκτὴν γὰρ κείνην ἀπενήχετο καὶ τὰ σύνεγγυς
Αἴτνης.

49. ΓΝΑΦΕΥΣ. Δωρίων ἐν τῷ περὶ ἰχθύων τὸ ἐκ τῆς ἑψήσεως τοῦ γναφέως ὑγρόν φησι πάντα σπίλον καθαίρειν. μνημονεύει δ' αὐτοῦ καὶ Ἐπαίνετος ἐν Ὀψαρτυτικῷ.

50. ΕΓΧΕΛΥΣ. τῶν θαλασσίων ἐγχέλεων μνημονεύει Ἐπίχαρμος ἐν Μούσαις. Δωρίων δ' ἐν τῷ περὶ ἰχθύων, μνημονεύων καὶ τῶν ἀπὸ τῆς Κωπαΐδος, τὰς κωπαΐδας ἐπαινεῖ· γίνονται δ' αὗται ὑπερ- d μεγέθεις. φησὶ γοῦν Ἀγαθαρχίδης ἐν ἕκτῃ Εὐρωπιακῶν τὰς ὑπερφυεῖς τῶν κωπαΐδων ἐγχέλεων ἱερείων τρόπον στεφανοῦντας καὶ κατευχομένους οὐλάς τ' ἐπιβάλλοντας θύειν τοῖς θεοῖς τοὺς Βοιωτούς· καὶ πρὸς τὸν ξένον τὸν διαποροῦντα τὸ τοῦ ἔθους παράδοξον καὶ πυνθανόμενον, ἓν μόνον εἰδέναι φῆσαι τὸν Βοιωτόν, φάσκειν τε ὅτι δεῖ τηρεῖν τὰ προγονικὰ νόμιμα, καὶ ὅτι μὴ καθήκει τοῖς ἄλλοις ὑπὲρ αὐτῶν ἀπολογίζεσθαι. οὐ χρὴ δὲ θαυμάζειν εἰ ἱερείων τρόπον ἐγχέλεις θύονται, ὁπότε καὶ Ἀντί-

γονος ὁ Καρύστιος ἐν τῷ περὶ λέξεως τοὺς ἁλιέας e λέγει θυσίαν ἐπιτελοῦντας τῷ Ποσειδῶνι ὑπὸ τὴν τῶν θύννων ὥραν, ὅταν εὐαγρήσωσι, θύειν τῷ θεῷ τὸν πρῶτον ἁλόντα θύννον, καὶ τὴν θυσίαν ταύτην καλεῖσθαι θυνναῖα.

51. καὶ τάριχοι δὲ παρὰ Φασηλίταις ἀποθύονται. Ἡρόπυθος γοῦν ἐν Ὥροις Κολοφωνίων περὶ τῆς κτίσεως ἱστορῶν τῆς Φασήλιδος φησὶν ὅτι Λάκιος ὁ τὴν ἀποικίαν στείλας μισθὸν ἔδωκε τοῦ τόπου Κυλάβρᾳ ποιμένι νέμοντι πρόβατα ταρίχους, ἐκείνου τοῦτο f αἰτήσαντος. προθέντος γὰρ αὐτῷ τοῦ Λακίου λαβεῖν τοῦ χωρίου ἢ ἄλφιτα ἢ ἄλητα ἢ ταρίχους, εἵλετο ὁ Κυλάβρας τοὺς ταρίχους. καὶ διὰ τοῦτο οἱ Φασηλῖται ἀνὰ πᾶν ἔτος τῷ Κυλάβρᾳ ἔτι καὶ νῦν τάριχον θύουσι. Φιλοστέφανος δ' ἐν τῷ πρώτῳ περὶ τῶν ἐν τῇ Ἀσίᾳ πόλεων οὕτως γράφει 'Λάκιον τὸν Ἀργεῖον τῶν σὺν Μόψῳ ἀφικομένων, ὃν τινὲς μὲν Λίνδιον εἶναι λέγουσιν, ἀδελφὸν δὲ Ἀντιφήμου τοῦ Γέλαν οἰκίσαντος, εἰς τὴν Φασήλιδα ὑπὸ Μόψου μετ' ἀνδρῶν πεμφθέντα 298 κατά τινα λόγον Μαντοῦς τῆς Μόψου μητρός, ὅτε αἱ πρύμναι τῶν ἰδίων νηῶν συνέβαλον καὶ συνεθραύσθησαν κατὰ Χελιδονίας, τῶν μετὰ τοῦ Λακίου διὰ τὸ ὑστερεῖν αὐτῶν νυκτὸς προσβαλόντων. ἀγοράσαι δ' αὐτὸν τὴν γῆν λέγεται οὗ ἡ πόλις νῦν ἐστι, καθὰ ἡ Μαντὼ προεῖπε, παρὰ Κυλάβρα τινὸς δόντα τάριχον· τοῦτον γὰρ ἑλέσθαι λαβεῖν αὐτὸν ἀφ' ὧν ἦγον. ὅθεν κατ' ἐνιαυτὸν τοὺς Φασηλίτας τῷ Κυλάβρᾳ θύειν τάριχον, τιμῶντας ὡς ἥρωα.'

52. περὶ δὲ τῶν ἐγχέλεων Ἱκέσιός φησιν ἐν τοῖς περὶ ὕλης ὡς αἱ ἐγχέλεις εὐχυλότεραι πάντων εἰσὶν ἰχθύων, b καὶ ὅτι εὐστομαχίᾳ διαφέρουσι τῶν πλείστων· πλήσμιαι γάρ εἰσι καὶ πολύτροφοι. ἐν δὲ τοῖς ταρίχεσι

τὰς μακεδονικὰς ἐγχέλεις κατατάττει. Ἀριστοτέλης δὲ χαίρειν φησὶ τὰς ἐγχέλεις καθαρωτάτῳ ὕδατι. ὅθεν τοὺς ἐγχελυοτρόφους καθαρὸν αὐταῖς ἐπιχεῖν· πνίγεσθαι γὰρ ἐν τῷ θολερῷ. διὸ καὶ οἱ θηρεύοντες θολοῦσι τὸ ὕδωρ, ἵν᾽ ἀποπνίγωνται. λεπτὰ γὰρ ἔχουσαι τὰ βραγχία αὐτίκα ὑπὸ τοῦ θολοῦ τοὺς πόρους
c ἐπιπωματίζονται. ὅθεν κἀν τοῖς χειμῶσιν ὑπὸ τῶν πνευμάτων ταραττομένου τοῦ ὕδατος ἀποπνίγονται. ὀχεύονται δὲ συμπλεκόμεναι, κᾆτ᾽ ἀφιᾶσι γλοιῶδες ἐξ αὐτῶν, ὃ γενόμενον ἐν τῇ ἰλύι ζῳογονεῖται. λέγουσι δὲ οἱ ἐγχελυοτρόφοι καὶ ὡς νυκτὸς μὲν νέμονται ἡμέρας δὲ ἐν τῇ ἰλύι ἀκινητίζουσι, ζῶσί τε τὸ ἐπὶ πολὺ ἐπὶ ὀκτὼ ἔτη. ἐν ἄλλοις δὲ πάλιν Ἀριστοτέλης ἱστορεῖ γίνεσθαι αὐτὰς οὔτε ᾠοτοκούσας οὔτε ζῳοτοκούσας, ἀλλ᾽ οὐδὲ ἐξ ὀχείας, ἀλλ᾽ ἐν τῷ βορβόρῳ καὶ τῇ ἰλύϊ
d σήψεως γινομένης· καθάπερ καὶ ἐπὶ τῶν καλουμένων τῆς γῆς ἐντέρων λέγεται. διὸ καὶ Ὅμηρον τῆς τῶν ἰχθύων φύσεως χωρίζοντα τάδε εἰπεῖν

τείροντ᾽ ἐγχέλυές τε καὶ ἰχθύες οἱ κατὰ δίνας.

53. Ἐπικούρειος δέ τις εἰκαδιστὴς τῶν συνδειπνούντων ἡμῖν ἐγχέλυος παρατεθείσης, πάρεστιν, ἔφη, ἡ τῶν δείπνων Ἑλένη· ἐγὼ οὖν Πάρις ἔσομαι. καὶ χεῖρας μήπω τινὸς ἐκτετακότος ἐπ᾽ αὐτὴν ἐπιβαλὼν ἐψίλωσε τὸ πλευρὸν ἀγαγὼν εἰς ἄκανθαν. ὁ δ᾽
e αὐτὸς οὗτος πλακοῦντός ποτε θερμοῦ παρατεθέντος καὶ πάντων ἀπεχομένων ἐπιφωνήσας

τοῦ δ᾽ ἐγὼ ἀντίος εἶμι, καὶ εἰ πυρὶ χεῖρας ἔοικεν,

προπετῶς ἐπιβαλὼν καὶ καταπιὼν φλεγόμενος ἐξεφέρετο. καὶ ὁ Κύνουλκος ἔφη, ἀποφέρεται ἐκ τῆς βρογχοπαρατάξεως ὁ λάρος. καὶ περὶ τῆς ἐγχέλυος δ᾽ Ἀρχέστρατος οὕτως ἱστορεῖ

ἔγχελυν αἰνῶ μὲν πᾶσαν, πολὺ δ᾽ ἐστὶ κρατίστη

Ῥηγίου ἀντιπέραν πορθμῷ ληφθεῖσα θαλάσσης.
ἔνθα σὺ τῶν ἄλλων πάντων, Μεσσήνιε, θνητῶν f
βρῶμα τιθεὶς τοιόνδε διὰ στόματος πλεονεκτεῖς.
οὐ μὴν ἀλλὰ κλέος γ᾽ ἀρετῆς μέγα κάρτα φέρουσιν
κωπαῖαι καὶ στρυμόνιαι· μεγάλαι τε γάρ εἰσιν
καὶ τὸ πάχος θαυμασταί. ὅμως δ᾽ οἶμαι βασιλεύει
πάντων τῶν περὶ δαῖτα καὶ ἡδονῇ ἡγεμονεύει 299
ἔγχελυς, ἣ φύσει ἐστὶν ἀπήρινος μόνος ἰχθύς.

54. Ὁμήρου δὲ εἰπόντος 'τεῖροντ᾽ ἐγχέλυές τε καὶ ἰχθύες' ἀκολούθως ἐποίησε καὶ Ἀρχίλοχος

πολλὰς δὲ τυφλὰς ἐγχέλυας ἐδέξω.

οἱ δ᾽ Ἀττικοί, καθὼς Τρύφων φησί, τὰς ἑνικὰς χρήσεις ἐπιστάμενοι διὰ τοῦ υ, τὰς πληθυντικὰς οὐκ ἔτι ἀκολούθως ἐπιφέρουσιν. ὁ γοῦν Ἀριστοφάνης ἐν μὲν Ἀχαρνεῦσι

σκέψασθε (φησὶ) παῖδες τὴν κρατίστην ἔγχελυν.

καὶ ἐν Λημνίαις 'ἔγχελυν βοιωτίαν.' τὴν δ᾽ εὐθεῖαν b
ἐν Δαιταλεῦσι 'καὶ λεῖος ὥσπερ ἔγχελυς.' καὶ Κρατῖνος ἐν Πλούτοις

θύννος ὀρφὼς γλαῦκος ἔγχελυς κύων.

τὰς μέντοι πληθυντικὰς οὐκ ἔθ᾽ ὁμοίως τῷ ποιητῇ. Ἀριστοφάνης Ἱππεῦσιν

ὅπερ γὰρ οἱ τὰς ἐγχέλεις θηρώμενοι πέπονθας.

καὶ δευτέραις Νεφέλαις

τὰς εἰκοῦς τῶν ἐγχέλεων τὰς ἐμὰς μιμούμενοι.

ἐν Σφηξὶ δὲ ἡ δοτική 'οὐ χαίρω δὲ βατίσιν οὐδ᾽ ἐγχέλεσιν.' Στράττις δ᾽ ἐν Ποταμίοις ἔφη 'ἐγχέλεων ἀνεψιός.' Σιμωνίδης δ᾽ ἐν ἰάμβοις 'ὥσπερ ἔγχελυς κατὰ c
γλοιοῦ.' καὶ τὴν αἰτιατικήν

ἐρῳδιὸς γὰρ ἔγχελυν μαιανδρίην
τριόρχον εὑρὼν ἐσθίοντ᾽ ἀφείλετο.

Ἀριστοτέλης δ᾽ ἐν τοῖς περὶ ζῴων μορίων διὰ τοῦ ι

ἔγχελις εἴρηκεν. ὅταν δ' Ἀριστοφάνης ἐν Ἱππεῦσι λέγῃ

ὅπερ γὰρ οἱ τὰς ἐγχέλεις θηρώμενοι πέπονθας·
ὅταν μὲν ἡ λίμνη καταστῇ, λαμβάνουσιν οὐδέν,
d ἐὰν δ' ἄνω τε καὶ κάτω τὸν βόρβορον κυκῶσιν,
αἱροῦσι· καὶ σὺ λαμβάνεις, ἢν τὴν πόλιν ταράττῃς,

σαφῶς δηλοῖ ὅτι ἡ ἔγχελυς ἐκ τῆς ἰλύος λαμβάνεται. ἔνθεν καὶ τοὔνομα εἰς λυς ἐπερατώθη. καὶ ὁ ποιητὴς οὖν θέλων δηλῶσαι τὸ εἰς βάθος τοῦ ποταμοῦ καιόμενον οὕτως ἔφη 'τείροντ' ἐγχέλυές τε καὶ ἰχθύες.' εἰδικώτερον δὲ καὶ κατ' ἐξαίρετον ἐγχέλυες, ἵνα καὶ τὸ βάθος τοῦ κεκαυμένου ὕδατος δηλώσῃ.

e 55. Ἀντιφάνης δ' ἐν Λύκωνι κωμῳδῶν τοὺς Αἰγυπτίους φησί

καὶ τἆλλα δεινούς φασι τοὺς Αἰγυπτίους
εἶναι τὸ νομίσαι τ' ἰσόθεον τὴν ἔγχελυν.
πολὺ τῶν θεῶν γάρ ἐστι τιμιωτέρα.
τῶν μὲν γὰρ εὐξαμένοισιν ἔσθ' ἡμῖν τυχεῖν,
τούτων δὲ δραχμὰς τοὐλάχιστον δώδεκα
ἢ πλέον ἀναλώσασιν ὀσφρέσθαι μόνον.
οὕτως ἅγιόν τι παντελῶς τὸ θηρίον.

Ἀναξανδρίδης δ' ἐν Πόλεσι πρὸς τοὺς Αἰγυπτίους
f ἀποτεινόμενος τὸν λόγον φησίν

οὐκ ἂν δυναίμην συμμαχεῖν ὑμῖν ἐγώ·
οὔθ' οἱ τρόποι γὰρ ὁμονοοῦσ' οὔθ' οἱ νόμοι
ἡμῶν, ἀπ' ἀλλήλων δὲ διέχουσιν πολύ.
βοῦν προσκυνεῖς, ἐγὼ δὲ θύω τοῖς θεοῖς.
τὴν ἔγχελυν μέγιστον ἡγεῖ δαίμονα,
ἡμεῖς δὲ τῶν ὄψων μέγιστον παρὰ πολύ.
οὐκ ἐσθίεις ὕει', ἐγὼ δέ γ' ἥδομαι
300 μάλιστα τούτοις. κύνα σέβεις, τύπτω δ' ἐγώ,

τοὖψον κατεσθίουσαν ἡνίκ' ἂν λάβω.
τοὺς ἱερέας ἐνθάδε μὲν ὁλοκλήρους νόμος
εἶναι, παρ' ὑμῖν δ', ὡς ἔοικ', ἀπηργμένους.
τὸν αἰέλουρον κακὸν ἔχοντ' ἐὰν ἴδῃς,
κλάεις, ἐγὼ δ' ἥδιστ' ἀποκτείνας δέρω.
δύναται παρ' ὑμῖν μυγαλῆ, παρ' ἐμοὶ δέ γ' οὔ.

Τιμοκλῆς δ' ἐν Αἰγυπτίοις

πῶς ἂν μὲν οὖν σώσειεν ἶβις ἢ κύων;
ὅπου γὰρ εἰς τοὺς ὁμολογουμένους θεοὺς b
ἀσεβοῦντες οὐ διδόασιν εὐθέως δίκην,
τίν' αἰελούρου βωμὸς ἐπιτρίψειεν ἄν;

56. ὅτι δ' ἤσθιον τὰς ἐγχέλεις καὶ μετὰ τεύτλων ἐντυλίξαντες πολὺ μέν ἐστι καὶ παρὰ τοῖς ἀρχαίοις κωμικοῖς, καὶ Εὔβουλος δέ φησιν ἐν Ἠχοῖ

νύμφα ἀπειρόγαμος τεύτλῳ περὶ σῶμα καλυπτὰ
λευκόχρως παρέσται
ἔγχελυς, ὦ μέγα μοι μέγα σοι φῶς ἐναργές.

καὶ ἐν Ἴωνι

μετὰ ταῦτα θύννων μεγαλόπλουτ' ἐπεισέπλει c
ὑπογάστρι' ὀπτῶν, αἵ τε λιπαροσώματοι
βοιώτιαι παρῆσαν ἐγχέλεις θεαὶ
τεῦτλ' ἀμπεχόμεναι.

καὶ ἐν Μηδείᾳ

παρθένου βοιωτίας
κωπᾴδος· ὀνομάζειν γὰρ αἰδοῦμαι θεάν.

ὅτι δὲ καὶ αἱ στρυμόνιαι ἐγχέλεις δι' ὀνόματος ἦσαν φησὶν ἐν Θαμύρᾳ Ἀντιφάνης

καὶ σοῦ γ' ἐπώνυμός τις ἐν φήμαις βροτῶν
Θρῄκην κατάρδων ποταμὸς ὠνομασμένος
Στρυμών, μεγίστας ἐγχέλεις κεκτημένος. d

καὶ περὶ τὸν Εὐλέα δὲ ποταμόν, οὗ μνημονεύει Ἀντίμαχος ἐν ταῖς ἐπιγραφομέναις Δέλτοις οὕτως

ἐλθὼν Εὐλῆος πηγὰς ἔπι δινήεντος,

Δημήτριος ὁ Σκήψιος ἐν ἑκκαιδεκάτῳ τοῦ τρωικοῦ διακόσμου ἐγχέλεις φησὶ διαφόρους γίνεσθαι.

57. ΕΛΟΨ. προείρηται μέν τινα περὶ αὐτοῦ· ἀλλὰ καὶ Ἀρχέστρατός φησι τάδε περὶ αὐτοῦ

e τὸν δ' ἔλοπ' ἔσθε μάλιστα Συρακούσαις ἐνὶ κλειναῖς,
τόν γε κρατιστεύονθ'. οὗτος γὰρ αὖ ἐστὶν ἐκεῖθεν
τὴν ἀρχὴν γεγονὼς θ' ην κἂν ᾖ περὶ νήσους,
ᾖ περὶ τὴν ἄλλην που ἁλῷ γῆν, ᾖ περὶ Κρήτην,
λεπτὸς καὶ στερεὸς καὶ κυματοπλὴξ ἀφικνεῖται.

58. ΕΡΥΘΡΙΝΟΣ. Ἀριστοτέλης ἐν τῷ περὶ ζῴων καὶ Σπεύσιππος παραπλήσιά φησιν εἶναι φάγρον ἐρυθρῖνον ἥπατον. τὰ παραπλήσια εἴρηκε καὶ Δω-
f ρίων ἐν τῷ περὶ ἰχθύων. Κυρηναῖοι δ' ὕκην τὸν ἐρυθρῖνον καλοῦσιν, ὡς Κλείταρχός φησιν ἐν γλώσσαις.

59. ΕΓΚΡΑΣΙΧΟΛΟΙ. καὶ τούτων μέμνηται Ἀριστοτέλης ὡς μικρῶν ἰχθυδίων ἐν τῷ περὶ ζωικῶν. Δωρίων δὲ ἐν τῷ περὶ ἰχθύων τῶν ἐγκρασιχόλων ἐν τοῖς ἑψητοῖς μέμνηται εἰπὼν οὕτως 'ἑψητοὺς εἶναι μὲν δεῖ ἐγκρασιχόλους ᾖ ἴωπας ᾖ ἀθερίνας ᾖ κωβιοὺς ᾖ τριγλίδας μικράς, σηπίδιά τε καὶ τευθίδια καὶ καρκίνια.'

301 60. ΕΨΗΤΟΣ. ἐπὶ τῶν λεπτῶν ἰχθυδίων. Ἀριστοφάνης ἐν Ἀναγύρῳ 'οὐχ ἑψητῶν λοπάς ἐστιν.' Ἄρχιππος Ἰχθύσι

καὶ τὴν μὲν ἀφύην καταπέπωκεν ἐντυχὼν
ἑψητὸς

Εὔπολις Αἰξίν

ὦ Χάριτες, αἷσι μέλουσιν ἑψητοί.

Εὔβουλος ἐν Προσουσίᾳ ἢ Κύκνῳ

ἀγαπῶν τε κἂν ἑψητὸν ἐν τεύτλοις ἕνα
διὰ δωδεκάτης ἑψόμενον ἡμέρας ἴδῃ.

Ἄλεξις ἐν Ἀπεγλαυκωμένῳ

καὶ γὰρ ἑψητοί τινες
παρῆσαν ἡμῖν δαιδάλεοί πως.

τὰ γὰρ καλὰ πάντα Δαιδάλου καλοῦσιν ἔργα. καὶ b
πάλιν

τῶν οὖν κορακίνων πεῖραν οὐχὶ λαμβάνεις,
οὐδὲ τριχίδων, οὐδ' οἷον ἑψητῶν τινῶν;

πληθυντικῶς δὲ λέγουσιν ἑψητοὺς κατὰ τὸ πλεῖστον. Ἀριστοφάνης Δράμασιν ἢ Νιόβῳ

οὐδὲν μὰ Δί' ἐρῶ λοπάδος ἑψητῶν.

Μένανδρος Περινθίᾳ

τὸ παιδίον δ' εἰσῆλθεν ἑψητοὺς φέρον.

ἑνικῶς δὲ Νικόστρατος ἐν Ἡσιόδῳ

βεμβράδ' ἀφύην ἑψητόν.

Ποσείδιππος Ἀποκλειομένῃ

ἑψητὸν ἀγοράζειν τινά.

ἐν δὲ τῇ ἐμῇ Ναυκράτει ἑψητοὺς καλοῦσιν ἰχθύδια c
ἀπολειπόμενα ἐν ταῖς διώρυξιν, ὅταν ὁ Νεῖλος ὑποπαύηται τῆς πληρώσεως.

61. ΗΠΑΤΟΣ ἢ ΛΕΒΙΑΣ. Διοκλῆς τοῦτόν φησι τῶν πετραίων εἶναι· Σπεύσιππος δ' ὅμοιον φάγρῳ τὸν ἥπατον. ἔστι δὲ μονήρης, ὥς φησιν Ἀριστοτέλης, σαρκόφαγός τε καὶ καρχαρόδους, τὴν χροιὰν μὲν μέλας, ὀφθαλμοὺς δὲ μείζονας ἢ καθ' αὑτὸν ἔχων, καρδίαν τρίγωνον λευκήν. Ἀρχέστρατος δ' ὁ τῶν δείπνων λοχαγός φησιν

καὶ λεβίαν λαβέ, Μόσχε, τὸν ἥπατον ἐν περικλύστῳ d
Δήλῳ καὶ Τήνῳ.

62. ΗΛΑΚΑΤΗΝΕΣ. *Μνησίμαχος Ἱπποτρόφῳ*

*σκόμβρος*
*θύννος κωβιὸς ἠλακατῆνες.*

*εἰσὶ δὲ κητώδεις, ἐπιτήδειοι εἰς ταριχείαν. Μένανδρος κόλωσί φησι*

*κωβιὸς ἠλακατῆνες*
*κυνὸς οὐραῖον.*

*Μνασέας δ᾽ ὁ Πατρεύς φησιν ʽἰχθύος δὲ γίνεται καὶ ἡσυχίας τῆς ἀδελφῆς γαλῆ καὶ μύραινα καὶ ἠλακατήν.᾽*

e 63. ΘΥΝΝΟΣ. *τοῦτόν φησιν Ἀριστοτέλης εἰσπλεῖν εἰς τὸν Πόντον ἐχόμενον τῆς γῆς· ἐν τῷ δεξιῷ ὀφθαλμῷ βλέπειν, τῷ γὰρ εὐωνύμῳ ἀμβλυωπεῖν. ἔχει δ᾽ ὑπὸ τὰ πτερύγια τὸν λεγόμενον οἶστρον. χαίρει δὲ ἀλέᾳ· διὸ καὶ πρὸς τὴν ἄμμον πρόσεισι. γίνεται δὲ ἐδώδιμος, ὅταν τοῦ οἴστρου παύσηται. μίσγεται δὲ μετὰ τὴν φωλείαν, ὥς φησι Θεόφραστος. καὶ ἕως μὲν* f *ἂν ἔχῃ μικρὰ τὰ κυήματα, δυσάλωτος, ὅταν δὲ μείζω γένηται, διὰ τὸν οἶστρον ἁλίσκεται. φωλεύει δ᾽ ὁ θύννος καίτοι πολυαίματος ὤν. Ἀρχέστρατος δέ φησιν*

*ἀμφὶ δὲ τὴν ἱεράν τε καὶ εὐρύχορον Σάμον ὄψει*
*θύννον ἁλισκόμενον σπουδῇ μέγαν, ὃν καλέουσιν*
*ὄρκυν᾽, ἄλλοι δ᾽ αὖ κῆτος. τούτου δὲ θεοῖς χρὴ*
*ὀψωνεῖν ἃ πρέπει ταχέως, καὶ μὴ περὶ τιμῆς . . .*
302 *ἔστι δὲ γενναῖος Βυζαντίῳ ἔν τε Καρύστῳ,*
*ἐν Σικελῶν τε κλυτῇ νήσῳ Κεφαλοιδὶς ἀμείνους*
*πολλῷ τῶνδε τρέφει θύννους καὶ Τυνδαρὶς ἀκτή.*
*ἂν δέ ποτ᾽ Ἰταλίας ἱερᾶς Ἱππώνιον ἔλθῃς,*
*ἑρπετὸν εἰς ὕδατος στεφάνους· πολὺ δὴ πολὺ πάντων*

ἐνταῦθ᾽ εἰσὶν ἄριστοι ἔχουσί τε τέρματα νίκης.
οἱ δ᾽ ἐπὶ τῶνδε τόπων πεπλανημένοι εἰσὶν ἐκεῖθεν
πολλὰ περάσαντες πελάγη βρυχίου διὰ πόντου,
ὥστ᾽ αὐτοὺς ἡμεῖς θηρεύομεν ὄντας ἀώρους. b

64. ὠνομάσθη δὲ θύννος ἀπὸ τοῦ θύειν τε καὶ ὁρμᾶν. ὁρμητικὸς γὰρ ὁ ἰχθὺς διὰ τὸ ἔχειν κατά τινα ὥραν οἶστρον ἐπὶ τῆς κεφαλῆς, ὑφ᾽ οὗ φησιν ὁ Ἀριστοτέλης αὐτὸν ἐξελαύνεσθαι γράφων οὕτως 'οἱ δὲ θύννοι καὶ οἱ ξιφίαι οἰστρῶσι περὶ κυνὸς ἐπιτολήν. ἔχουσι γὰρ ἀμφότεροι τηνικαῦτα παρὰ τὰ πτερύγια οἱονεὶ σκωλήκιον τὸν καλούμενον οἶστρον, ὅμοιον μὲν c σκορπίῳ, μέγεθος δ᾽ ἡλίκον ἀράχνης. τοῦτο δὲ ποιεῖ αὐτοὺς ἐξάλλεσθαι οὐκ ἔλαττον τοῦ δελφῖνος· καὶ τοῖς πλοίοις πολλάκις ἐμπίπτουσι.' καὶ Θεοδωρίδας δέ φησι

θύννοι τε διοιστρήσοντι Γαδείρων δρόμον.

Πολύβιος δ᾽ ὁ Μεγαλοπολίτης ἐν τετάρτῃ καὶ τριακοστῇ τῶν ἱστοριῶν περὶ τῆς ἐν Ἰβηρίᾳ Λυσιτανίας χώρας διαλεγόμενός φησιν ὅτι βάλανοί εἰσι κατὰ βάθος ἐν τῇ αὐτόθι θαλάττῃ πεφυτευμέναι, ὧν τὸν καρπὸν σιτουμένους τοὺς θύννους πιαίνεσθαι. διόπερ d οὐκ ἂν ἁμάρτοι τις λέγων ὗς εἶναι θαλαττίους τοὺς θύννους. εἰσὶ γὰρ οἱ θύννοι οἷον ὕες ἀπὸ τῶν βαλάνων αὐξανόμενοι.

65. ἐπαινεῖται δὲ τοῦ ἰχθύος τούτου τὰ ὑπογάστρια, ὡς καὶ Εὔβουλός φησιν ἐν Ἴωνι

μετὰ ταῦτα θύννων μεγαλόπλουτ᾽ ἐπεισέπλει
ὑπογάστρι᾽ ὀπτῶν.

Ἀριστοφάνης Λημνίαις

οὐκ ἔγχελυν βοιωτίαν, οὐ γλαῦκον, οὐχὶ θύννου
ὑπογάστριον.

Στράττις Ἀταλάντῃ
　　ὑπογάστριον θύννου τι κἀκροκώλιον
e　δραχμῆς ὕειον.

ἐν δὲ Μακεδόσιν 'ὑπογάστριά θ' ἡδέα θύννων.' Ἔριφος Μελιβοίᾳ
　　ταῦτα γὰρ οἱ πένητες οὐκ ἔχοντες ἀγοράσαι,
　　ὑπογάστριον θύννακος, οὐδὲ κρανίον
　　λάβρακος, οὐδὲ γόγγρον, οὐδὲ σηπίας·
　　ἃς οὐδὲ μάκαρας ὑπερορᾶν οἶμαι θεούς.

ὅταν δὲ καὶ Θεόπομπος ἐν Καλλαίσχρῳ λέγῃ
　　　　ἰχθύων δὲ δὴ
　　ὑπογάστρι' ὦ Δάματερ,

f παρατηρητέον ὅτι ἐπὶ ἰχθύων μὲν ὑπογάστριον λέγουσι, σπανίως δ' ἐπὶ χοίρων καὶ τῶν ἄλλων ζῴων. ἄδηλον δ' ἐπὶ τίνων ἔταξε τὸ ὑπογάστριον Ἀντιφάνης ἐν τῷ Ποντικῷ, ὅταν λέγῃ
　　　　ὅστις ὠψώνηκ' ἴσως
　　τούτους μεγαλείως ταῖς κάκιστ' ἀπολουμέναις
　　ὑπογάστρι' ἐλθών, ὅσα Ποσειδῶν ἀπολέσαι·
　　τάττειν τε γεννικῶς παρασκευάζεται
　　πλευρὰν μετ' αὐτῶν.

Ἄλεξις δὲ ἐν Ὀδυσσεῖ ὑφαίνοντι καὶ τὴν κεφαλὴν τοῦ θύννου ἐπαινῶν φησι
　　καὶ τοὺς ἁλιέας εἰς τὸ βάραθρον ἐμβαλῶ·
　　ἀπελευθέρων ὀψάρια θηρεύουσί μοι,
303　τριχίδια καὶ σηπίδια καὶ φρυκτούς τινας.
　　Β. οὗτος πρότερον κεφαλαῖον εἰ θύννου λάβοι,
　　ἐνόμιζεν ἐγχέλεια καὶ θύννους ἔχειν.

ἐπῄνουν δὲ τῶν θύννων καὶ τὰς κλεῖδας καλουμένας, ὡς Ἀριστοφῶν ἐν Πειρίθῳ
　　καὶ μὴν διέφθαρταί γε τοὖψον παντελῶς·
b　κλεῖδες μὲν ὀπταὶ δύο παρεσκευασμέναι.

B. αἷς τὰς θύρας κλείουσι; A. τοῦ θύννου μὲν οὖν.
B. σεμνὸν τὸ βρῶμα. A. καὶ τρίτη λακωνική.

66. Ἀντίγονος δ' ὁ Καρύστιος ἐν τῷ περὶ λέξεως τῷ Ποσειδῶνί φησι θύννον θύεσθαι, καθάπερ προείπαμεν. Ἡρακλέων δ' ὁ Ἐφέσιος τὸν ὄρκυνόν φησι λέγειν τοὺς Ἀττικούς. Σώστρατος δ' ἐν δευτέρῳ περὶ ζῴων τὴν πηλαμύδα θυννίδα καλεῖσθαι λέγει, μείζω δὲ γινομένην θύννον, ἔτι δὲ μείζονα ὄρκυνον, ὑπερβαλλόντως δὲ αὐξανόμενον γίνεσθαι κῆτος. μνημονεύει δὲ τοῦ θύννου καὶ Αἰσχύλος λέγων c

σφύρας δέχεσθαι κἀπιχαλκεύειν μύδρος,
ὃς ἀστενακτὶ θύννος ὣς ἠνέσχετο
ἄναυδος.

καὶ ἀλλαχοῦ

τὸ σκαιὸν ὄμμα παραβαλὼν θύννου δίκην.

ὡς τοῦ θύννου τῷ σκαιῷ ὀφθαλμῷ οὐ βλέποντος, ὡς Ἀριστοτέλης εἴρηκεν. Μένανδρος Ἁλιεῦσι

καὶ θάλαττα βορβορώδης, ἣ τρέφει θύννον μέγαν.

καὶ παρὰ Σώφρονι ὁ θυννοθήρας ἐστίν. οὓς ἔνιοι θύννους καλοῦσιν, Ἀθηναῖοι δὲ θυννίδας.

67. ΘΥΝΝΙΣ. τοῦ ἄρρενος ταύτην φησὶ διαφέρειν ὁ Ἀριστοτέλης τῷ ἔχειν ὑπὸ τῇ γαστρὶ πτερύγιον, ὃ d καλεῖσθαι ἀθέρα. ἐν δὲ τῷ περὶ ζῴων μορίων διιστὰς αὐτὴν τοῦ θύννου φησὶ τοῦ θέρους τίκτειν περὶ τὸν ἑκατομβαιῶνα θυλακοειδές, ἐν ᾧ πολλὰ γίνεσθαι μικρὰ ᾠά. καὶ Σπεύσιππος δ' ἐν δευτέρῳ Ὁμοίων διίστησιν αὐτὰς τῶν θύννων καὶ Ἐπίχαρμος ἐν Μούσαις. Κρατῖνος δ' ἐν Πλούτοις φησίν

ἐγὼ γάρ εἰμι θυννὶς ἢ μελαινὰς ἢ
καὶ θύννος ὀρφὼς γλαῦκος ἔγχελυς κύων.

Ἀριστοτέλης δ᾽ ἐν τῷ περὶ ἰχθύων ἀγελαῖον καὶ ἐκτο-
e πιστικὸν εἶναι τὴν θυννίδα. Ἀρχέστρατος δ᾽ ὁ κίμ-
βιξ φησί

καὶ θύννης οὐραῖον ἔχειν, τὴν θυννίδα φωνῶ
τὴν μεγάλην, ἧς μητρόπολις Βυζάντιόν ἐστιν.
εἶτα τεμὼν αὐτὴν ὀρθῶς ὄπτησον ἅπασαν,
ἁλσὶ μόνον λεπτοῖσι πάσας καὶ ἐλαίῳ ἀλείψας.
θερμά τ᾽ ἔχειν τεμάχη βάπτων δριμεῖαν ἐς ἅλ-
μην·
κἂν ξηρὰν ἐθέλῃς ἔσθειν, γενναῖα πέλονται,
ἀθανάτοισι θεοῖσι φυὴν καὶ εἶδος ὁμοῖα.
f ἂν δ᾽ ὄξει ῥάνας παραθῇς, ἀπόλωλεν ἐκείνη.

καὶ Ἀντιφάνης δ᾽ ἐν Παιδεραστῇ

τῆς τε βελτίστης μεσαῖον θυννάδος βυζαντίας
τέμαχος ἐν τεύτλου λακιστοῖς κρύπτεται στεγά-
σμασιν.

τῆς θυννίδος τὸ οὐραῖον ἐπαινεῖ καὶ Ἀντιφάνης ἐν Κουρίδι οὕτως

ὁ δ᾽ ἐν ἀγρῷ τρεφόμενος
θαλάττιον μὲν οὗτος οὐδὲν ἐσθίει,
304 πλὴν τῶν παρὰ γῆν, γόγγρον τιν᾽ ἢ νάρκην
τιν᾽ ἢ
θύννης τὰ πρὸς τῆς Β. ποῖα; Α. τὰ κάτωθεν
λέγω.
Β. τούτους φάγοις ἄν; Γ. τοὺς γὰρ ἄλλους νε-
νόμικα
ἀνθρωποφάγους ἰχθῦς. Β. τὸ δεῖνα δ᾽ ἐσθίεις
τουτὶ κακόνωτα πλοῖα. Γ. κωπᾳδας λέγεις.
Β. ἀγρίως γε. [παρὰ] λίμνην γὰρ γεωργῶν τυγ-
χάνω.
τὰ δ᾽ ἐγχέλεια γράψομαι λιποταξίου·
κομιδῇ γὰρ οὐκ ἦν οὐδαμοῦ.

τούτων τῶν ἰαμβείων ἔνια ἔστιν εὑρεῖν καὶ ἐν Ἀκεστρίᾳ καὶ ἐν Ἀγροίκῳ ἢ Βουταλίωνι. Ἱππῶναξ δέ, b ὃν Λυσανίας ἐν τοῖς περὶ ἰαμβοποιῶν παρατίθεται, φησίν

ὃ μὲν γὰρ αὐτῶν ἡσυχῇ τε καὶ ῥύβδην
θυννίδα τε καὶ μυσσωτὸν ἡμέρας πάσας
δαινύμενος, ὥσπερ Λαμψακηνὸς εὐνοῦχος,
κατέφαγε δὴ τὸν κλῆρον· ὥστε χρὴ σκάπτειν
πέτρας ὀρείας σῦκα μέτρια τρώγων
καὶ κρίθινον κόλλικα δούλιον χόρτον.

μνημονεύει δὲ τῶν θυννίδων καὶ Στράττις ἐν Καλλιππίδῃ.

68. ΙΠΠΟΥΡΟΙ. Ἀριστοτέλης ἐν πέμπτῳ ζῴων c μορίων τοὺς ἱππούρους φησὶν ᾠὰ τίκτειν, καὶ ταῦτα ἐξ ἐλαχίστων μέγιστα γίνεσθαι, ὡς καὶ τὰ τῆς σμυραίνης· τίκτειν δ' ἔαρος. Δωρίων δ' ἐν τῷ περὶ ἰχθύων κορύφαιναν καλεῖσθαί φησι τὸν ἵππουρον. Ἱκέσιος δ' ἱππουρεῖς αὐτοὺς προσαγορεύει. μνημονεύει δ' αὐτῶν Ἐπίχαρμος ἐν Ἥβας γάμῳ

κὠξύρυγχοι ῥαφίδες ἵππουροί τε καὶ χρυσόφρυες.

Νουμήνιος δ' ἐν Ἁλιευτικῷ τὴν φύσιν τοῦ ἰχθύος διηγούμενος συνεχές φησιν αὐτὸν ἐξάλλεσθαι, διὸ d καὶ ἀρνευτὴν ὀνομάζεσθαι. λέγει δὲ οὕτω περὶ αὐτοῦ

ἠὲ μέγαν συνόδοντα ἢ ἀρνευτὴν ἵππουρον.

Ἀρχέστρατος δέ φησιν

ἵππουρος δὲ καρύστιός ἐστιν ἄριστος·
ἄλλως τ' εὔοψον σφόδρα χωρίον ἐστὶ Κάρυστος.

Ἐπαίνετος δ' ἐν Ὀψαρτυτικῷ κορύφαιναν αὐτόν φησιν ὀνομάζεσθαι.

69. ΙΠΠΟΣ. μήποτε τούτους ἱππίδια καλεῖ Ἐπί- e χαρμος ὅταν λέγῃ

*κορακῖνοι δὲ κοριοειδέες*
*πίονες, χῖππίδια λεῖα, ψύχει ἁπαλοκουρίδες.*

*Νουμήνιος δ' ἐν Ἁλιευτικῷ*

*ἢ σκάρον ἢ κῶθον τροφίην καὶ ἀναιδέα λίην,*
*χάννους τ' ἐγχέλυάς τε καὶ εἰναλίην πυτίνην,*
*ἢ μύας ἢ ἵππους ἠὲ γλαύκην κορύδυλιν.*

*μνημονεύει αὐτοῦ καὶ Ἀντίμαχος ὁ Κολοφώνιος ἐν τῇ Θηβαΐδι λέγων οὕτως*

f *ἢ ὕκην ἢ ἵππον ἢ ὃν κίχλην καλέουσιν.*

70. ΙΟΥΛΙΔΕΣ· *περὶ τούτων Δωρίων ἐν τῷ περὶ ἰχθύων φησίν 'ἰουλίδας ἕψειν μὲν ἐν ἅλμῃ, ὀπτᾶν δ' ἐπὶ τηγάνου.' Νουμήνιος δέ*

*κεῖνο δὲ δὴ σκέπτοιο, τό κεν καὶ ἰουλίδα μάργον*
*πολλὸν ἀποτρωπῷτο καὶ ἰοβόλον σκολόπενδραν.*

*ἰούλους δ' ὁ αὐτὸς ὀνομάζει τὰ ἔντερα τῆς γῆς διὰ τούτων*

305 *καὶ δὲ σύ γε μνήσαιο δελείατος ὅττι παρ' ἄκρα*
*δήεις αἰγιαλοῖο γεώλοφα, τοὶ μὲν ἴουλοι*
*κέκληνται μέλανες γαιηφάγοι, ἔντερα γαίης.*
*ἠὲ καὶ ἑρπίλλας δολιχήποδας, ὁππότε πέτραι*
*ἀμμώδεις κλύζονται ἐπ' ἄκρῃ κύματος ἀγῇ·*
*ἔνθεν ὀρύξασθαι θέμεναί τ' εἰς ἄγγος ἀολλεῖς.*

71. ΚΙΧΛΑΙ *καὶ* ΚΟΣΣΥΦΟΙ. *διὰ τοῦ η Ἀττικοὶ*
b *κίχλην λέγουσι. καὶ ὁ λόγος οὕτως ἔχει. τὰ γὰρ εἰς λα λήγοντα θηλυκὰ πρὸ τοῦ λ ἕτερον λ ἔχει, σκύλλα σκίλλα κόλλα βδέλλα ἅμιλλα ἄμαλλα· τὰ δὲ εἰς λη οὐκ ἔτι, ὁμίχλη φύτλη γενέθλη αἴγλη τρώγλη. ὁμοίως οὖν καὶ τρίγλη. Κρατῖνος*

*τρίγλην εἰ μὲν ἐδηδοκοίη 'ν τένθου τινὸς ἀνδρός.*

*Διοκλῆς δ' ἐν πρώτῳ Ὑγιεινῶν 'οἱ δὲ πετραῖοι (φησὶ) καλούμενοι μαλακόσαρκοι, κόσσυφοι κίχλαι πέρκαι*

κωβιοὶ φυκίδες ἀλφηστικός.᾽ Νουμήνιος δ᾽ ἐν Ἁλιευτικῷ

γλαύκους ἢ ὀρφῶν ἔναλον γένος ἠὲ μελάγχρων c
κόσσυφον ἢ κίχλας ἁλιειδέας.

Ἐπίχαρμος δ᾽ ἐν Ἥβας γάμῳ

βαμβραδόνες τε καὶ κίχλαι λαγοὶ δράκοντές τ᾽ ἄλκιμοι.

Ἀριστοτέλης δ᾽ ἐν τῷ περὶ ζωικῶν ʽκαὶ τὰ μὲν μελανόστικτα ὥσπερ κόσσυφος, τὰ δὲ ποικιλόστικτα ὥσπερ κίχλη.᾽ Παγκράτης δ᾽ ὁ Ἀρκὰς ἐν Ἔργοις θαλαττίοις τὴν κίχλην πολλοῖς ὀνόμασί φησι καλεῖσθαι

οἶσ᾽ ἤδη κίχλην οἰνώδεα, τὴν καλαμῆες
σαῦρον κικλήσκουσι καὶ αἰολίην, ὀρφίσκον, d
πιότατον κεφαλῇ.

Νίκανδρος δ᾽ ἐν τετάρτῳ Ἑτεροιουμένων φησίν

ἢ σκάρον ἢ κίχλην πολυώνυμον.

72. ΚΑΠΡΟΣ καὶ ΚΡΕΜΥΣ. Ἀριστοτέλης ἐν τῷ περὶ ζῴων φησί ʽτὰ δὲ ἀνόδοντα καὶ λεῖα ὡς ῥαφίς. καὶ τὰ μὲν λιθοκέφαλα ὡς κρέμυς, τὰ δὲ σκληρότατα τραχύδερμα ὡς κάπρος. καὶ τὰ μὲν δίραβδα ὥσπερ σεσερῖνος, τὰ δὲ πολύραβδα καὶ ἐρυθρόγραμμα ὡς σάλπη.᾽ τοῦ δὲ κάπρου μνημονεύει καὶ Δωρίων καὶ e Ἐπαίνετος. Ἀρχέστρατος δέ φησιν

αὐτὰρ ἐς Ἀμβρακίαν ἐλθὼν εὐδαίμονα χώραν,
τὸν κάπρον ἂν ἐσίδῃς ὠνοῦ καὶ μὴ κατάλειπε,
κἂν ἰσόχρυσος ἔῃ, μή σοι νέμεσις καταπνεύσῃ
δεινὴ ἀπ᾽ ἀθανάτων. τὸ γάρ ἐστιν νέκταρος ἄνθος.
τούτου δ᾽ οὐ θέμις ἐστὶ φαγεῖν θνητοῖσιν ἅπασιν,
οὐδ᾽ ἐσιδεῖν ὄσσοισιν, ὅσοι μὴ πλεκτὸν ὕφασμα f
σχοίνου ἑλειοτρόφου κοῖλον χείρεσσιν ἔχοντες

εἰώθασι δονεῖν ψήφους αἴθωνι λογισμῷ.
ἄρθρων μηλείων ἐπὶ γῆν δωρήματα βάλλων.

73. ΚΙΘΑΡΟΣ. Ἀριστοτέλης ἐν τῷ περὶ ζῴων ἢ περὶ ἰχθύων ὁ κίθαρος (φησὶ) καρχαρόδους μονήρης φυκοφάγος τὴν γλῶτταν ἀπολελυμένος καρδίαν λευκὴν ἔχων καὶ πλατεῖαν.' Φερεκράτης Δουλοδιδασκάλῳ

306 κίθαρος γεγενῆσθαι κἀγοράζειν κίθαρος ὤν.
Β. ἀγαθόν γ' ὁ κίθαρος· καὶ πρὸς Ἀπόλλωνος πάνυ
ἐκεῖνο θράττει μ', ὅτι λέγουσιν, ὦ 'γαθή,
ἔνεστιν ἐν κιθάρῳ τι κακόν.

Ἐπίχαρμος Ἥβας γάμῳ

ἦν δ' ὑαινίδες τε βούγλωσσοί τε καὶ κίθαρος ἐνῆς.

ὅτι δὲ διὰ τὸ ὄνομα ἱερὸς εἶναι νενόμισται τοῦ Ἀπόλλωνος εἴρηκεν Ἀπολλόδωρος. Καλλίας δὲ ἢ Διοκλῆς Κύκλωψι

κίθαρος ὀπτὸς καὶ βατὶς θύννου τε κεφάλαιον τοδί.

ὁ δ' Ἀρχέστρατος ἐν τῇ Ἡδυπαθείᾳ

b κίθαρον δὲ κελεύω,
ἂν μὲν λευκὸς ἔῃ [χροιὴν] στερεός τε πεφύκῃ,
ἕψειν εἰς ἅλμην καθαρὰν καὶ φύλλα καθέντα·
ἂν δ' ᾖ πυρρὸς ἰδεῖν καὶ μὴ λίαν μέγας, ὀπτᾶν
ὀρθῇ κεντήσαντα δέμας νεοθῆγι μαχαίρᾳ,
καὶ πολλῷ τυρῷ καὶ ἐλαίῳ τοῦτον ἄλειφε·
χαίρει γὰρ δαπανῶντας ὁρῶν, ἔστιν δ' ἀκόλαστος.

74. ΚΟΡΔΥΛΟΣ. τοῦτον Ἀριστοτέλης φησὶν ἀμ-
c φίβιον εἶναι καὶ τελευτᾶν ὑπὸ τοῦ ἡλίου αὐανθέντα. Νουμήνιος δὲ ἐν Ἁλιευτικῷ κούρυλον αὐτὸν καλεῖ

τοῖσί κεν ἄρμενα πάντα, παροπλίσσαιο δὲ μῦρα,
κούρυλον ἢ πειρῆνα ἢ εἰναλίην ἔρπιλλαν.

μέμνηται δὲ καὶ κορδυλίδος ἐν τούτοις

ἢ μύας ἢ ἵππους ἠὲ γλαύκην κορύδυλιν.

75. ΚΑΜΜΟΡΟΙ. Ἐπίχαρμος ἐν Ἥβας γάμῳ

ἔτι δὲ ποττούτοισι βῶκες σμαρίδες ἀφύαι κάμμοροι.

καὶ Σώφρων δ' ἐν γυναικείοις μίμοις αὐτῶν μέμνηται. ἔστι δὲ καρίδων γένος, καὶ ὑπὸ Ῥωμαίων οὕτως d
καλοῦνται.

76. ΚΑΡΧΑΡΙΑΙ. Νουμήνιος ὁ Ἡρακλεώτης ἐν τῷ Ἁλιευτικῷ φησίν

ἄλλοτε καρχαρίην, ὁτὲ δὲ ῥόθιον ψαμαθῖδα.

Σώφρων Θυννοθήρᾳ 'ἁ δὲ γαστὴρ ὑμέων καρχαρίας, ὅκκα τινὸς δῆσθε.' Νίκανδρος ὁ Κολοφώνιος ἐν Γλώσσαις τὸν καρχαρίαν καλεῖσθαί φησι καὶ λάμιαν καὶ σκύλλαν.

77. ΚΕΣΤΡΕΥΣ. Ἱκέσιός φησι 'τῶν δὲ καλουμένων λευκίσκων πλεονά ἐστιν εἴδη. λέγονται γὰρ οἳ e
μὲν κέφαλοι, οἳ δὲ κεστρεῖς, ἄλλοι δὲ χελλῶνες, οἳ δὲ μυξῖνοι. ἄριστοι δ' εἰσὶν οἱ κέφαλοι καὶ πρὸς τὴν γεῦσιν καὶ πρὸς τὴν εὐχυλίαν. δεύτεροι δ' εἰσὶ τούτων οἱ λεγόμενοι κεστρεῖς, ἥσσονες δ' οἱ μυξῖνοι· καταδεέστεροι δὲ πάντων οἱ χελλῶνες οἱ λεγόμενοι βάκχοι. εὔχυλοι δ' εἰσὶ σφόδρα καὶ οὐ πολύτροφοι καὶ εὐέκκριτοι.' Δωρίων δ' ἐν τῷ περὶ ἰχθύων τῶν κεστρέων τὸν μὲν θαλάττιον ἐκτίθεται, τὸν δὲ ποτάμιον οὐ δοκιμάζει, εἴδη δὲ τοῦ θαλαττίου κέφαλον καὶ νῆστιν. τὸν δὲ κατὰ τῆς κεφαλῆς τοῦ κεστρέως f
ἐχῖνον σφόνδυλον ὀνομάζει. διαφέρειν τέ φησι κεφάλου κεφαλῖνον, ὃν καὶ βλεψίαν καλεῖσθαι. Ἀριστοτέλης δ' ἐν πέμπτῳ μορίων 'ἄρχονται δὲ (φησὶ)

*κύειν τῶν κεστρέων οἱ μὲν χελλῶνες Ποσειδεῶνος μηνὸς καὶ ὁ σαργὸς καὶ ὁ μύξος καλούμενος καὶ ὁ κέφαλος. κύουσι δὲ τριάκοντα ἡμέρας. ἔνιοι δὲ τῶν κεστρέων οὐ γίνονται ἐκ συνδυασμοῦ, ἀλλὰ φύονται*
307 *ἐκ τῆς ἰλύος καὶ τῆς ἄμμου.’ ἐν δ’ ἄλλοις φησὶν ὁ Ἀριστοτέλης ‘ὁ κεστρεὺς καρχαρόδους ὢν οὐκ ἀλληλοφαγεῖ, ἅτε δὴ οὐδ’ ὅλως σαρκοφαγῶν. ἔστι δὲ ὃ μέν τις κέφαλος ὃ δὲ χελλὼν ὃ δὲ φεραῖος. καὶ ὁ μὲν χελλὼν πρὸς τῇ γῇ νέμεται, ὁ δὲ φεραῖος οὔ. καὶ τροφῇ χρῆται ὁ μὲν φεραῖος τῇ ἀφ’ αὑτοῦ γενομένῃ μύξῃ, ὁ δὲ χελλὼν ἄμμῳ καὶ ἰλύι. λέγεται δὲ καὶ ὅτι τὸν γόνον τῶν κεστρέων οὐδὲν τῶν θηρίων κατεσθίει, ἐπεὶ οἱ κεστρεῖς οὐδένα τῶν ἰχθύων.’ Εὐθύ-*
b *δημος δ’ ὁ Ἀθηναῖος ἐν τῷ περὶ ταρίχων ‘εἴδη κεστρέων εἶναι κέφαλον καὶ σφηνέα καὶ δακτυλέα. καὶ κεφάλους μὲν λέγεσθαι διὰ τὸ βαρυτέραν τὴν κεφαλὴν ἔχειν, σφηνέας δὲ ὅτι λαγαροὶ καὶ τετράγωνοι. τὰ δὲ τῶν δακτυλέων τὸ πλάτος ἔχει ἔλασσον τῶν δυοῖν δακτύλων.’ θαυμαστοὶ δ’ εἰσὶ τῶν κεστρέων οἱ περὶ Ἄβδηρα ἁλισκόμενοι, ὡς καὶ Ἀρχέστρατος εἴρηκε, δεύτεροι δὲ οἱ ἐκ Σινώπης.*

78. *καλοῦνται δὲ οἱ κεστρεῖς ὑπό τινων πλῶτες, ὥς φησι Πολέμων ἐν τῷ περὶ τῶν ἐν Σικελίᾳ ποταμῶν. καὶ Ἐπίχαρμος δ’ ἐν Μούσαις οὕτως αὐτοὺς ὀνομάζει*

c *αἰολίαι πλῶτές τε κυνόγλωσσοί τ’, ἐνῆν δὲ σκιαθίδες.*

*Ἀριστοτέλης δὲ ἐν τῷ περὶ ζῴων ἠθῶν καὶ βίων φησὶν ὅτι ‘ζῶσιν οἱ κεστρεῖς, κἂν ἀφαιρεθῶσι τὰς κέρκους. ἀπεσθίεται δ’ ὁ μὲν κεστρεὺς ὑπὸ λάβρακος, ὁ δὲ γόγγρος ὑπὸ μυραίνης.’ ἡ δὲ λεγομένη παροιμία κεστρεὺς νηστεύει ἐπὶ τῶν δικαιοπραγούντων*

ἀκούεται, ἐπειδὴ οὐ σαρκοφαγεῖ ὁ κεστρεύς. Ἀναξίλας ἐν Μονοτρόπῳ Μάτωνα τὸν σοφιστὴν ἐπὶ γαστριμαργίᾳ διαβάλλων φησί

τοῦ κεστρέως κατεδήδοκεν τὸ κρανίον
ἀναρπάσας Μάτων, ἐγὼ δ' ἀπόλλυμαι.

ὁ δὲ καλὸς Ἀρχέστρατός φησι d

κεστρέα δ' Αἰγίνης ἐξ ἀμφιρύτης ἀγόραζε,
ἀνδράσι τ' ἀστείοισιν ὁμιλήσεις.

Διοκλῆς Θαλάττῃ 'ἅλλεται δ' ὑφ' ἡδονῆς κεστρεύς.'

79. ὅτι δὲ εἶδος κεστρέων οἱ νήστεις Ἄρχιππος Ἡρακλεῖ γαμοῦντί φησι 'νήστεις κεστρέας, κεφάλους.' Ἀντιφάνης Λάμπωνι

κεστρεῖς ἔχων ἀλλ' οὐ στρατιώτας τυγχάνεις
νήστεις.

Ἄλεξις Φρυγί

ἐγὼ δὲ κεστρεὺς νῆστις οἴκαδ' ἀποτρέχω.

Ἀμειψίας Ἀποκοτταβίζουσιν

ἐγὼ δ' ἰὼν πειράσομαι e
εἰς τὴν ἀγορὰν ἔργον λαβεῖν. Β. ἧττον γὰρ οὖν
νῆστις καθάπερ κεστρεὺς ἀκολουθήσεις ἐμοί.

Εὔφρων Αἰσχρᾷ

Μίδας δὲ κεστρεύς ἐστι· νῆστις περιπατεῖ.

Φιλήμων Συναποθνήσκουσιν

ἠγόρασα νῆστιν κεστρέ' ὀπτὸν οὐ μέγαν.

Ἀριστοφάνης Γηρυτάδῃ

ἆρ' ἔνδον ἀνδρῶν κεστρέων ἀποικία;
ὡς μὲν γάρ εἰσι νήστιδες γιγνώσκετε.

Ἀναξανδρίδης Ὀδυσσεῖ

τὰ πόλλ' ἄδειπνος περιπατεῖ, κεστρῖνός ἐστι f
νῆστις.

Εὔβουλος Ναυσικάᾳ

ὃς νῦν τετάρτην ἡμέραν βαπτίζεται,

νῆστιν πονηροῦ κεστρέως τρίβων βίον.

80. τούτων ποτὲ λεχθέντων ἐπὶ τῷ καλῷ τούτῳ ὄψῳ τῶν κυνικῶν τις ἑσπέριος ἐλθὼν ἔφη, ἄνδρες φίλοι, μὴ καὶ ἡμεῖς νηστείαν ἄγομεν θεσμοφορίων τὴν μέσην, ὅτι δίκην κεστρέων νηστεύομεν. ὡς γὰρ ὁ Δίφιλός φησιν ἐν Λημνίαις

οὗτοι δεδειπνήκασιν· ὁ δὲ τάλας ἐγὼ
308 κεστρεὺς ἂν εἴην ἕνεκα νηστείας ἄκρας.

ὑπολαβὼν δὲ Μυρτίλος

καὶ στῆτ' ἐφεξῆς,

ἔφη, κατὰ τὸν Θεοπόμπου Ἡδυχάρην,

κεστρέων νῆστις χορός,
λαχάνοισιν ὥσπερ χῆνες ἐξενισμένοι.

οὐ πρότερον γάρ τινος μεταλήψεσθε, ἕως ἂν ἢ ὑμεῖς ἢ ὁ συμμαθητὴς ὑμῶν Οὐλπιανὸς εἴπητε διὰ τί νῆστις μόνος τῶν ἰχθύων ὁ κεστρεὺς καλεῖται. καὶ ὁ Οὐλπιανὸς ἔφη ὅτι οὐδὲν δέλεαρ ἐσθίει ἔμψυχον, καὶ ἀνελκυσθεὶς δὲ οὐ δελεάζεται οὔτε σαρκὶ οὔτ' ἄλλῳ
b τινὶ ἐμψύχῳ, ὡς Ἀριστοτέλης ἱστορεῖ, φάσκων ὅτι μὴ νῆστις ὢν φαῦλός ἐστι, καὶ ὅτι, ἐὰν φοβηθῇ, κρύπτει τὴν κεφαλήν, ὡς τὸ πᾶν κρύπτων σῶμα. Πλάτων τε ἐν Ἑορταῖς φησιν

ἐξιόντι γὰρ
ἁλιεὺς ἀπήντησεν φέρων μοι κεστρέας·
ἰχθῦς ἀσίτους τοὺς πονηροὺς ἦγέ μοι.

σὺ δέ μοι εἰπέ, ὦ Θετταλὸν πάλαισμα Μυρτίλε, διότι οἱ ἰχθύες ὑπὸ τῶν ποιητῶν ἔλλοπες καλοῦνται. καὶ ὅς, ἤτοι διὰ τὸ ἄφωνοι εἶναι· βούλονται γὰρ κατὰ
c τὴν ἀναλογίαν ἴλλοπές τινες εἶναι διὰ τὸ εἴργεσθαι φωνῆς. ἔστι γὰρ τὸ μὲν ἴλλεσθαι εἴργεσθαι, ἡ δὲ ὂψ φωνή. καὶ γὰρ τοῦτ' ἀγνοεῖς, ἔλλοψ τὶς ὤν. ἐγὼ δέ,

κατὰ τὸν σοφὸν Ἐπίχαρμον, μηδὲν ἀποκριναμένου τοῦ κυνός,

τὰ πρὸ τοῦ δύ' ἄνδρες ἔλεγον, εἷς ἐγὼν ἀποχρέω·

καὶ φημί, ἔλλοπες διὰ τὸ εἶναι λεπιδωτοί. λέξω δὲ καὶ μὴ προβληθέντος διὰ τί οἱ πυθαγορικοὶ τῶν μὲν ἄλλων ἐμψύχων μετρίως ἅπτονται, τινὰ δὲ καὶ θύοντες, ἰχθύων μόνων οὐ γεύονται τὸ παράπαν· ἢ διὰ τὴν ἐχεμυθίαν; ὅσιον γὰρ ἡγοῦνται τὴν σιωπήν. ἐπεὶ d οὖν καὶ ὑμεῖς, ὦ Μολοττικοὶ κύνες, πάντα μὲν σιωπᾶτε πυθαγορίζετε δ' οὔ, ἡμεῖς μὲν ἄλλους ἰχθυολογήσομεν.

81. ΚΟΡΑΚΙΝΟΣ. 'οἱ μὲν θαλάττιοι (φησὶν Ἱκέσιος) ὀλιγότροφοι καὶ εὐέκκριτοι, εὐχυλίᾳ δὲ μέσοι.' Ἀριστοτέλης δ' ἐν πέμπτῳ ζῴων μορίων συμβαίνειν μέν φησι σχεδὸν πᾶσι τοῖς ἰχθύσι ταχεῖαν γίνεσθαι τὴν αὔξησιν, οὐχ ἥκιστα δὲ κορακίνῳ. τίκτει δὲ πρὸς τῇ γῇ καὶ τοῖς βρυώδεσι καὶ δασέσι. Σπεύσιππος δ' ἐν δευτέρῳ Ὁμοίων ἐμφερεῖς φησιν εἶναι μελάνουρον e καὶ κορακῖνον. Νουμήνιος δ' ἐν Ἁλιευτικῷ φησι

ῥηιδίως ἕλκοιτο καὶ αἰολίην κορακῖνον.

μήποτ' οὖν καὶ οἱ παρ' Ἐπιχάρμῳ αἰολίαι λεγόμενοι ἐν Μούσαις κορακῖνοί εἰσιν. φησὶ γάρ

αἰολίαι πλῶτές τε κυνόγλωσσοί τε.

ἐν δὲ Ἥβας γάμῳ καὶ τῶν αἰολιῶν μνημονεύει ὡς διαφόρων

μύες [ἅμ'] ἀλφησταί τε κορακῖνοί τε κοριοειδέες,
αἰολίαι πλῶτές τε κυνόγλωσσοί τε.

Εὐθύδημος δ' ἐν τῷ περὶ ταρίχων τὸν κορακῖνόν φησιν ὑπὸ πολλῶν σαπέρδην προσαγορεύεσθαι. ὁμοίως δ' εἴρηκε καὶ Ἡρακλέων ὁ Ἐφέσιος, ἔτι δὲ f Φιλότιμος ἐν Ὀψαρτυτικῷ. ὅτι δὲ καὶ πλατίστακος καλεῖται ὁ σαπέρδης, καθάπερ καὶ ὁ κορακῖνος, Παρ-

μένων φησὶν ὁ Ῥόδιος ἐν πρώτῳ μαγειρικῆς διδασκαλίας. Ἀριστοφάνης δ' ἐν Τελμησσεῦσι ʽμελανοπτερύγων' ἔφη ʽκορακίνων.' ὑποκοριστικῶς δὲ ὠνόμασεν αὐτοὺς Φερεκράτης ἐν Ἐπιλήσμονι

309 τοῖς σοῖσι συνὼν κορακινιδίοις
καὶ μαινιδίοις.

Ἄμφις δ' ἐν Ἰαλέμῳ

ὅστις κορακῖνον ἐσθίει θαλάττιον
γλαύκου παρόντος, οὗτος οὐκ ἔχει φρένας.

οἱ δὲ νειλῶται κορακῖνοι ὅτι γλυκεῖς καὶ εὔσαρκοι ἔτι δὲ ἡδεῖς, οἱ πεπειραμένοι ἴσασιν. ὠνομάσθησαν δὲ διὰ τὸ διηνεκῶς τὰς κόρας κινεῖν καὶ οὐδέποτε παύεσθαι. καλοῦσι δ' αὐτοὺς οἱ Ἀλεξανδρεῖς πλάτακας, ἀπὸ τοῦ περιέχοντος.

82. ΚΥΠΡΙΝΟΣ. τῶν σαρκοφάγων καὶ οὗτος, ὡς
b Ἀριστοτέλης ἱστορεῖ, καὶ συναγελαστικῶν. τὴν δὲ γλῶτταν οὐχ ὑπὸ τῷ στόματι, ἀλλ' ὑπὸ τὸ στόμα κέκτηται. Δωρίων δ' αὐτὸν ἐν τοῖς λιμναίοις καὶ ποταμίοις καταλέγων γράφει οὕτως ʽλεπιδωτόν, ὃν καλοῦσί τινες κυπρῖνον.'

83. ΚΩΒΙΟΙ. πολύχυλοι, ὥς φησιν Ἱκέσιος, εὐστομίᾳ διαφέροντες εὐέκκριτοι ὀλιγότροφοι καὶ κακόχυμοι. διαφέρουσι δὲ εὐστομίᾳ οἱ λευκότεροι τῶν μελάνων. ἡ δὲ τῶν χλωρῶν κωβιῶν σὰρξ χαυνοτέρα ἐστὶ καὶ ἀλιπεστέρα· καὶ χυλὸν ἐλάττονα καὶ λεπτό-
c τερον ἐναφιᾶσι· τροφιμώτεροι δ' εἰσὶ διὰ τὸ μέγεθος. Διοκλῆς φησι τοὺς πετραίους αὐτῶν μαλακοσάρκους εἶναι. Νουμήνιος δ' ἐν Ἁλιευτικῷ κώθους αὐτοὺς καλεῖ

ἢ σκάρον ἢ κῶθον τροφίην καὶ ἀναιδέα λίην.

καὶ Σώφρων ἐν τῷ Ἀγροιώτῃ ʽκωθωνοπλύται' φησί, καὶ τὸν τοῦ θυννοθήρα δὲ υἱὸν ἴσως ἀπὸ τούτου Κω-

θωνίαν προσηγόρευσε. Σικελιῶται δ' εἰσὶν οἱ τὸν κωβιὸν κώθωνα καλοῦντες, ὡς Νίκανδρός φησιν ὁ Κολοφώνιος ἐν ταῖς Γλώσσαις καὶ Ἀπολλόδωρος ἐν τοῖς περὶ Σώφρονος. Ἐπίχαρμος δ' ἐν Ἥβας γάμῳ d κωβιοὺς ὀνομάζει

τρυγόνες τ' ὀπισθόκεντροι καὶ μάλ' ἁδροὶ κω-
βιοί.

Ἀντιφάνης δ' ἐν Τίμωνι ἐπαινῶν τοὺς κωβιοὺς καὶ ὁπόθεν εἰσὶ κάλλιστοι δηλοῖ διὰ τούτων

ἥκω πολυτελῶς ἀγοράσας εἰς τοὺς γάμους,
λιβανωτὸν ὀβολοῦ τοῖς θεοῖς καὶ ταῖς θεαῖς
πάσαισι, τοῖς δ' ἥρωσι τὰ ψαίστ' ἀπονέμων.
ἡμῖν δὲ τοῖς θνητοῖς ἐπριάμην κωβιούς.
ὡς προσβαλεῖν δ' ἐκέλευσα τὸν τοιχωρύχον,
τὸν ἰχθυοπώλην, προστίθημι, φησί, σοὶ e
τὸν δῆμον αὐτῶν· εἰσὶ γὰρ φαληρικοί.
ἄλλοι δ' ἐπώλουν, ὡς ἔοικ', ὀτρυνικούς.

Μένανδρος Ἐφεσίῳ

τῶν ἰχθυοπωλῶν ἀρτίως τις τεττάρων
δραχμῶν ἐτίμα κωβιούς. B. [πολλοῦ] σφόδρα.

ποταμίων δὲ κωβιῶν μνημονεύει Δωρίων ἐν τῷ περὶ ἰχθύων.

84. ΚΟΚΚΥΓΕΣ. Ἐπίχαρμος

κἄγλαοὶ κόκκυγες, οὓς παρσχίζομες
πάντας, ὀπτᾶντες δὲ χἀδύνοντες αὐτοὺς χναύομες. f

καὶ Δωρίων δέ φησι δεῖν αὐτοὺς ὀπτᾶν παρασχίσαντας κατὰ ῥάχιν καὶ παρηδύνειν χλόῃ τυρῷ ῥοὶ σιλφίῳ ἁλὶ ἐλαίῳ· στρέφοντα δὲ ἀλείφειν καὶ ὑποπάσσειν ἁλὶ ὀλίγῳ, ἀφελόντα δὲ ὄξει ῥᾶναι. ἐρυθρὸν δ' αὐτὸν καλεῖ ἀπὸ τοῦ συμβεβηκότος Νουμήνιος οὕτως

ἄλλοτ' ἐρυθρὸν
κόκκυγ' ἢ ὀλίγας πεμφηρίδας, ἄλλοτε σαῦρον.

310 85. ΚΥΩΝ ΚΑΡΧΑΡΙΑΣ. *περὶ τούτων φησὶν Ἀρχέστρατος ὁ τῶν ὀψοφάγων Ἡσίοδος ἢ Θέογνις. ἦν δὲ καὶ ὁ Θέογνις περὶ ἡδυπάθειαν, ὡς αὐτὸς περὶ αὑτοῦ φησὶ διὰ τούτων*

*τῆμος δ' ἠέλιος μὲν ἐν αἰθέρι μώνυχας ἵππους*
*ἄρτι παραγγέλλοι μέσσατον ἦμαρ ἔχων,*
*δείπνου δὴ λήγοιμεν ὅσου τινὰ θυμὸς ἀνώγοι,*
*παντοίων ἀγαθῶν γαστρὶ χαριζόμενοι.*
b *χέρνιβα δ' αἶψα θύραζε φέροι στεφανώματα δ' εἴσω*
*εὐειδὴς ῥαδινῇς χερσὶ Λάκαινα κόρη.*

*οὐδὲ τὸ παιδεραστεῖν ἀπαναίνεται ὁ σοφὸς οὗτος. λέγει γοῦν*

*εἰ θείης Ἀκάδημε ἐφίμερον ὕμνον ἀείδειν,*
*ἆθλον δ' ἐν μέσσῳ παῖς καλὸς ἄνθος ἔχων*
*σοί τ' εἴη καὶ ἐμοὶ σοφίης πέρι δηριόωσιν,*
*γνοίης χ' ὅσσον ὄνων κρέσσονες ἡμίονοι.*

*ὁ δ' οὖν Ἀρχέστρατος ἐν ταῖς καλαῖς ταύταις ὑπο-*
c *θήκαις παραινεῖ*

*ἐν δὲ Τορωναίων ἄστει τοῦ καρχαρία χρὴ*
*τοῦ κυνὸς ὀψωνεῖν ὑπογάστρια κοῖλα κάτωθεν.*
*εἶτα κυμίνῳ ταῦτα πάσας ἀλὶ μὴ συχνῷ ὄπτα·*
*ἄλλο δ' ἐκεῖσε, φίλη κεφαλή, μηδὲν προσενέγκῃς,*
*εἰ μὴ γλαυκὸν ἔλαιον. ἐπειδὰν δ' ὀπτὰ γένηται*
d *ἤδη, τριμμάτιόν τε φέρειν καὶ ἐκεῖνα μετ' αὐτοῦ.*
*ὅσσα δ' ἂν ἐν λοπάδος κοίλης πλευρώμασιν ἕψῃς,*
*μήθ' ὕδατος πηγὴν . . μήτ' οἴνινον ὄξος*
*συμμίξῃς, ἀλλ' αὐτὸ μόνον κατάχευον ἔλαιον*
*αὐχμηρόν τε κύμινον, ὁμοῦ δ' εὐώδεα φύλλα.*

ἕψε δ' ἐπ' ἀνθρακιῆς φλόγα τούτοις μὴ προσενεγκών,
καὶ κίνει πυκινῶς, μὴ προσκαυθέντα λάθῃ σε.
ἀλλ' οὐ πολλοὶ ἴσασι βροτῶν τόδε θεῖον ἔδεσμα,
οὐδ' ἔσθειν ἐθέλουσιν ὅσοι κεπφαττελεβώδη e
ψυχὴν κέκτηνται θνητῶν εἰσίν τ' ἀπόπληκτοι,
ὡς ἀνθρωποφάγου τοῦ θηρίου ὄντος. ἅπας δὲ
ἰχθὺς σάρκα φιλεῖ βροτέην, ἄν που περικύρσῃ.

τούτου τοῦ ἰχθύος μέρος ἐστὶ καὶ ὁ ὑπὸ τῶν Ῥωμαίων καλούμενος θυρσίων, ἥδιστος ὢν καὶ τρυφερώτατος.

86. ΛΑΒΡΑΚΕΣ. οὗτοι, ὡς Ἀριστοτέλης ἱστορεῖ, μονήρεις εἰσὶ καὶ σαρκοφάγοι. γλῶσσαν δ' ἔχουσιν ὀστώδη καὶ προσπεφυκυῖαν, καρδίαν τρίγωνον. ἐν δὲ πέμπτῳ ζῴων μορίων τίκτειν αὐτούς, καθάπερ f τοὺς κεστρεῖς καὶ χρυσόφρυας, μάλιστα οὗ ἂν ποταμοὶ ῥέωσι. τίκτουσι δὲ χειμῶνος καὶ τίκτουσι δίς. Ἱκέσιος δέ φησιν ὅτι οἱ λάβρακες εὔχυλοί εἰσι καὶ οὐ πολύτροφοι, πρὸς δὲ τὴν ἔκκρισιν ἥσσονες, εὐστομίᾳ δὲ πρῶτοι κρίνονται. ὠνομάσθη δ' ὁ ἰχθὺς παρὰ τὴν λαβρότητα. λέγεται δὲ ὅτι καὶ συνέσει τῶν ἄλλων ἰχθύων διαφέρει, ἐπινοητικὸς ὢν τοῦ διασώζειν ἑαυτόν. διὸ καὶ ὁ κωμῳδιοποιὸς Ἀριστοφάνης φησί

λάβραξ ὁ πάντων ἰχθύων σοφώτατος. 311

Ἀλκαῖος δ' ὁ μελοποιὸς μετέωρόν φησιν αὐτὸν νήχεσθαι. ὁ δὲ σοφὸς Ἀρχέστρατος

λάμβανε δ' ἐκ Γαίσωνος, ὅταν Μίλητον ἵκηαι,
κεστρέα τὸν κέφαλον καὶ τὸν θεόπαιδα λάβρακα.
εἰσὶ γὰρ ἐνθάδ' ἄριστοι· ὁ γὰρ τόπος ἐστὶ τοιοῦτος.
πιότεροι δ' ἕτεροι πολλοὶ Καλυδῶνί τε κλεινῇ
Ἀμβρακίᾳ τ' ἐνὶ πλουτοφόρῳ Βολβῇ τ' ἐνὶ λίμνῃ·

b ἀλλ᾽ οὐκ εὐώδη γαστρὸς κέκτηνται ἀλοιφήν,
οὐδ᾽ οὕτω δριμεῖαν. ἐκεῖνοι δ᾽ εἰσίν, ἑταῖρε,
τὴν ἀρετὴν θαυμαστοί. ὅλους δ᾽ αὐτοὺς ἀλεπίστους
ὀπτήσας μαλακῶς χρηστοὺς προσένεγκε δίχ᾽ ἅλμης.
μηδὲ προσέλθῃ σοι περὶ τοὖψον τοῦτο πονοῦντι
μήτε Συρακόσιος μηδεὶς μήτ᾽ Ἰταλιώτης.
οὐ γὰρ ἐπίστανται χρηστοὺς σκευαζέμεν ἰχθῦς,
c ἀλλὰ διαφθείρουσι κακῶς τυροῦντες ἅπαντα
ὄξεΐ τε ῥαίνοντες ὑγρῷ καὶ σιλφίου ἅλμῃ.
τῶν δ᾽ αὖ πετραίων ἰχθύδια τρισκαταράτων
πάντων εἰσὶν ἄριστοι ἐπισταμένως διαθεῖναι,
καὶ πολλὰς ἰδέας κομψῶς παρὰ δαιτὶ δύνανται
ὀψαρίων τεύχειν γλίσχρων ἡδυσματολήρων.

87. καὶ Ἀριστοφάνης δ᾽ ἐν Ἱππεῦσι μνημονεύει ὡς διαφόρων γινομένων τῶν περὶ τὴν Μίλητον λα-
d βράκων, ὅταν οὕτως λέγῃ

ἀλλ᾽ οὐ λάβρακας καταφαγὼν μιλησίους κλονήσεις.

ἐν δὲ Λημνίαις

οὐ κρανίον λάβρακος, οὐχὶ κάραβον πρίασθαι.

ὡς διαφόρου ὄντος τοῦ τῶν λαβράκων ἐγκεφάλου, καθάπερ καὶ τοῦ τῶν γλαύκων. καὶ Εὔβουλος δ᾽ ἐν Τιτθαῖς φησί

μὴ πολυτελῶς ἀλλὰ καθαρείως, ὅ τι ἂν ᾖ,
ὁσίας ἕνεκα, σηπίδι᾽ ἢ τευθίδια,
πλεκτάνια μικρὰ πουλύποδος, νῆστίν τινα,
μήτραν, χόρια, πῦον, λάβρακος κρανίον
εὐμέγεθες.

ὁ δὲ Γαίσων, οὗ Ἀρχέστρατος μνημονεύει, ἡ Γαισω-
e νὶς λίμνη ἐστί, μεταξὺ Πριήνης καὶ Μιλήτου ἠνω-

μένη τῇ θαλάττῃ, ὡς Νεάνθης ὁ Κυζικηνὸς ἱστορεῖ ἐν τῇ ἕκτῃ τῶν Ἑλληνικῶν. Ἔφορος δ' ἐν τῇ πέμπτῃ ποταμὸν εἶναί φησι τὸν Γαίσωνα περὶ Πριήνην, ὃν εἰσρεῖν εἰς λίμνην. Ἄρχιππος ἐν Ἰχθύσι μνημονεύων τῶν λαβράκων φησίν

Αἰγύπτιος μιαρώτατος τῶν ἰχθύων κάπηλος,
Ἑρμαῖος, ὃς βίᾳ δέρων ῥίνας γαλεούς τε πωλεῖ
καὶ τοὺς λάβρακας ἐντερεύων.

88. ΛΑΤΟΣ. τοῦτον κατὰ τὴν Ἰταλίαν κράτιστον εἶναί φησιν Ἀρχέστρατος λέγων οὕτως f

τὸν δὲ λάτον τὸν κλεινὸν ἐν Ἰταλίῃ πολυδένδρῳ
ὁ σκυλλαῖος ἔχει πορθμός, θαυμαστὸν ἔδεσμα.

οἱ δ' ἐν τῷ Νείλῳ ποταμῷ γινόμενοι λάτοι τὸ μέγεθος εὑρίσκονται καὶ ὑπὲρ διακοσίας λίτρας ἔχοντες. ὁ δὲ ἰχθὺς οὗτος λευκότατος ὢν καὶ ἥδιστός ἐστι πάντα τρόπον σκευαζόμενος, παραπλήσιος ὢν τῷ κατὰ τὸν Ἴστρον γινομένῳ γλάνιδι. φέρει δὲ ὁ Νεῖλος καὶ ἄλλα γένη πολλὰ ἰχθύων, καὶ πάντα ἥδιστα, μάλιστα δὲ τὰ 312
τῶν κορακίνων. πολλὰ γὰρ καὶ τούτων γένη. φέρει δὲ καὶ τοὺς μαιώτας καλουμένους, ὧν μνημονεύει Ἄρχιππος ἐν Ἰχθύσι διὰ τούτων

τοὺς μαιώτας καὶ σαπέρδας καὶ γλάνιδας.

εἰσὶ δὲ πολλοὶ περὶ τὸν Πόντον, φέροντες τὴν ὀνομασίαν ἀπὸ τῆς λίμνης τῆς Μαιώτιδος. νειλῷοι δ' εἰσὶν ἰχθύες, εἴ γέ τι μνημονεύειν δύναμαι πολυετῆ τὴν ἀποδημίαν ἔχων, νάρκη μὲν ἡ ἡδίστη χοῖρος σῖμος b
φάγρος ὀξύρυγχος ἀλλάβης σίλουρος συνοδοντὶς ἐλέωτρις ἔγχελυς θρίσσα ἄβραμις τύφλη λεπιδωτὸς φῦσα κεστρεύς. εἰσὶ δὲ καὶ ἄλλοι οὐκ ὀλίγοι.

89. ΛΕΙΟΒΑΤΟΣ. οὗτος καλεῖται καὶ ῥίνη. ἔστι δὲ λευκόσαρκος, ὡς Ἐπαίνετος ἐν Ὀψαρτυτικῷ. Πλάτων Σοφισταῖς

κἂν ᾖ γαλεὸς κἂν λειόβατος κἂν ἔγχελυς.

90. ΜΥΡΑΙΝΑΙ. Θεόφραστος ἐν τῷ [πέμπτῳ] περὶ τῶν ἐν τῷ ξηρῷ διαιτωμένων ἔγχελύν φησι καὶ μύραιναν πολὺν χρόνον δύνασθαι ἔξω τοῦ ὑγροῦ ζῆν, διὰ τὸ μικρὰ ἔχειν βραγχία καὶ ὀλίγον δέχεσθαι τὸ c ὑγρόν. τροφίμους δ' αὐτὰς εἶναί φησιν ὁ Ἱκέσιος ἧττον τῶν ἐγχέλεων, ἀλλὰ καὶ τῶν γόγγρων. Ἀριστοτέλης δὲ ἐν πέμπτῳ ζῴων μορίων ἐκ μικροῦ φησιν αὐτὴν ταχεῖαν τὴν αὔξησιν λαμβάνειν, καὶ εἶναι καρχαρόδουν τίκτειν τε πᾶσαν ὥραν μικρὰ ᾠά. Ἐπίχαρμος δ' ἐν Μούσαις χωρὶς τοῦ σ μυραίνας αὐτὰς καλεῖ οὑτωσὶ λέγων

οὔτε γόγγρων τις παχήων οὔτε μυραινᾶν ἀπῆς.

ὁμοίως δὲ καὶ Σώφρων. Πλάτων δ' ἢ Κάνθαρος ἐν Συμμαχίᾳ σὺν τῷ σ

βατίς τε καὶ σμύραινα προσέτιν.

d Δωρίων δὲ ἐν τῷ περὶ ἰχθύων τὴν ποταμίαν φησὶ μύραιναν ἔχειν μίαν ἄκανθαν μόνην ὁμοίαν τῷ ὀνίσκῳ τῷ καλουμένῳ γαλλαρίᾳ. Ἀνδρέας δ' ἐν τῷ περὶ δακέτων τῶν μυραινῶν φησὶ δακούσας ἀναιρεῖν τὰς ἐξ ἔχεως, εἶναι δ' αὐτὰς ἧττον περιφερεῖς καὶ ποικίλας. Νίκανδρος δὲ ἐν Θηριακῷ

μυραίνης δ' ἔκπαγλον, ἐπεὶ μογεροὺς ἁλιῆας
πολλάκις ἐκβρύξασα κατεπρήνιξεν ἐπάκτρων
εἰς ἅλα φυζηθέντας ἐχετλίου ἐξαναδῦσα·
εἰ ἔτυμον κείνην γε σὺν οὐλοβόροις ἐχίεσσι
e θόρνυσθαι προλιποῦσαν ἁλὸς νόμον ἠπείροισιν.

Ἀνδρέας δ' ἐν τῷ περὶ τῶν ψευδῶς πεπιστευμένων ψεῦδός φησιν εἶναι τὸ μύραιναν ἔχει μίγνυσθαι προερχομένην ἐπὶ τὸ τεναγῶδες· οὐδὲ γὰρ ἐπὶ τενάγους ἔχεις νέμεσθαι φιληδοῦντας ἀμμώδεσιν ἐρη-

μίαις. Σώστρατος δὲ ἐν τοῖς περὶ ζῴων, ἔστι δὲ ταῦτα δύο βιβλία, συγκατατίθεται τῇ μίξει.

91. ΜΥΡΟΣ. ὁ δὲ μῦρος, ὥς φησιν Ἀριστοτέλης ἐν πέμπτῳ ζῴων μορίων, διαφέρει τῆς σμυραίνης. ἣ μὲν γὰρ ποικίλον καὶ ἀσθενέστερον, ὁ δὲ μῦρος λειό- f χρως καὶ ἰσχυρὸς καὶ τὸ χρῶμα ὅμοιον ἔχει ἴυγγι ὀδόντας τε ἔσωθεν καὶ ἔξωθεν. Δωρίων δὲ τὸν μῦρον φησὶ τὰς διὰ σαρκὸς ἀκάνθας οὐκ ἔχειν, ἀλλ' ὅλον εἶναι χρήσιμον καὶ ἁπαλὸν ὑπερβολῇ. εἶναι δὲ αὐτῶν γένη δύο· εἰσὶ γὰρ οἳ μὲν μέλανες οἳ δ' ὑποπυρρίζοντες, κρείσσονες δ' εἰσὶν οἱ μελανίζοντες. Ἀρχέστρατος δ' ὁ ἡδονικὸς φιλόσοφός φησιν

Ἰταλίας δὲ μεταξὺ κατὰ στενοκύμονα πορθμὸν 313
ἡ πλωτὴ μύραινα καλουμένη ἄν ποτε ληφθῇ,
ὠνοῦ· τοῦτο γάρ ἐστιν ἐκεῖ θαυμαστὸν ἔδεσμα.

92. ΜΑΙΝΙΔΕΣ. ταύτας δέ φησιν Ἱκέσιος εὐχυλοτέρας εἶναι τῶν κωβιῶν, λείπεσθαι δ' εὐστομίᾳ καὶ τῷ πρὸς τὴν ἔκκρισιν τῆς κοιλίας συνεργεῖν. Σπεύσιππος δὲ ἐν δευτέρῳ Ὁμοίων ὅμοιά φησιν εἶναι τῇ μαινίδι βόακα καὶ σμαρίδας, ὧν μνημονεύειν καὶ b Ἐπίχαρμον ἐν Γᾷ καὶ Θαλάσσᾳ οὕτως

ὅκχ' ὁρῇ βῶκάς τε πολλοὺς καὶ σμαρίδας.

Ἐπαίνετος δ' ἐν Ὀψαρτυτικῷ φησί 'σμαρίδα, ἣν ἔνιοι καλοῦσι κυνὸς εὐνά.' Ἀντιφάνης δ' ἐν Ἀγροίκῳ ἢ Βουταλίωνι Ἑκάτης βρώματα καλεῖ τὰς μαινίδας, διὰ τὴν βραχύτητα, λέγων οὕτως

τοὺς γὰρ μεγάλους τούτους ἅπαντας νενόμικα
ἀνθρωποφάγους ἰχθῦς. Β. τί φῄς ὦ φίλτατε;
ἀνθρωποφάγους; πῶς; Γ. οὓς ἂν ἄνθρωπος φάγοι
δῆλον ὅτι· ταῦτα δ' ἐστὶν Ἑκάτης βρώματα, c
ἅ φησιν οὗτος, μαινίδας καὶ τριγλίδας.

καλοῦνται δέ τινες καὶ λευκομαινίδες, ἃς ἔνιοι βόακας ὀνομάζουσι. Πολίοχος Κορινθιαστῇ

ὅπως σε πείσῃ μηδὲ εἷς, πρὸς τῶν θεῶν,
τοὺς βόακας, ἄν ποτ᾽ ἔλθῃ, λευκομαινίδας καλεῖν.

93. ΜΕΛΑΝΟΥΡΟΣ. περὶ τούτου φησὶ Νουμήνιος ἐν Ἁλιευτικῷ

d σκορπίον ἢ πέρκαισι καθηγητὴν μελάνουρον.

Ἱκέσιος δὲ αὐτὸν σαργῷ φησὶ παραπλήσιον εἶναι, καταδεέστερον δὲ τῇ εὐχυλίᾳ καὶ τῇ εὐστομίᾳ, μικρῶς δὲ παραστύφειν καὶ εἶναι τρόφιμον. μνημονεύει δ᾽ αὐτοῦ Ἐπίχαρμος ἐν Ἥβας γάμῳ

ἦν δὲ σαργῖνοί τε μελάνουροί τε.

Ἀριστοτέλης δὲ ἐν τῷ περὶ ζωικῶν γράφει οὕτως ʽὀρροπυγόστικτοι δὲ τῶν ἰχθύων μελάνουρος καὶ σαργός, πολύγραμμοί τε καὶ μελανόγραμμοι.᾽ ὅμοιον δ᾽ εἶναι
e τῷ μελανούρῳ φησὶ Σπεύσιππος ἐν δευτέρῳ Ὁμοίων τὸν καλούμενον ψύρον, ὃν Νουμήνιος καλεῖ ψόρον οὕτως

ἢ ψόρον ἢ σάλπας ἢ αἰγιαλῆα δράκοντα.

94. ΜΟΡΜΥΡΟΣ. τροφιμώτατος, ὥς φησιν Ἱκέσιος. Ἐπίχαρμος δ᾽ ἐν Ἥβας γάμῳ μύρμας αὐτοὺς ὀνομάζει, εἰ μὴ διάφοροι τὴν φύσιν εἰσί. γράφει δ᾽ οὕτως

καὶ χελιδόνες τε μύρμαι θ᾽ οἵ τε κολιᾶν μέζονες ἐντί.

Δωρίων δ᾽ ἐν τῷ περὶ ἰχθύων μορμύλους αὐτοὺς
f καλεῖ. Λυγκεὺς δ᾽ ὁ Σάμιος ἐν τῇ ὀψωνητικῇ τέχνῃ, ἣν προσεφώνησέ τινι τῶν ἑταίρων δυσώνῃ, φησίν ʽοὐκ ἄχρηστον δὲ πρὸς τοὺς ἀτενίζοντας καὶ μὴ συγκαθιέντας τῇ τιμῇ καὶ τὸ κακῶς λέγειν παρεστηκότα τοὺς ἰχθύας, ἐπαγόμενον Ἀρχέστρατον τὸν γράψαντα τὴν Ἡδυπάθειαν, ἢ τῶν ἄλλων τινὰ ποιητῶν, καὶ λέγοντα τὸ μέτρον

*μόρμυρος αἰγιαλεὺς κακὸς ἰχθύς, οὐδέ ποτ' ἐσθλός.*

*καί 'τὴν ἀμίαν ὠνοῦ φθινοπώρου,' νῦν δ' ἐστὶν ἔαρ.* 314
*κεστρέα τὸν θαυμαστόν, ὅταν χειμὼν ἀφίκηται. νῦν δ' ἐστὶ θέρος. καὶ πολλὰ τῶν τοιούτων. ἀποσοβήσεις γὰρ πολλοὺς τῶν ὠνουμένων καὶ προσεστηκότων. τοῦτο δὲ ποιῶν ἀναγκάσεις τὸ σοὶ δοκοῦν λαβεῖν αὐτόν.'*

95. ΝΑΡΚΗ. *Πλάτων ἢ Κάνθαρος ἐν Συμμαχίᾳ*

*νάρκη γὰρ ἑφθὴ βρῶμα χάριεν γίγνεται.*

*ὁ δὲ φιλόσοφος Πλάτων ἐν Μένωνί φησι 'τῇ θαλαττίᾳ νάρκῃ. καὶ γὰρ αὕτη τὸν πλησιάζοντα ναρκᾶν ποιεῖ.' ἡ δὲ κλῆσις αὐτῆς καὶ παρ' Ὁμήρῳ 'νάρκησε* b
*δὲ χεὶρ ἐπὶ καρπῷ.' Μένανδρος δὲ ἐν Φανίῳ διὰ τοῦ α ἔφη*

*ὑπελήλυθέν τέ μου*
*νάρκα τις ὅλον τὸ δέρμα,*

*μηδενὸς τῶν παλαιῶν οὕτω κεχρημένου. Ἱκέσιος δέ φησιν ἀτροφωτέραν καὶ ἀχυλοτέραν αὐτὴν εἶναι, ἔχειν τε χονδρῶδές τι διακεχυμένον, εὐστόμαχον πάνυ. Θεόφραστος δ' ἐν τῷ περὶ τῶν φωλευόντων διὰ τὸ ψῦχός φησι τὴν νάρκην κατὰ γῆς δύεσθαι. ἐν δὲ τῷ περὶ τῶν δακέτων καὶ βλητικῶν διαπέμπεσθαί* c
*φησι τὴν νάρκην τὴν ἀφ' αὑτῆς δύναμιν καὶ διὰ τῶν ξύλων καὶ διὰ τῶν τριοδόντων, ποιοῦσαν ναρκᾶν τοὺς ἐν χεροῖν ἔχοντας. εἴρηκε δὲ τὴν αἰτίαν Κλέαρχος ὁ Σολεὺς ἐν τῷ περὶ νάρκης. ἅπερ μακρότερα ὄντα ἐπιλέλησμαι, ὑμᾶς δὲ ἐπὶ τὸ σύγγραμμα ἀναπέμπω. ἔστι δ' ἡ νάρκη, ὥς φησιν Ἀριστοτέλης, τῶν σελαχωδῶν καὶ τῶν σκυμνοτοκούντων. θηρεύει δ' εἰς τροφὴν ἑαυτῆς τὰ ἰχθύδια προσαπτομένη καὶ ναρκᾶν καὶ ἀκινητίζειν ποιοῦσα. Δίφιλος δ' ὁ Λαοδικεὺς ἐν τῷ περὶ* d

τῶν Νικάνδρου Θηριακῶν μὴ πᾶν τὸ ζῷόν φησι τὴν νάρκαν ἐμποιεῖν, μέρος δέ τι αὐτῆς, διὰ πείρας πολλῆς φάσκων ἐληλυθέναι. ὁ δ' Ἀρχέστρατός φησι

καὶ νάρκην ἑφθὴν ἐν ἐλαίῳ ἠδὲ καὶ οἴνῳ,
καὶ χλόῃ εὐώδει καὶ βαιῷ ξύσματι τυροῦ.

Ἄλεξις ἐν Γαλατείᾳ

νάρκην μὲν οὖν, ὥς φασιν, ὠνθυλευμένην
ὀπτᾶν ὅλην.

ἐν δὲ Δημητρίῳ

ἔπειτα νάρκην ἔλαβον, ἐνθυμούμενος
e ὅτι δεῖ γυναικὸς ἐπιφερούσης δακτύλους
ἁπαλοὺς ὑπ' ἀκάνθης μηδὲ ἓν τούτους παθεῖν.

96. ΞΙΦΙΑΣ. τοῦτον Ἀριστοτέλης φησὶν ἔχειν τοῦ ῥύγχους τὸ μὲν ὑποκάτω μικρόν, τὸ δὲ καθύπερθεν ὀστῶδες μέγα, ἴσον τῷ ὅλῳ αὐτοῦ μεγέθει· τοῦτο δὲ καλεῖσθαι ξίφος· ὀδόντας δ' οὐκ ἔχειν τὸν ἰχθύν. Ἀρχέστρατος δέ φησιν

ἀλλὰ λαβὲ ξιφίου τέμαχος Βυζάντιον ἐλθών,
οὐραίου τ' αὐτὸν τὸν σφόνδυλον. ἔστι δὲ κεδνὸς
f κἀν πορθμῷ πρὸς ἄκραισι Πελωριάδος προχοαῖσι.

τίς οὕτως τακτικὸς ἀκριβὴς ἢ τίς οὕτως κριτὴς ὄψων, ὡς ὁ ἐκ Γέλας μᾶλλον δὲ Καταγέλας οὗτος ποιητής; ὃς ἀκριβῶς οὕτως διὰ λιχνείαν καὶ τὸν πορθμὸν διέπλευσε καὶ τῶν μερῶν ἑκάστου τῶν ἰχθύων τὰς ποιότητας καὶ τοὺς χυμοὺς [διὰ τὴν λιχνείαν] ἐξήτασεν, ὥς τινα πραγματείαν βιωφελῆ καταβαλλόμενος.

315 97. ΟΡΦΩΣ. καλεῖται δὲ καὶ ὀρφός, ὡς Πάμφιλος. Ἀριστοτέλης δὲ ἐν πέμπτῳ ζῴων μορίων ταχεῖαν λέγων γίνεσθαι τοῖς ἰχθύσι τὴν αὔξησιν, καὶ ὀρφώς, φησίν, ἐκ μικροῦ γίνεται μέγας ταχέως. ἔστι δὲ καὶ σαρκοφάγος καὶ καρχαρόδους, ἔτι δὲ καὶ μονήρης.

ἴδιον δ' ἐν αὐτῷ ἐστι τὸ τοὺς θορικοὺς πόρους μὴ εὑρίσκεσθαι καὶ τὸ δύνασθαι πολὺν χρόνον ζῆν μετὰ τὴν ἀνατομήν. ἔστι δὲ καὶ τῶν φωλευόντων ἐν ταῖς χειμεριωτάταις ἡμέραις· χαίρει τε πρόσγειος μᾶλλον ὢν ἢ πελάγιος. ζῇ δ' οὐ πλέον δύο ἐτῶν. μνημονεύων δ' αὐτοῦ Νουμήνιός φησι b

τοῖσί κεν εὐμαρέως θαλάμης ἄπο μακρὸν ἀείροις
σκορπίον ἢ ὀρφὸν περιτρηχέα· τῶν γὰρ ἐρᾷ
κρῆς . . .

καὶ πάλιν

γλαύκους ἢ ὀρφῶν ἔναλον γένος ἠὲ μελάγχρουν
κόσσυφον.

Δωρίων δὲ τὸν νέον φησὶν ὀρφὼν ὑπ' ἐνίων καλεῖσθαι ὀρφακίνην. Ἄρχιππος δ' ἐν Ἰχθύσιν

ἱερεὺς γὰρ ἦλθ' αὐτοῖσιν ὀρφὼς τοῦ θεοῦ.

Κρατῖνος δ' ἐν Ὀδυσσεῦσι 'τέμαχος ὀρφὼ χλιαρόν.' Πλάτων Κλεοφῶντι

σὲ γάρ, γραῦ, συγκατῴκισεν σαπρὰν c
ὀρφῷσι σελαχίοις τε καὶ φάγροις βοράν.

Ἀριστοφάνης Σφηξίν

ἢν μὲν ὠνῆταί τις ὀρφώς, μεμβράδας δὲ μὴ θέλῃ.

τὴν μέντοι ἑνικὴν εὐθεῖαν ὀξυτόνως προφέρονται Ἀττικοί. Ἄρχιππος Ἰχθύσιν ὡς πρόκειται. τὴν δὲ γενικὴν Κρατῖνος Ὀδυσσεῦσι 'τέμαχος ὀρφὼ χλιαρόν.'

98. ΟΡΚΥΝΟΣ. Δωρίων ἐν τῷ περὶ ἰχθύων τοὺς ὀρκύνους ἐκ τῆς περὶ Ἡρακλέους στήλας θαλάσσης περαιουμένους εἰς τὴν καθ' ἡμᾶς ἔρχεσθαι θάλασσαν· διὸ καὶ πλείστους ἁλίσκεσθαι ἐν τῷ ἰβηρικῷ καὶ τυρ- d
ρηνικῷ πελάγει, κἀντεῦθεν κατὰ τὴν ἄλλην θάλασσαν διασκίδνασθαι. Ἱκέσιος δὲ τοὺς μὲν ἐν Γαδείροις ἁλισκομένους πιμελεστέρους εἶναι, μετὰ δὲ τούτους τοὺς ἐν Σικελίᾳ, τοὺς δὲ πόρρω Ἡρακλείων στηλῶν

ἀλιπεῖς διὰ τὸ πλείονα τόπον ἐκνενῆχθαι. ἐν Γαδείροις μὲν οὖν τὰ κλειδία καθ' αὑτὰ ταριχεύεται, ὡς καὶ τῶν ἀντακαίων αἱ γνάθοι καὶ οὐρανίσκοι καὶ οἱ λεγόμενοι μελανδρύαι ἐξ αὐτῶν ταριχεύονται. Ἱκέ-
e σιος δέ φησι τὰ ὑπογάστρια αὐτῶν λιπαρὰ ὑπάρχοντα τῇ εὐστομίᾳ πολὺ διαλλάσσειν τῶν ἄλλων μερῶν, τὰ δὲ κλειδία [μέρη] εὐστομώτερα εἶναι τούτων.

99. ΟΝΟΣ καὶ ΟΝΙΣΚΟΣ. ὄνος, φησὶν Ἀριστοτέλης ἐν τῷ περὶ ζωικῶν, ἔχει στόμα ἀνερρωγὸς ὁμοίως τοῖς γαλεοῖς καὶ οὐ συναγελαστικός. καὶ μόνος οὗτος ἰχθύων τὴν καρδίαν ἐν τῇ κοιλίᾳ ἔχει καὶ ἐν τῷ ἐγκεφάλῳ λίθους ἐμφερεῖς μύλαις. φωλεύει δὲ μόνος ἐν ταῖς ὑπὸ κύνα θερμοτάταις ἡμέραις, τῶν ἄλλων ταῖς
f χειμεριωτάταις φωλευόντων. μνημονεύει δ' αὐτῶν Ἐπίχαρμος ἐν Ἥβας γάμῳ

μεγαλοχάσμονάς τε χάννας κἠκτραπελογάστορας ὄνους.

διαφέρει δ' ὄνος ὀνίσκου, ὥς φησι Δωρίων ἐν τῷ περὶ ἰχθύων γράφων οὕτως 'ὄνος, ὃν καλοῦσί τινες γάδον. γαλλερίας, ὃν καλοῦσί τινες ὀνίσκον τε καὶ μυξῖνον.' Εὐθύδημος δὲ ἐν τῷ περὶ ταρίχων 'οἳ μὲν βάκχον (φησὶ) καλοῦσιν οἳ δὲ γελλαρίην οἳ δὲ ὀνίσκον.' Ἀρχέστρατος δέ φησι

316 τὸν δ' ὄνον Ἀνθηδών, τὸν καλλαρίαν καλέουσιν,
ἐκτρέφει εὐμεγέθη, σομφὴν δὲ τρέφει τινὰ σάρκα
κἄλλως οὐχ ἡδεῖαν ἔμοιγ', ἄλλοι δέ νιν αἰνῶς
αἰνοῦσιν· χαίρει γὰρ ὃ μὲν τούτοις ὃ δ' ἐκείνοις.

100. ΠΟΥΛΥΠΟΥΣ, πουλύποδος. οὕτως φασὶν οἱ Ἀττικοὶ ὡς καὶ Ὅμηρος

ὡς δ' ὅτε πουλύποδος θαλάμης ἐξελκομένοιο.

ἀνάλογον· παρὰ τὸ πούς γὰρ γέγονεν. τὴν δὲ αἰτιατικὴν πουλύπουν φασὶν ὡς Ἀλκίνουν καὶ Οἰδίπουν. καὶ τρίπουν δὲ λέβητα Αἰσχύλος εἴρηκεν ἐν Ἀθάμαντι b ἀπὸ ἁπλοῦ τοῦ πούς, ὡς νοῦς. τὸ δὲ πώλυπον λέγειν αἰολικόν· Ἀττικοὶ γὰρ πουλύπουν λέγουσιν. Ἀριστοφάνης Δαιδάλῳ

καὶ ταῦτ' ἔχοντα πουλύπους καὶ σηπίας.

καὶ πάλιν 'τὸν πουλύπουν μοι ἔθηκε.' καὶ πάλιν

πληγαὶ λέγονται πουλύπου πιλουμένου.

Ἀλκαῖος Ἀδελφαῖς μοιχευομέναις

ἠλίθιον εἶναι νοῦν τε πουλύποδος ἔχειν.

Ἀμειψίας Κατεσθίοντι

δεῖ μέν, ὡς ἔοικε, πολλῶν πουλύπων.

Πλάτων Παιδίῳ

ὥσπερ τοὺς πουλύποδας πρώτιστα σέ. c

Ἀλκαῖος

ἔδω δ' ἐμαυτὸν [ὡς] πουλύπους.

οἱ δὲ πουλύποδα προφέρονται ἀνάλογον τῷ πούς ποδός ποδί πόδα. Εὔπολις Δήμοις

ἀνὴρ πολίτης πουλύπους ἐς τοὺς τρόπους.

101. Διοκλῆς δ' ἐν πρώτῳ Ὑγιεινῶν 'τὰ δὲ μαλάκια (φησὶ) πρὸς ἡδονὴν καὶ πρὸς τὰ ἀφροδίσια· μάλιστα δὲ οἱ πουλύποδες.' ἱστορεῖ δ' Ἀριστοτέλης τὸν πουλύποδα ἔχειν πόδας ὀκτώ, ὧν τοὺς μὲν ἄνω δύο καὶ κάτω ἐλαχίστους, τοὺς δ' ἐν μέσῳ μεγίστους· ἔχειν δὲ καὶ κοτυληδόνας δύο, αἷς τὴν τροφὴν προσάγεσθαι· τοὺς δ' ὀφθαλμοὺς ἐπάνω τῶν δύο ποδῶν· d τὸ δὲ στόμα καὶ τοὺς ὀδόντας ἐν μέσοις τοῖς ποσίν. ἀναπτυχθεὶς δὲ ἐγκέφαλον ἔχει διμερῆ. ἔχει δὲ καὶ τὸν λεγόμενον θόλον, οὐ μέλανα καθάπερ σηπία, ἀλλ' ὑπέρυθρον, ἐν τῷ λεγομένῳ μήκωνι. ὁ δὲ μήκων κεῖται ἐπάνω τῆς κοιλίας οἱονεὶ κύστις. σπλάγχνον

δ᾽ οὐκ ἔχει ἀναλογοῦν. τροφῇ δὲ χρῆται ἔστιν ὅτε
καὶ τοῖς τῶν κογχυλίων σαρκιδίοις, τὰ ὄστρακα ἐκτὸς
e τῶν θαλαμῶν ῥίπτων· ὅθεν διαγινώσκουσιν οἱ θη-
ρεύοντες. ὀχεύει δὲ συμπλεκόμενος καὶ πολὺν χρόνον
πλησιάζει διὰ τὸ ἄναιμος εἶναι. τίκτει δὲ διὰ τοῦ
λεγομένου φυσητῆρος, ὅς ἐστι πόρος τῷ σώματι. καὶ
τίκτει ᾠὰ βοτρυδόν.

102. λέγουσι δὲ καὶ ὡς, ἂν ἀπορήσῃ τροφῆς, αὐτὸν κατεσθίει. ὧν εἷς ἐστὶ καὶ ὁ κωμῳδιοποιὸς Φερεκράτης. οὗτος γὰρ ἐν τοῖς ἐπιγραφομένοις φησὶν Ἀγρίοις

ἐνθρύσκοισιν καὶ βρακάνοις
καὶ στραβήλοις ζῆν· ὁπόταν δ᾽
ἤδη πεινῶσι σφόδρα,
ὡσπερεὶ τοὺς πουλύποδας
f . . . νύκτωρ περιτρώ-
γειν αὑτῶν τοὺς δακτύλους.

καὶ Δίφιλος ἐν Ἐμπόρῳ

πουλύπους ἔχων ἁπάσας ὁλομελεῖς τὰς πλεκτάνας
οὐ περιβεβρωκὼς ἑαυτόν, ἔστιν [ἔνδον], φιλτάτη.

τοῦτο δ᾽ ἐστὶ ψεῦδος. ὑπὸ γὰρ τῶν γόγγρων διωκόμενος τοὺς πόδας ἀδικεῖται. λέγεται δ᾽ ὡς, ἄν τις ταῖς θαλάμαις αὐτοῦ ἅλας ὑποσπείρῃ, εὐθέως ἐξέρχεται. ἱστορεῖται δὲ καὶ ὅτι φεύγων διὰ τὸν φόβον
μεταβάλλει τὰς χρόας καὶ ἐξομοιοῦται τοῖς τόποις ἐν
317 οἷς κρύπτεται, ὡς καὶ ὁ Μεγαρεὺς Θέογνίς φησιν
ἐν ταῖς ἐλεγείαις

πουλύπου ὀργὴν ἴσχε πολυπλόκου, ὃς ποτὶ πέτρῃ,
τῇ προσομιλήσῃ, τοῖος ἰδεῖν ἐφάνη.

ὁμοίως ἱστορεῖ καὶ Κλέαρχος ἐν δευτέρῳ περὶ παροιμιῶν παρατιθέμενος τάδε τὰ ἔπη, οὐ δηλῶν ὅτου ἐστί

πουλύποδός μοι τέκνον ἔχων νόον, Ἀμφίλοχ' ἥρως,
τοῖσιν ἐφαρμόζειν, τῶν κεν κατὰ δῆμον ἵκηαι. b

103. περὶ δὲ Τροιζῆνα τὸ παλαιόν φησιν ὁ αὐτὸς Κλέαρχος οὔτε τὸν ἱερὸν καλούμενον πουλύπουν οὔτε τὸν κωπηλάτην πουλύπουν νόμιμον ἦν θηρεύειν, ἀλλ' ἀπεῖπον τούτων τε καὶ τῆς θαλαττίας χελώνης μὴ ἅπτεσθαι. ὁ δὲ πουλύπους ἐστὶ συντηκτικὸς καὶ λίαν ἀνόητος. πρὸς γὰρ τὴν χεῖρα τῶν διωκόντων βαδίζει καὶ διωκόμενος ἔστιν ὅτε οὐχ ὑποχωρεῖ. συντήκονται δ' αὐτῶν αἱ θήλειαι μετὰ τὸν τόκον καὶ παρίενται· διὸ καὶ ῥᾳδίως ἁλίσκονται. ἑωράθησαν δέ ποτε καὶ ἐπὶ τὸ ξηρὸν ἐξιόντες, μάλιστα δὲ πρὸς τὰ τραχέα τῶν c χωρίων· φεύγουσι γὰρ τὰ λεῖα. καὶ χαίρουσι δὲ τῶν φυτῶν καὶ ταῖς ἐλαίαις καὶ πολλάκις εὑρίσκονται ταῖς πλεκτάναις περιειληφότες τὸ στέλεχος. ἐφωράθησαν δὲ καὶ συκέαις προσπεφυκυίαις τῇ θαλάττῃ προσπλεκόμενοι καὶ τῶν σύκων ἐσθίοντες, ὥς φησι Κλέαρχος ἐν τῷ περὶ τῶν ἐν τῷ ὑγρῷ. ἔστι δὲ δεῖγμα τοῦ ἥδεσθαι αὐτοὺς τῇ ἐλαίᾳ καὶ τοῦτο· ἐάν τις κλάδον τοῦ φυτοῦ τούτου καθῇ εἰς τὴν θάλασσαν καθ' ἣν εἰσι πουλύποδες καὶ μικρὸν ἐπίσχῃ, ἀπονητὶ ἀνέλκει τῷ d κλάδῳ περιπλεκομένους ὅσους ἐθέλει. ἔχουσι δὲ τὰ μὲν ἄλλα μέρη ἰσχυρότατα, τὸν δὲ τράχηλον ἀσθενῆ.

104. λέγεται δ' αὐτῶν τὸν ἄρρενα ἕλκειν αἰδοιῶδές τι ἐν μιᾷ τῶν πλεκτανῶν, ἐν ᾗ αἱ δύο μεγάλαι κοτυληδόνες εἰσίν. εἶναι δὲ τοῦτο νευρῶδες μέχρι εἰς μέσην τὴν πλεκτάνην ἅπαν προσπεφυκός. ἐν δὲ πέμπτῳ μορίων φησὶν Ἀριστοτέλης 'πουλύπους ὀχεύει τοῦ χειμῶνος καὶ τίκτει τῷ ἔαρι. φωλεύει δὲ περὶ δύο μῆνας. ἔστι δὲ πολύγονον τὸ ζῷον. διαφέρει δ' ὁ e ἄρρην τῆς θηλείας τῷ τε τὴν κεφαλὴν ἔχειν προμη-

κεστέραν καὶ τὸ καλούμενον ὑπὸ τῶν ἁλιέων αἰ-
δοῖον ἔχειν ἐν τῇ πλεκτάνῃ. ἐπῳάζει δὲ ὅταν τέκῃ·
διὸ καὶ χείριστοί εἰσι κατὰ τὸν χρόνον τοῦτον. ἀπο-
τίκτει δ' ὁ μὲν πουλύπους ἢ εἰς θαλάμας ἢ εἰς κερά-
μιον ἤ τι ἄλλο τοιοῦτο κοῖλον. καὶ μεθ' ἡμέρας πεν-
τήκοντα ἐκ τῶν ᾠῶν πουλυπόδια ἐξέρπει ὥσπερ τὰ
φαλάγγια πολλὰ τὸ πλῆθος. ὁ δὲ θῆλυς πουλύπους
ὁτὲ μὲν ἐπὶ τοῖς ᾠοῖς, ὁτὲ δ' ἐπὶ τῷ στόματι προ-
f κάθηται τῆς θαλάμης, τὴν πλεκτάνην ἐπέχων.' Θεό-
φραστος δὲ ἐν τῷ περὶ τῶν μεταβαλλόντων τὰς χρόας
τὸν πουλύποδά φησι τοῖς πετρώδεσι μάλιστα μνίοις
συνεξομοιοῦσθαι, τοῦτο ποιοῦντα φόβῳ καὶ φυλακῆς
χάριν. ἐν δὲ τῷ περὶ τῶν ἐν τῷ ξηρῷ διατριβόντων
ζῴων οὐ δέχεσθαί φησι τοὺς πουλύποδας τὴν θάλατ-
ταν. ἐν δὲ τῷ περὶ τῶν κατὰ τόπους διαφορῶν ὁ
Θεόφραστος πουλύποδας οὐ γίνεσθαί φησι περὶ Ἑλ-
λήσποντον. ψυχρὰ γὰρ ἡ θάλασσα αὕτη καὶ ἧττον
ἁλμυρά, ταῦτα δ' ἀμφότερα πολέμια πουλύποδι.

105. 'ὁ δὲ ναυτίλος καλούμενος (φησὶν Ἀριστο-
τέλης) πουλύπους μὲν οὐκ ἔστιν, ἐμφερὴς δὲ κατὰ
τὰς πλεκτάνας. ἔχει δὲ τὸ νῶτον ὀστρακόδερμον. ἀνα-
318 δύνει δὲ ἐκ τοῦ βυθοῦ ἐφ' ἑαυτὸν ἔχων τὸ ὄστρακον,
ἵνα μὴ τὴν θάλατταν ἕλκῃ· ἐπαναστραφεὶς δ' ἐπι-
πλεῖ, ἄνω ποιήσας δύο τῶν πλεκτανῶν, αἳ μεταξὺ αὑ-
τῶν λεπτὸν ὑμένα ἔχουσι διαπεφυκότα, ὡς καὶ τῶν
ὀρνίθων οἱ πόδες ὁρῶνται μεταξὺ τῶν δακτύλων
δερμάτινον ὑμένα ἔχοντες· ἄλλας δὲ δύο πλεκτάνας
καθίησιν εἰς τὴν θάλασσαν ἀντὶ πηδαλίων. ὅταν δέ
τι προσιὸν ἴδῃ, δείσας συστέλλει τοὺς πόδας καὶ πλη-
ρώσας αὑτὸν τῆς θαλάσσης κατὰ βυθοῦ ὡς τάχος χω-
b ρεῖ.' ἐν δὲ τῷ περὶ ζωικῶν καὶ ἰχθύων 'πουλύπους
(φησὶ) τὶς ὃ μὲν τρεψίχρως ὃ δὲ ναυτίλος.'

106. *εἰς τὸν ναυτίλον τοῦτον φέρεταί τι Καλλιμάχου τοῦ Κυρηναίου ἐπίγραμμα οὕτως ἔχον*

*κόγχος ἐγώ, Ζεφυρῖτι, παλαίτερος, ἀλλὰ σὺ νῦν με,*
*Κύπρι, Σεληναίης ἄνθεμα πρῶτον ἔχεις,*
*ναυτίλον, ὃς πελάγεσσιν ἐπέπλεον, εἰ μὲν ἀῆται,*
*τείνας οἰκείων λαῖφος ἀπὸ προτόνων·*
*εἰ δὲ γαληναίη λιπαρὴ θεός, οὖλος ἐρέσσων*
*ποσσίν. ἴδ᾽ ὡς τὤργῳ τοὔνομα συμφέρεται.* c
*ἔκ τ᾽ ἔπεσον παρὰ θῖνας Ἰουλίδας, ὄφρα γένωμαι*
*σοί τι περίσκεπτον παίγνιον, Ἀρσινόη,*
*μηδέ μοι ἐν θαλάμῃσιν ἔθ᾽ ὡς πάρος (εἰμὶ γὰρ ἄπνους)*
*τίκτηται νοτερῆς ὤεον ἀλκυόνης.*
*Κλεινίου ἀλλὰ θυγατρὶ δίδου χάριν· οἶδε γὰρ ἐσθλὰ*
*ῥέζειν, καὶ Σμύρνης ἐστὶν ἀπ᾽ αἰολίδος.*

*ἔγραψε δὲ καὶ Ποσείδιππος εἰς τὴν ἐν τῷ Ζεφυρίῳ* d *τιμωμένην ταύτην Ἀφροδίτην τόδε τὸ ἐπίγραμμα*

*τοῦτο καὶ ἐν πόντῳ καὶ ἐπὶ χθονὶ τῆς φιλαδέλφου*
*Κύπριδος ἱλάσκεσθ᾽ ἱερὸν Ἀρσινόης,*
*ἣν ἄρα κοιρανέουσαν ἐπὶ ζεφυρίτιδος ἀκτῆς*
*σῶστρον ὁ ναύαρχος θήκατο Καλλικράτης.*
*ἣ δὲ καὶ εὐπλοΐην δώσει καὶ χείματι μέσσῳ*
*τὸ πλατὺ λισσομένοις ἐκλιπανεῖ πέλαγος.*

*τοῦ πουλύποδος μνημονεύει καὶ ὁ τραγικὸς Ἴων ἐν Φοίνικι λέγων* e

*καὶ τὸν πετραῖον πλεκτάναις ἀναίμοσιν*
*στυγῶ μεταλλακτῆρα πουλύπουν χροός.*

107. *εἴδη δ᾽ ἐστὶ πουλυπόδων ἐλεδώνη πουλυποδίνη βολβοτίνη ὀσμύλος, ὡς Ἀριστοτέλης ἱστορεῖ καὶ Σπεύσιππος. ἐν δὲ τῷ περὶ ζωικῶν Ἀριστοτέλης μαλάκιά φησιν εἶναι πουλύποδας ὀσμύλην ἐλεδώνην σηπίαν τευθίδα. Ἐπίχαρμος δ᾽ ἐν Ἥβας γάμῳ*

πώλυποί τε σηπίαι τε καὶ ποταναὶ τευθίδες,
χἀ δυσώδης βολβιτὶς γραῖαί τ' ἐριθακώδεες.

f Ἀρχέστρατος δέ φησι

πούλυποι ἔν τε Θάσῳ καὶ Καρίᾳ εἰσὶν ἄριστοι·
καὶ Κέρκυρα τρέφει μεγάλους πολλούς τε τὸ πλῆθος.

Δωριεῖς δ' αὐτὸν διὰ τοῦ ω καλοῦσι πώλυπον, ὡς Ἐπίχαρμος. καὶ Σιμωνίδης δ' ἔφη 'πώλυπον διζήμενος.' Ἀττικοὶ δὲ πουλύπουν. ἔστι δὲ τῶν σελαχωδῶν· τὰ χονδρώδη δ' οὕτω λέγεται

πουλύποδες γαλεοί τε κύνες.

μαλάκια δὲ καλεῖται τὰ τευθιδώδη. σελάχια δὲ τὰ τῶν ἐρίων φῦλα.

319 108. ΠΑΓΟΥΡΟΙ. τούτων μέμνηται Τιμοκλῆς ἢ Ξέναρχος ἐν Πορφύρᾳ οὕτως

εἶθ' ἁλιεὺς ὢν ἄκρος
σοφίαν παγούροις μὲν θεοῖς ἐχθροῖσι καὶ
ἰχθυδίοις εὕρηκα παντοδαπὰς τέχνας,
γέροντα βούγλωττον δὲ μὴ ταχέως πάνυ
συναρπάσομαι; καλόν γ' ἂν εἴη.

109. ΠΗΛΑΜΥΣ. Φρύνιχος ἐν Μούσαις μνημονεύει. Ἀριστοτέλης δὲ ἐν πέμπτῳ ζῴων μορίων 'αἱ πηλαμύδες (φησὶ) καὶ οἱ θύννοι τίκτουσιν ἐν τῷ Πόντῳ, ἄλλοθι δὲ οὔ.' μνημονεύει αὐτῶν καὶ Σοφοκλῆς ἐν Ποιμέσιν

b ἔνθ' ἡ πάροικος πηλαμὺς χειμάζεται
πάραυλος Ἑλλησποντὶς ὡραία θέρους
τῷ Βοσπορίτῃ· τῇδε γὰρ θαμίζεται.

110. ΠΕΡΚΑΙ. τούτων μέμνηται Διοκλῆς καὶ Σπεύσιππος ἐν δευτέρῳ Ὁμοίων παραπλησίας εἶναι λέγων πέρκην χάννην φυκίδα. Ἐπίχαρμος δέ φησι

κομαρίδας τε καὶ κύνας κέστρας τε πέρκας τ'
αἰόλας.

Νουμήνιος δ' ἐν Ἁλιευτικῷ

ἄλλοτε δ' αὖ πέρκας, ὁτὲ δὲ στροφάδας περὶ
πέτρην
φυκίδας ἀλφηστήν τε καὶ ἐν χροιῇσιν ἐρυθρὸν c
σκορπίον.

ΦΥΚΙΣ. καὶ ταύτης Ἐπίχαρμος ἐν Ἥβας γάμῳ μέμνηται καὶ Σπεύσιππος ἐν δευτέρῳ τῶν Ὁμοίων καὶ Νουμήνιος, ὧν τὰ μαρτύρια πρόκειται. Ἀριστοτέλης ἐν τῷ περὶ ζωικῶν ἀκανθοστεφῆ φησὶν εἶναι καὶ ποικιλόχροα φυκίδα. τῶν δὲ γραμμοποικίλων πλαγίαις τε ταῖς ῥάβδοις κεχρημένων πέρκη. καὶ παροιμία δέ ἐστιν 'ἕπεται πέρκη μελανούρῳ.'

111. ΡΑΦΙΔΕΣ. καὶ τούτων μέμνηται Ἐπίχαρμος λέγων

κὠξύρυγχοι ῥαφίδες ἵππουροί τε. d

Δωρίων δ' ἐν τῷ περὶ ἰχθύων βελόνην, φησίν, ἣν καλοῦσι ῥαφίδα. Ἀριστοτέλης δὲ ἐν πέμπτῳ ζῴων μορίων βελόνην αὐτὴν καλεῖ. ἐν δὲ τῷ περὶ ζωικῶν ἢ ἰχθύων ῥαφίδα αὐτὴν ὀνομάσας ἀνόδουν φησὶν αὐτὴν εἶναι. καὶ Σπεύσιππος αὐτὴν βελόνην καλεῖ.

112. ΡΙΝΗ. Δωρίων ἐν τῷ περὶ ἰχθύων ἐν Σμύρνῃ φησὶ τὰς ῥίνας διαφόρους γίνεσθαι, καὶ πάντα δὲ τὰ σελαχώδη τὸν σμυρναϊκὸν κόλπον ἔχειν διαφέροντα. Ἀρχέστρατος δέ φησι

καὶ σελάχη μέντοι κλεινὴ Μίλητος ἄριστα e
ἐκτρέφει· ἀλλά γε χρὴ ῥίνης λόγον ἢ πλατυ-
νώτου
λειοβάτου ποιεῖσθαι. ὁμῶς κροκόδειλον ἂν
ὀπτὸν
δαισαίμην ἀπ' ἰπνοῦ, τερπνὸν παίδεσσιν Ἰώνων.

113. ΣΚΑΡΟΣ. τοῦτον Ἀριστοτέλης φησὶν καρχαρόδοντα εἶναι καὶ μονήρη καὶ σαρκοφάγον, ἔχειν τε στόμα μικρὸν καὶ γλῶτταν οὐ λίαν προσπεφυκυῖαν,
f καρδίαν τρίγωνον παράλευκον τρίλοβον, ἔχειν τε χολὴν καὶ σπλῆνα μέλανα, τῶν δὲ βραγχίων τὸ μὲν διπλοῦν τὸ δὲ ἁπλοῦν. μόνος δὲ καὶ τῶν ἄλλων ἰχθύων μηρυκάζει. χαίρει δὲ τῇ τῶν φυκίων τροφῇ· διὸ καὶ τούτοις θηρεύεται. ἀκμάζει δὲ θέρους. Ἐπίχαρμος δ' ἐν Ἥβας γάμῳ φησίν

ἁλιεύομεν σπάρους
καὶ σκάρους, τῶν οὐδὲ τὸ σκῶρ θεμιτὸν ἐκβαλεῖν θεοῖς.

320 Σέλευκος δ' ὁ Ταρσεὺς ἐν τῷ Ἁλιευτικῷ μόνον φησὶ τῶν ἰχθύων τὸν σκάρον καθεύδειν· ὅθεν οὐδὲ νύκτωρ ποτὲ ἁλῶναι. τοῦτο δὲ ἴσως διὰ φόβον αὐτῷ συμβαίνει. Ἀρχέστρατος δ' ἐν τῇ Γαστρονομίᾳ

καὶ σκάρον ἐξ Ἐφέσου ζήτει, χειμῶνι δὲ τρίγλην
ἔσθι' ἐνὶ ψαφαρῇ ληφθεῖσαν Τειχιοέσσῃ
Μιλήτου κώμῃ, Καρῶν πέλας ἀγκυλοκώλων.

κἀν ἄλλῳ δὲ μέρει φησί

b καὶ σκάρον ἐν παράλῳ Καλχηδόνι τὸν μέγαν ὄπτα
πλύνας εὖ· χρηστὸν δὲ καὶ ἐν Βυζαντίῳ ὄψει,
καὶ μέγεθος κυκλίᾳ ἴσον ἀσπίδι νῶτα φοροῦντα.
τοῦτον ὅλον θεράπευε τρόπον τοιόνδε· λαβών νιν,
ἡνίκ' ἂν εὖ τυρῷ καὶ ἐλαίῳ πάντα πυκασθῇ,
κρίβανον ἐς θερμὸν κρέμασον κἄπειτα κατόπτα.
πάσσειν δ' ἁλσὶ κυμινοτρίβοις καὶ γλαυκῷ ἐλαίῳ,
ἐκ χειρὸς κατακρουνίζων θεοδέγμονα πηγήν.

c Νίκανδρος δ' ὁ Θυατειρηνὸς δύο γένη φησὶν εἶναι σκάρων καὶ καλεῖσθαι τὸν μὲν ὀνίαν τὸν δὲ αἴολον.

114. ΣΠΑΡΟΣ. τοῦτον Ἱκέσιος εὐχυλότερον μὲν εἶναι μαινίδος καὶ ἄλλων δὲ πλειόνων τροφιμώτερον. Ἐπίχαρμος δ' ἐν Ἥβας γάμῳ

αὐτὸς ὁ Ποτιδὰν ἄγων γαύλοισιν ἐν φοινικικοῖς
εἶκε καλλίστους ἄδητα τήγανος ἀγεμὼν σπάρους
καὶ σκάρους, τῶν οὐδὲ τὸ σκῶρ θεμιτὸν ἐκβα-
λεῖν θεοῖς.

Νουμήνιος δ' ἐν Ἁλιευτικῷ

ἢ σπάρον ἢ ὕκας ἀγεληίδας. d

μνημονεύει δ' αὐτοῦ καὶ Δωρίων ἐν τῷ περὶ ἰχθύων.

115. ΣΚΟΡΠΙΟΣ. Διοκλῆς ἐν πρώτῳ τῶν πρὸς Πλείσταρχον Ὑγιεινῶν τῶν μὲν νεαρῶν φησὶν ἰχθύων ξηροτέρους εἶναι τὰς σάρκας σκορπίους κόκκυγας ψήττας σαργοὺς τραχούρους, τὰς δὲ τρίγλας ἧττον τούτων ξηροσάρκους. οἱ γὰρ πετραῖοι μαλακοσαρκότεροί εἰσιν. Ἱκέσιος δέ φησι ʽτῶν σκορπίων ὃ μέν ἐστι πελάγιος ὃ δὲ τεναγώδης. καὶ ὁ μὲν πελάγιος πυρρὸς ὁ δ' ἕτερος μελανίζων. διαφέρει δὲ τῇ γεύσει καὶ e τῷ τροφίμῳ ὁ πελάγιος. εἰσὶ δὲ οἱ σκορπίοι σμηκτικοὶ εὐέκκριτοι πολύχυλοι πολύτροφοι. χονδρώδεις γάρ εἰσι.' τίκτει δ' ὁ σκορπίος δίς, ὥς φησιν Ἀριστοτέλης ἐν πέμπτῳ ζῴων μορίων. Νουμήνιος δ' ἐν Ἁλιευτικῷ

φυκίδας ἀλφηστήν τε καὶ ἐν χροιῇσιν ἐρυθρὸν
σκορπίον ἢ πέρκαισι καθηγητὴν μελάνουρον.

ὅτι δὲ καὶ πληκτικός ἐστιν Ἀριστοτέλης ἱστορεῖ ἐν τῷ περὶ ἰχθύων ἢ ζωικῶν. Ἐπίχαρμος δ' ἐν Μούσαις ποικίλον εἶναί φησι τὸν σκορπίον

σκορπίοι τε ποικίλοι γλαῦκοί τε σαῦροι πίονες. f

μονήρης δ' ἐστὶ καὶ φυκοφάγος. ἐν δὲ πέμπτῳ ζῴων μορίων ὁ Ἀριστοτέλης σκορπίους καὶ σκορπίδας ἐν διαφόροις τόποις ὀνομάζει. ἄδηλον δὲ εἰ τοὺς αὐτοὺς

λέγει· ὅτι καὶ σκόρπαιναν καὶ σκορπίους πολλάκις ἡμεῖς ἐφάγομεν καὶ ὅτι διάφοροι καὶ οἱ χυμοὶ καὶ αἱ χρόαι εἰσὶν οὐδεὶς ἀγνοεῖ. ὁ δ' ὀψαρτυτὴς Ἀρχέστρατος ἐν τοῖς χρυσοῖς ἔπεσι λέγει

321 ἐν δὲ Θάσῳ τὸν σκορπίον ὠνοῦ, ἐὰν ᾖ
μὴ μείζων πυγόνος· μεγάλου δ' ἀπὸ χεῖρας ἴαλλε.

116. ΣΚΟΜΒΡΟΣ. Ἀριστοφάνης Γηρυτάδῃ. Ἱκέσιός φησι τοὺς σκόμβρους ἐλαχίστους μὲν εἶναι κατὰ τὸ μέγεθος, τροφιμωτέρους δὲ τῶν κολιῶν καὶ εὐχυλοτέρους, οὐ μὴν εὐεκκριτωτέρους. μνημονεύει αὐτῶν οὕτως καὶ Ἐπίχαρμος ἐν Ἥβας γάμῳ

καὶ χελιδόνες τε μύρμαι θ' οἵ τε κολιᾶν μέζονες
ἐντὶ καὶ σκόμβρων, ἀτὰρ τᾶν θυννίδων γαμήονες.

117. ΣΑΡΓΟΙ. οὗτοι, ὥς φησιν Ἱκέσιος, στύφουσι
b μᾶλλον καὶ τῶν μελανούρων εἰσὶ τροφιμώτεροι. Νουμήνιος δ' ἐν Ἁλιευτικῷ πανοῦργον εἶναί φησι περὶ τὰς θήρας τὸν σαργόν

κόσσυφον ἢ κίχλας ἁλιειδέας, ἄλλοτε δ' ἄλλῃ
σαργὸν ἐπικέλσοντα, λινοπληγέστατον ἰχθύν.

Ἀριστοτέλης ἐν πέμπτῳ μορίων τίκτειν αὐτόν φησι δίς, ἔαρος εἶτα μετοπώρου. Ἐπίχαρμος δ' ἐν Ἥβας γάμῳ

αἱ δὲ λῇς, σαργοί τε χαλκίδες τε καὶ τοὶ πόντιοι.

c ὡς διαφόρους δὲ τοὺς σαργίνους ἐν τοῖσδε καταλέγει

ἦν δὲ σαργῖνοί τε μελάνουροί τε καὶ ταὶ φίνταται
ταινίαι, λεπταὶ μὲν ἁδεῖαι δέ.

ὁμοίως δὲ καὶ Δωρίων ἐν τῷ περὶ ἰχθύων φησὶ σαργίνους διὰ τοῦτ' αὐτοὺς καλῶν καὶ χαλκίδας. ὁ δὲ σοφὸς Ἀρχέστρατός φησιν

ἡνίκα δ' ἂν δύνοντος ἐν οὐρανῷ Ὠρίωνος

μήτηρ οἰνοφόρου βότρυος χαίτην ἀποβάλλῃ,
τῆμος ἔχειν ὀπτὸν σαργὸν τυρῷ κατάπαστον,
εὐμεγέθη θερμὸν δριμεῖ δεδαϊγμένον ὄξει·
σκληρὸς γὰρ φύσει ἐστίν. ἅπαντα δέ μοι θεράπευε
τὸν στερεὸν τοιῷδε τρόπῳ μεμνημένος ἰχθύν. d
τὸν δ' ἀγαθὸν μαλακόν τε φύσει καὶ πίονα σάρκα
ἁλσὶ μόνον λεπτοῖσι πάσας καὶ ἐλαίῳ ἀλείψας.
τὴν ἀρετὴν γὰρ ἔχει τῆς τέρψιος αὐτὸς ἐν αὑτῷ.

118. ΣΑΛΠΗ. Ἐπίχαρμος Ἥβας γάμῳ

ἀόνες φάγροι τε λάβρακές τε καὶ ταὶ πίονες
σκατοφάγοι σάλπαι βδελυχραί, ἁδέαι δ' ἐν τῷ θέρει.

Ἀριστοτέλης δ' ἐν πέμπτῳ ζῴων μορίων ἅπαξ τίκτειν e φησὶν αὐτὴν τοῦ μετοπώρου, ἔστι δὲ πολύγραμμος καὶ ἐρυθρόγραμμος, ἔτι δὲ καρχαρόδους καὶ μονήρης. λέγεσθαι δὲ καὶ ὑπὸ τῶν ἁλιέων φησὶν ὡς καὶ κολοκύντῃ θηρεύεται χαίρουσα τῷ βρώματι. Ἀρχέστρατος δέ φησι

σάλπην δὲ κακὸν μὲν ἔγωγε
ἰχθὺν εἰς αἰεὶ κρίνω· βρωτὴ δὲ μάλιστα
ἐστὶ θεριζομένου σίτου. λαβὲ δ' ἐν Μυτιλήνῃ αὐτήν.

Παγκράτης δ' ἐν Ἔργοις θαλασσίοις

σάλπαι τ' ἰσομήκεες ἰχθῦς, f
ἅς τε βόας πορκῆες ἁλίζωοι καλέουσιν,
οὕνεκα γαστέρι φῦκος ἀεὶ ἀλέουσιν ὀδοῦσιν.

ἐστὶ δὲ ποικίλος ὁ ἰχθύς. ὅθεν καὶ τὸν Λοκρὸν ἢ Κολοφώνιον Μνασέαν συνταξάμενον τὰ ἐπιγραφόμενα παίγνια διὰ τὸ ποικίλον τῆς συναγωγῆς σάλπην οἱ συνήθεις προσηγόρευον. Νυμφόδωρος δὲ ὁ Συρακό-

322 σιος ἐν τῷ τῆς Ἀσίας Περίπλῳ Λεσβίαν φησὶ γενέσθαι Σάλπην τὴν τὰ παίγνια συνθεῖσαν. Ἄλκιμος δ' ἐν τοῖς Σικελικοῖς ἐν Μεσσήνῃ φησὶ τῇ κατὰ τὴν νῆσον Βότρυν γενέσθαι εὑρετὴν τῶν παραπλησίων παιγνίων τοῖς προσαγορευομένοις Σάλπης. Ἄρχιππος δὲ ἐν Ἰχθύσιν ἀρσενικῶς εἶπεν ὁ σάλπης

ἐκήρυξεν βόαξ,
σάλπης δ' ἐσάλπιγξ', ἑπτ' ὀβολοὺς μισθὸν φέρων.

γίνεται δ' ὅμοιος ἰχθὺς ἐν τῇ ἐρυθρᾷ θαλάσσῃ ὁ καλούμενος στρωματεύς, ῥάβδους ἔχων δι' ὅλου τοῦ σώματος τεταμένας χρυσιζούσας, ὡς ἱστορεῖ Φίλων ἐν τῷ Μεταλλικῷ.

b 119. ΣΥΝΟΔΟΝΤΕΣ καὶ ΣΥΝΑΓΡΙΣ. καὶ τούτων Ἐπίχαρμος μέμνηται

συναγρίδας μαζούς τε συνόδοντάς τ' ἐρυθροποικίλους.

καὶ Νουμήνιος δ' ἐν Ἁλιευτικῷ διὰ τοῦ υ λέγων φησίν

ἢ λευκὴν συνόδοντα βόηκάς τε τρικκούς τε.

καὶ πάλιν

τοῖσί κε θηρήσαιο φαγεῖν λελιημένος ἰχθύν,
ἠὲ μέγαν συνόδοντα ἢ ἀρνευτὴν ἵππουρον.

σινόδοντα δὲ αὐτὸν λέγει διὰ τοῦ ἰῶτα Δωρίων, ἔτι
c δὲ Ἀρχέστρατος ἐν τούτοις

αὐτὰρ τὸν σινόδοντα μένων ζήτει παχὺν εἶναι·
ἐκ πορθμοῦ δὲ λαβεῖν πειρῶ καὶ τοῦτον, ἑταῖρε.
ταῦτα δὲ πάντα κυρῶ φράζων καὶ πρὸς σέ, Κλέανδρε.

Ἀντιφάνης δὲ ἐν Ἀρχιστράτῃ

τίς δ' ἐγχέλειον ἂν φάγοι,
ἢ κρανίον σινόδοντος;

120. ΣΑΥΡΟΣ. τούτου μνημονεύει Ἄλεξις ἐν Λεύκῃ· μάγειρος δ' ἐστὶν ὁ λέγων

ἐπίστασαι τὸν σαῦρον ὡς δεῖ σκευάσαι;
Β. ἀλλ' ἂν διδάσκῃς. Α. ἐξελὼν τὰ βραγχία d
πλύνας, περικόψας τὰς ἀκάνθας τὰς κύκλῳ,
παράσχισον χρηστῶς, διαπτύξας θ' ὅλον
τῷ σιλφίῳ μάστιξον εὖ τε καὶ καλῶς,
τυρῷ τε σάξον ἁλσί τ' ἠδ' ὀριγάνῳ.

Ἔφιππος δ' ἐν Κύδωνι πολλῶν καὶ ἄλλων ἰχθύων κατάλογον ποιούμενος καὶ τοῦ σαύρου μνημονεύει διὰ τούτων

θύννου τεμάχη γλάνιδος γαλεοῦ
ῥίνης γόγγρου, κέφαλος πέρκη
σαῦρος φυκὶς βρίγκος τρίγλη e
κόκκυξ φάγρος μύλλος λεβίας
σπάρος αἰολίας θρίττα χελιδὼν
καρὶς τευθὶς ψῆττα δρακαινὶς
πουλυπόδειον σηπία ὀρφὼς
κωβιὸς ἀφύαι βελόναι κεστρεῖς.

Μνησίμαχος δ' ἐν Ἱπποτρόφῳ

τῶν καρχαριῶν
νάρκη βάτραχος πέρκη σαῦρος
τριχίας φυκὶς βρίγκος τρίγλη
κόκκυξ.

ΣΚΕΠΙΝΟΣ. τούτου μνημονεύων Δωρίων ἐν τῷ περὶ ἰχθύων καλεῖσθαί φησιν αὐτὸν ἀτταγῖνον.

121. ΣΚΙΑΙΝΑ. Ἐπίχαρμος Ἥβας γάμῳ f

αἰολίαι πλῶτές τε κυνόγλωσσοί τ', ἐνῆν δὲ σκια-
θίδες.

Νουμήνιος δὲ σκιαδέα αὐτὸν καλεῖ ἐν τούτοις

τοῖσί κε θηρήσαιο λαβὼν λελιημένος ἰχθύν,
ἠὲ μέγαν συνόδοντα ἢ ἀρνευτὴν ἵππουρον,

ἠὲ φάγρον λοφίην, ὁτὲ δ᾽ ἀγρόμενον σκιαδῆα.

ΣΤΑΓΡΙΔΕΣ. τούτων μνημονεύει Ἐπίχαρμος ἐν
323 Ἥβας γάμῳ καὶ ἐν Γᾷ καὶ Θαλάσσᾳ.

122. ΣΦΥΡΑΙΝΑΙ. ταύτας φησὶν Ἱκέσιος τροφιμωτέρας εἶναι τῶν γόγγρων, ἀπειθεῖς δὲ τὴν γεῦσιν καὶ ἀστόμους, εὐχυλίᾳ δὲ μέσους. ὁ δὲ Δωρίων σφύραιναν, φησίν, ἣν καλοῦσι κέστραν. Ἐπίχαρμος δὲ ἐν Μούσαις κέστραν ὀνομάσας οὐκ ἔτι σφυραίνας ὀνομάζει, ὡς ταυτὸν οὔσας,

χαλκίδας τε καὶ κύνας κέστρας τε πέρκας τ᾽ αἰόλας.

καὶ Σώφρων ἐν ἀνδρείοις 'κέστραι βότιν κάπτουσαι.' Σπεύσιππος δὲ ἐν δευτέρῳ Ὁμοίων ὡς παραπλήσια
b ἐκτίθεται κέστραν βελόνην σαυρίδα. καὶ οἱ Ἀττικοὶ δὲ ὡς ἐπὶ τὸ πολὺ τὴν σφύραιναν καλοῦσι κέστραν, σπανίως δὲ τῷ τῆς σφυραίνης ὀνόματι ἐχρήσαντο. Στράττις γοῦν ἐν Μακεδόσιν ἐρομένου τινὸς Ἀττικοῦ, ὡς ἀγνοοῦντος τὸ ὄνομα, καὶ λέγοντος

ἡ σφύραινα δ᾽ ἐστὶ τίς;

φησὶν ὁ ἕτερος

κέστραν μὲν ὔμμες ὠττικοὶ κικλήσκετε.

Ἀντιφάνης ἐν Εὐθυδίκῳ

πάνυ συχνὴ
σφύραινα. Β. κέστραν ἀττικιστὶ δεῖ λέγειν.

Νικοφῶν δ᾽ ἐν Πανδώρᾳ 'κέστραι τε καὶ λάβρακες.'
c Ἐπίχαρμος Ἥβας γάμῳ 'κέστρας τε πέρκας τ᾽ αἰόλας.'

123. ΣΗΠΙΑ. Ἀριστοφάνης Δαναΐσι

καὶ ταῦτ᾽ ἔχοντα σηπίας καὶ πουλύπους.

ὡς αἰτίας ἡ παραλήγουσα παροξύνεται, ὡς Φιλήμων ἱστορεῖ, ὁμοίως καὶ ταῦτα, παιδία, ταινία, οἰκία. τὴν σηπίαν δὲ Ἀριστοτέλης φησὶ πόδας ἔχειν ὀκτώ, ὧν τοὺς ὑποκάτω δύο μεγίστους, προβοσκίδας δύο, καὶ

μεταξὺ αὐτῶν τοὺς ὀφθαλμοὺς καὶ στόμα. ἔχει δὲ καὶ ὀδόντας δύο, τὸν μὲν ἄνω τὸν δὲ κάτω, καὶ τὸ λεγόμενον ὄστρακον ἐν τῷ νώτῳ. ἐν δὲ τῇ μύτιδι ὁ θολός d ἐστιν· αὕτη δὲ κεῖται παρ' αὐτὸ τὸ στόμα, κύστεως τρόπον ἐπέχουσα. ἔστι δ' ἡ κοιλία πλακώδης καὶ λεία, ὁμοία τοῖς τῶν βοῶν ἠνύστροις. τρέφονται δὲ αἱ μικραὶ σηπίαι τοῖς λεπτοῖς ἰχθυδίοις, ἀποτείνουσαι τὰς προβοσκίδας ὥσπερ ὁρμιάς, καὶ ταύταις θηρεύουσαι. λέγεται δὲ ὡς, ὅταν ὁ χειμὼν γένηται, τῶν πετριδίων ὥσπερ ἀγκύραις ταῖς προβοσκίσι λαμβανόμεναι ὁρμοῦσι. διωκομένη τε ἡ σηπία τὸν θολὸν ἀφίησι καὶ ἐν αὐτῷ κρύπτεται, ἐμφήνασα φεύγειν εἰς τοὔμ- e προσθεν. λέγεται δὲ ὡς καὶ θηρευθείσης τῆς θηλείας τριόδοντι οἱ ἄρρενες ἐπαρήγουσιν ἀνθέλκοντες αὐτήν· ἂν δ' οἱ ἄρρενες ἁλῶσιν, αἱ θήλειαι φεύγουσιν. οὐ διετίζει δ' ἡ σηπία, καθάπερ οὐδ' ὁ πουλύπους. ἐν δὲ πέμπτῳ ζῴων μορίων 'αἱ σηπίαι (φησὶ) καὶ αἱ τευθίδες νέουσιν ἅμα καὶ συνεπόμεναι τὰ στόματα καὶ τὰς πλεκτάνας ἐφαρμόττουσαι καταντικρὺ ἀλλήλαις· ἐφαρμόττουσι δὲ καὶ τὸν μυκτῆρα εἰς τὸν μυκτῆρα. τῶν τε μαλακίων τίκτουσι πρῶται τοῦ ἔαρος αἱ σηπίαι, καὶ κύουσι πᾶσαν ὥραν, καὶ κυΐσκονται f πεντεκαίδεκα ἡμέραις. ὅταν δὲ τέκωσι τὰ ᾠά, ὁ ἄρρην παρακολουθῶν καταφυσᾷ καὶ στιφρᾷ. βαδίζουσι δὲ κατὰ ζυγά. καὶ ἔστιν ὁ ἄρρην τῆς θηλείας ποικιλώτερός τε καὶ μελάντερος τὸ νῶτον.

124. Ἐπίχαρμος δ' ἐν Ἥβας γάμῳ φησί

πώλυπές τε σηπίαι τε καὶ ποταναὶ τευθίδες.

τοῦτο δὲ σημειωτέον πρὸς Σπεύσιππον λέγοντα εἶναι ὅμοια σηπίαν καὶ τευθίδα. Ἱππώνακτος δ' ἐν τοῖς 324 ἰάμβοις εἰπόντος 'σηπίης ὑπόσφαγμα' οἱ ἐξηγησάμενοι ἀπέδωκαν τὸ τῆς σηπίας μέλαν. ἔστι δὲ τὸ

ὑπόσφαγμα, ὡς Ἐρασίστρατός φησιν ἐν Ὀψαρτυτικῷ, ὑπότριμμα. γράφει δ' οὕτως 'ὑπόσφαγμα δ' εἶναι κρέασιν ὀπτοῖς ἐκ τοῦ αἵματος τεταραγμένου μέλιτι τυρῷ ἁλὶ κυμίνῳ σιλφίῳ ἐξ ἑφθοῖς.' καὶ Γλαῦκος δ' ὁ Λοκρὸς ἐν Ὀψαρτυτικῷ οὕτως γράφει 'ὑπόσφαγμα δ' αἷμα ἑφθὸν καὶ σίλφιον καὶ ἕψημα, ἢ μέλι καὶ ὄξος
b καὶ γάλα καὶ τυρὸς καὶ φύλλα εὐώδη τετμημένα.' ὁ δὲ πολυμαθέστατος Ἀρχέστρατός φησι

σηπίαι Ἀβδήροις τε Μαρωνείᾳ τ' ἐνὶ μέσσῃ.

Ἀριστοφάνης Θεσμοφοριαζούσαις

ἰχθῦς ἐώνηταί τις ἢ σηπίδιον·

καὶ ἐν Δαναίσιν

ὀσμύλια καὶ μαινίδια καὶ σηπίδια.

Θεόπομπος Ἀφροδίτῃ

ἀλλ' ἔντραγε
τὴν σηπίαν τηνδὶ λαβοῦσα καὶ τοδὶ
τὸ πουλυπόδειον.

περὶ δὲ ἑψήσεως σηπιδίων Ἄλεξις ἐν Πονήρᾳ παράγει μάγειρον τάδε λέγοντα

c σηπίας τόσας
δραχμῆς μιᾶς τρίς. τῶν δὲ τὰς μὲν πλεκτάνας
καὶ τὰ πτερύγια συντεμὼν ἑφθὰς ποιῶ.
τὸ δ' ἄλλο σῶμα κατατεμὼν πολλοὺς κύβους
σμήσας τε λεπτοῖς ἁλσί, δειπνούντων ἅμα
ἐπὶ τὸ τάγηνον σίζον ἐπισείων φέρω.

125. ΤΡΙΓΛΗ, κίχλη, διὰ τοῦ η. τὰ γὰρ εἰς λα λήγοντα θηλυκὰ ἕτερον αἰτεῖ λάμβδα, σκύλλα Τελέ-
d σιλλα. ὅσα δὲ ἐπιπλοκὴν ἔχει τοῦ γ εἰς η λήγει, τρώγλη αἴγλη ζεύγλη. τὴν δὲ τρίγλην φησὶν Ἀριστοτέλης τρὶς τίκτειν τοῦ ἔτους ἐν πέμπτῳ ζῴων μορίων, τεκμαίρεσθαι λέγων τοὺς ἁλιεῖς τοῦτο ἐκ τοῦ γόνου τρὶς φαινομένου περί τινας τόπους. μήποτ' οὖν ἐντεῦθέν

ἐστι καὶ τὸ τῆς ὀνομασίας, ὡς ἀμίαι, ὅτι οὐ κατὰ μίαν φέρονται ἀλλ' ἀγεληδόν, σκάρος δὲ ἀπὸ τοῦ σκαίρειν καὶ καρίς, ἀφύαι δ' ὡς ἂν ἀφυεῖς οὖσαι τουτέστι δυσφυεῖς· θύω, θύννος, ὁ ὁρμητικός, διὰ τὸ κατὰ τὴν τοῦ κυνὸς ἐπιτολὴν ὑπὸ τοῦ ἐπὶ τῆς κεφαλῆς οἴστρου ἐξελαύνεσθαι. ἔστι δὲ καρχαρόδους συναγε- e λαστικὴ παντόστικτος, ἔτι δὲ σαρκοφάγος. τὸ δὲ τρίτον τεκοῦσα ἄγονός ἐστι· γίνεται γάρ τινα σκωλήκια αὐτῇ ἐν τῇ ὑστέρᾳ, ἃ τὸν γόνον τὸν γινόμενον κατεσθίει. ἀπὸ δὲ τοῦ συμβεβηκότος Ἐπίχαρμος ὀνομάζει αὐτὰς κυφὰς ἐν Ἥβας γάμῳ διὰ τούτων

ἆγε δὴ τρίγλας τε κυφὰς κἀχαρίστους βαίονας.

Σώφρων δ' ἐν τοῖς ἀνδρείοις τριγόλας τινὰς ἐν τούτοις ὀνομάζει 'τριγόλᾳ ὀμφαλοτόμῳ' καί 'τριγόλαν τὸν εὐδιαῖον.' ἐν δὲ τῷ ἐπιγραφομένῳ Παιδικὰ ποιφύ- f ξεις φησί 'τρίγλας μὲν γένηον, τριγόλα δ' ὀπισθίδια.' κἀν τοῖς γυναικείοις δ' ἔφη 'τρίγλαν γενεᾶτιν.' Διοκλῆς δ' ἐν τοῖς πρὸς Πλείσταρχον σκληρόσαρκον εἶναί φησι τὴν τρίγλαν. Σπεύσιππος δ' ἐμφερῆ φησιν εἶναι κόκκυγα χελιδόνα τρίγλαν. ὅθεν Τρύφων φησὶν ἐν τοῖς περὶ ζῴων τὸν τριγόλαν τινὰς οἴεσθαι κόκκυγα εἶναι διά τε τὸ ἐμφερὲς καὶ τὴν τῶν ὀπι- 325 σθίων ξηρότητα, ἣν σεσημείωται ὁ Σώφρων λέγων 'τρίγλας μέν γε πίονας, τριγόλα δ' ὀπίσθια.'

126. Πλάτων δ' ἐν Φάωνί φησι

τρίγλη δ' οὐκ ἐθέλει νεύρων ἐπιήρανος εἶναι·
παρθένου Ἀρτέμιδος γὰρ ἔφυ καὶ στύματα μισεῖ.

τῇ δὲ Ἑκάτῃ ἀποδίδοται ἡ τρίγλη διὰ τὴν τῆς ὀνομασίας κοινότητα. τριοδῖτις γὰρ καὶ τρίγληνος· καὶ ταῖς τριακάσι δὲ αὐτῇ τὰ δεῖπνα φέρουσι. κατὰ τὸ παραπλήσιον δ' οἰκειοῦσιν Ἀπόλλωνι μὲν κίθαρον, Ἑρμῇ δὲ βόακα, Διονύσῳ δὲ κιττόν, καὶ Ἀφροδίτῃ b

φαλαρίδα, ὡς Ἀριστοφάνης ἐν Ὄρνισι, κατὰ συνέμφασιν τοῦ φαλλοῦ. καὶ τὴν νῆτταν δὲ καλουμένην Ποσειδῶνί τινες οἰκειοῦσι. καὶ τὸν θαλάττιον γόνον, ὃν ἡμεῖς μὲν ἀφύην, ἄλλοι δὲ ἀφρύην ὀνομάζουσιν, οἳ δὲ ἀφρόν· προσφιλέστατον δ' εἶναι καὶ τοῦτον Ἀφροδίτῃ διὰ τὸ καὶ αὐτὴν ἐξ ἀφροῦ γεννηθῆναι. Ἀπολλόδωρος δὲ ἐν τοῖς περὶ θεῶν τῇ Ἑκάτῃ φησὶ θύεσθαι τρίγλην διὰ τὴν τοῦ ὀνόματος οἰκειότητα· c τρίμορφος γὰρ ἡ θεός. Μελάνθιος δ' ἐν τῷ περὶ τῶν ἐν Ἐλευσῖνι μυστηρίων καὶ τρίγλην καὶ μαινίδα, ὅτι καὶ θαλάττιος ἡ Ἑκάτη. Ἡγήσανδρος δ' ὁ Δελφὸς τρίγλην παραφέρεσθαι ἐν τοῖς ἀρτεμισίοις διὰ τὸ δοκεῖν τοὺς θαλαττίους λαγὼς θανασίμους ὄντας θηρεύειν ἐπιμελῶς καὶ καταναλίσκειν. διόπερ ὡς ἐπ' ὠφελείᾳ τῶν ἀνθρώπων τοῦτο ποιοῦσα τῇ κυνηγετικῇ θεῷ ἡ κυνηγέτις ἀνάκειται. γενεᾶτιν δ' ἔφη τὴν τρίγλην Σώφρων, ἐπεὶ αἵ τὸ γένειον ἔχουσαι ἡδίονές εἰσι μᾶλλον τῶν ἄλλων. Ἀθήνησι δὲ καὶ d τόπος τις Τρίγλα καλεῖται, καὶ αὐτόθι ἐστὶν ἀνάθημα τῇ Ἑκάτῃ τριγλανθίνῃ. διὸ καὶ Χαρικλείδης ἐν Ἁλύσει φησί

> δέσποιν' Ἑκάτα τριοδῖτι,
> τρίμορφε τριπρόσωπε,
> τρίγλαις κηλευμένα.

127. ἐὰν δ' ἐναποπνιγῇ τρίγλη ζῶσα ἐν οἴνῳ καὶ τοῦτο ἀνὴρ πίῃ, ἀφροδισιάζειν οὐ δυνήσεται, ὡς Τερψικλῆς ἱστορεῖ ἐν τῷ περὶ ἀφροδισίων. κἂν γυνὴ δὲ πίῃ τοῦ αὐτοῦ οἴνου, οὐ κυΐσκεται. ὁμοίως δὲ οὐδὲ ὄρνις. ὁ δὲ πολυΐστωρ Ἀρχέστρατος ἐπαινέσας τὰς κατὰ Τειχιοῦντα τῆς Μιλησίας τρίγλας ἑξῆς φησί

> e κἂν Θάσῳ ὀψώνει τρίγλην, κοὐ χείρονα λήψει
> ταύτης· ἐν δὲ Τέῳ χείρω, κεδνὴ δὲ καὶ αὐτή·

ἐν δ' Ἐρυθραῖς ἀγαθὴ θηρεύεται αἰγιαλῖτις.

Κρατῖνος δ' ἐν Τροφωνίῳ φησίν

οὐδ' αἰξωνίδ' ἐρυθρόχρων ἐσθίειν ἔτι τρίγλην,
οὐδὲ τρυγόνος, οὐδὲ δεινοῦ φυὴν μελανούρου.

Ναυσικράτης δ' ὁ κωμῳδιοποιὸς ἐπαινεῖ τὰς αἰξωνικὰς τρίγλας ἐν Ναυκλήροις λέγων οὕτως

μετ' αὐτῶν δ' εἰσὶν ἐκπρεπεῖς φύσιν
αἱ ξανθοχρῶτες, ἃς κλύδων αἰξωνικὸς
πασῶν ἀρίστας ἐν τόποις μαιεύεται·
αἷς καὶ θεὰν τιμῶσι φωσφόρον κόρην, f
δείπνων ὅταν πέμπωσι δῶρα ναυτίλοι.
Β. τρίγλας λέγεις.

128. ΤΑΙΝΙΑΙ. καὶ τούτων Ἐπίχαρμος μέμνηται

καὶ ταὶ φίνταται
ταινίαι, λεπταὶ μὲν ἁδεῖαι δὲ κὠλίγου πυρός.

Μίθαικος δ' ἐν Ὀψαρτυτικῷ 'ταινίαν (φησὶν) ἐκκοιλιάξας, τὰν κεφαλὰν ἀποταμών, ἀποπλύνας καὶ ταμὼν τεμάχεα κατάχει τυρὸν καὶ ἔλαιον.' πλεῖσται δὲ 326 γίνονται καὶ κάλλισται κατὰ τὸν πρὸς τῇ Ἀλεξανδρείᾳ Κάνωπον καὶ ἐν Σελευκείᾳ τῇ πρὸς Ἀντιοχείᾳ. ὅταν δ' Εὔπολις ἐν Προσπαλτίοις λέγῃ

μήτηρ τις αὐτῷ Θρᾷττα ταινιόπωλις ἦν,

ἐπὶ τῶν ὑφασμάτων λέγει καὶ τῶν ζωνῶν, αἷς αἱ γυναῖκες περιδέονται.

129. ΤΡΑΧΟΥΡΟΙ. τούτων ὡς ξηροτέρων μέμνηται Διοκλῆς. Νουμήνιος δ' ἐν Ἁλιευτικῷ φησιν

ἀκονίας κίγκλους τε καὶ ἐλλοπίην τρήχουρον.

ΤΑΥΛΩΠΙΑΣ. περὶ τούτου Ἀρχέστρατος ἱστορεῖ b

καὶ νεαροῦ μεγάλου τ' αὐλωπία ἐν θέρει ὠνοῦ
κρανίον, ἂν φαέθων πυμάτην ἁψῖδα διφρεύῃ·
καὶ παράθες θερμὸν ταχέως καὶ τρῖμμα μετ' αὐτοῦ.

ὄπτα δ' ἀμφ' ὀβελίσκον ἑλὼν ὑπογάστριον αὐτοῦ.

130. ΤΕΥΘΙΣ. Ἀριστοτέλης εἶναί φησι καὶ ταύτην τῶν συναγελαζομένων, ἔχειν τε τὰ πλεῖστα τῆς c σηπίας, τὸν τῶν ποδῶν ἀριθμόν, τὰς προβοσκίδας. τῶν δὲ ταύτης ποδῶν οἱ μὲν κάτω μικροί εἰσιν οἱ δ' ἄνω μείζους· καὶ τῶν προβοσκίδων ἡ δεξιὰ παχυτέρα καὶ τὸ ὅλον σωμάτιον τρυφερὸν καὶ ὑπομηκέστερον. ἔχει δὲ καὶ θολὸν ἐν τῇ μύτιδι οὐ μέλανα ἀλλ' ὠχρόν, καὶ τὸ ὄστρακον μικρὸν λίαν καὶ χονδρῶδες.

ΤΕΥΘΟΣ. ὁ δὲ τεῦθος μόνῳ τούτῳ διαφέρει, τῷ μεγέθει· γίνεται δὲ καὶ τριῶν σπιθαμῶν. τὸ δὲ χρῶμά ἐστιν ὑπέρυθρος, καὶ τῶν ὀδόντων τὸν μὲν κάτω d ἐλάττονα ἔχει τὸν δὲ ἄνω μείζονα, ἄμφω δὲ μέλανας καὶ ὁμοίους ῥύγχει ἱέρακος. ἀναπτυχθεὶς δὲ κοιλίαν ἔχει ὁμοίαν ταῖς ὑείαις. ἐν δὲ πέμπτῳ μορίων βραχύβιά φησιν εἶναι τὸν τεῦθον καὶ τὴν σηπίαν. Ἀρχέστρατος δὲ ὁ πᾶσαν γῆν καὶ θάλασσαν διὰ γαστριμαργίαν περιπολήσας φησί

τευθίδες ἐν Δίῳ τῷ πιερικῷ παρὰ χεῦμα
Βαφύρα. καὶ ἐν Ἀμβρακίᾳ παμπληθέας ὄψει.

Ἄλεξις δ' ἐν Ἐρετρικῷ τάδε ποιεῖ λέγοντα μάγειρον

τευθίδες σπίναι βατὶς δῆμος ἀφύαι
e κρεαδι' ἐντερίδια· τὰς μὲν τευθίδας,
τὰ πτερύγι' αὐτῶν συντεμών, στεατίου
μικρὸν παραμίξας, περιπάσας ἡδύσμασιν
λεπτοῖσι χλωροῖς, ὤνθύλευσα.

καὶ πέμμα δέ τι τευθίδα ὀνομάζειν Ἰατροκλέα ἐν Ἀρτοποιικῷ φησι Πάμφιλος.

131. ΤΕΣ. Ἐπίχαρμος ἐν Ἥβας γάμῳ

ἦν δ' ὑαινίδες τε βούγλωσσοί τε καὶ κίθαρος ἐνῆς.

λέγει δέ τινας καὶ ὕας διὰ τούτων

χαλκίδες θ' ὕες τε ἱέρακές τε χὠ πίων κύων.

εἰ μὴ ἄρα οὗτοι οἱ αὐτοί εἰσι τῷ κάπρῳ. Νουμήνιος f δ' ἐν τῷ Ἁλιευτικῷ ἄντικρυς ὕαινάν τινα καταριθμεῖται ἐν τούτοις

κανθαρίδα προφανεῖσαν ὕαινάν τε τρίγλην τε.

καὶ Διονύσιος δ' ἐν Ὀψαρτυτικῷ τῆς ὑαίνης μνημονεύει. Ἀρχέστρατος δ' ὁ ὀψοδαίδαλος

ἐν δ' Αἴνῳ καὶ τῷ Πόντῳ τὴν ὗν ἀγόραζε,
ἣν καλέουσί τινες θνητῶν ψαμμῖτιν ὀρυκτήν.
τούτου τὴν κεφαλὴν ἕψειν, μηδὲν προσενεγκὼν
ἥδυσμ', ἀλλ' ἐς ὕδωρ μόνον ἐνθεὶς καὶ θαμὰ κινῶν
ὕσσωπον παράθες τρίψας, κἂν ἄλλο τι χρῄζῃς,
δριμὺ διεὶς ὄξος· κᾆτ' ἔμβαπτ' εὖ καὶ ἐπείγου 327
οὕτως ὡς πνίγεσθαι ὑπὸ σπουδῆς καταπίνων.
τὴν λοφιὰν δ' ὀπτᾶν αὐτῆς καὶ τἄλλα τὰ πλεῖστα.

μήποτ' οὖν καὶ ὁ Νουμήνιος ἐν τῷ Ἁλιευτικῷ τὴν ὗν ψαμαθῖδα καλεῖ, ἐπὰν λέγῃ

ἄλλοτε καρχαρίην, ὁτὲ δὲ ῥόθιον ψαμαθῖδα.

132. ΥΚΑΙ. τὸν ὕκην Καλλίμαχος ἐν ἐπιγράμμασιν ἱερὸν ἰχθὺν καλεῖ διὰ τούτων 'θεὸς δέ οἱ ἱερὸς ὕκης.' Νουμήνιος δ' ἐν Ἁλιευτικῷ

ἢ σπάρον ἢ ὕκας ἀγεληίδας ἢ ἐπὶ φάγρον b
πέτρῃ ἀλωόμενον.

Τίμαιος δ' ἐν τῇ τρισκαιδεκάτῃ τῶν ἱστοριῶν περὶ τοῦ σικελικοῦ πολιχνίου, λέγω δὲ τῶν Ὑκάρων, διαλεγόμενος προσαγορευθῆναί φησι τὸ πολίχνιον διὰ τὸ τοὺς πρώτους τῶν ἀνθρώπων ἐλθόντας ἐπὶ τὸν τόπον ἰχθῦς εὑρεῖν τοὺς καλουμένους ὕκας, καὶ τούτους ἐγκύους· δι' οὓς οἰωνισαμένους Ὕκαρον ὀνομά-

σαι τὸ χωρίον. Ζηνόδοτος δέ φησι Κυρηναίους τὸν ὕκην καλεῖν ἐρυθρῖνον. Ἕρμιππος δ' ὁ Σμυρναῖος c ἐν τοῖς περὶ Ἱππώνακτος ὕκην ἀκούει τὴν ἰουλίδα· εἶναι δ' αὐτὴν δυσθήρατον. διὸ καὶ Φιλητᾶν φάναι

οὐδ' ὕκης ἰχθὺς ἔσχατος ἐξέφυγεν.

133. ΦΑΓΡΟΣ. Σπεύσιππος ἐν δευτέρῳ Ὁμοίων παραπλήσιά φησιν εἶναι φάγρον ἐρυθρῖνον ἥπατον. ἐμνημόνευσε δ' αὐτοῦ καὶ Νουμήνιος ἐν τοῖς προκειμένοις. Ἀριστοτέλης δὲ σαρκοφάγον φησὶν αὐτὸν εἶναι καὶ μονήρη καρδίαν τε ἔχειν τρίγωνον ἀκμάζειν τε ἔαρος. Ἐπίχαρμος δ' ἐν Ἥβας γάμῳ φησίν

ἀόνες φάγροι τε καὶ λάβρακες.

d μνημονεύει δὲ αὐτῶν καὶ Μεταγένης ἐν Θουριοπέρσαις. Ἀμειψίας δ' ἐν Κόννῳ

ὀρφῷσι σελαχίοις τε καὶ φάγροις βορά.

Ἱκέσιος δέ φησι 'φάγροι καὶ χρόμις καὶ ἀνθίας καὶ ἀκαρνᾶνες καὶ ὀρφοὶ καὶ συνόδοντες καὶ συναγρίδες τῷ μὲν γένει παραπλήσιοι ὑπάρχουσι, γλυκεῖς τε γὰρ καὶ παραστύφοντες καὶ τρόφιμοι, κατὰ λόγον δὲ καὶ δυσέκκριτοι, τροφιμώτεροι δ' αὐτῶν οἱ σαρκώδεις καὶ γεωδέστεροι ἐλάττονά τε πιμελὴν ἔχοντες.' Ἀρχέστρατος δέ φησι σειρίου ἀνατέλλοντος δεῖν τὸν φάγρον ἐσθίειν

Δήλῳ τ' Εἰρετρίᾳ τε κατ' εὐλιμένους ἁλὸς οἴκους.
e τὴν κεφαλὴν δ' αὐτοῦ μόνον ὠνοῦ καὶ μετ' ἐκείνης
οὐραῖον· τὰ δὲ λοιπὰ δόμον σὸν μηδ' ἐσενέγκῃς.

μνημονεύει τοῦ φάγρου καὶ Στράττις ἐν Λημνομέδᾳ

πολλοὺς δὴ μεγάλους τε φάγρους ἐγκάψας.

καὶ ἐν Φιλοκτήτῃ

κᾆτ' εἰς ἀγορὰν ἐλθόντες ἁδροὺς

ὀψωνοῦσιν μεγάλους τε φάγρους
καὶ κωπᾴδων ἁπαλῶν τεμάχη
στρογγυλοπλεύρων.

ἔστι δὲ καὶ γένος λίθου φάγρος. ἡ γὰρ ἀκόνη κατὰ Κρῆτας φάγρος, ὥς φησι Σιμίας. f

134. ΧΑΝΝΑΙ. Ἐπίχαρμος ἐν Ἥβας γάμῳ

μεγαλοχάσμονάς τε χάννας κηκτραπελογάστορας
ὄνους.

Νουμήνιος ἐν Ἁλιευτικῷ

χάννους τ᾽ ἐγχέλυάς τε καὶ ἐννυχίην πύτινον.

μνημονεύει δ᾽ αὐτοῦ καὶ Δωρίων ἐν τῷ περὶ ἰχθύων. Ἀριστοτέλης δ᾽ ἐν τῷ περὶ ζωικῶν ποικιλερυθρομέλαιναν αὐτὴν ὀνομάζει καὶ ποικιλόγραμμον, διὰ τὸ μελαίναις γραμμαῖς πεποικίλθαι.

135. ΧΡΟΜΙΣ. καὶ τούτου μνημονεύει Ἐπίχαρμος λέγων 328

καὶ σκιφίας χρόμιάς θ᾽ ὃς ἐν τῷ ἦρι καττὸν
Ἀνάνιον
ἰχθύων πάντων ἄριστος.

Νουμήνιος δ᾽ ἐν Ἁλιευτικῷ

ὕκην ἢ κάλλιχθυν ἠὲ χρόμιν, ἄλλοτε δ᾽ ὀρφόν.

καὶ Ἀρχέστρατος

τὸν χρόμιν ἐν Πέλλῃ λήψει μέγαν, ἔστι δὲ πίων
ἂν θέρος ᾖ, καὶ ἐν Ἀμβρακίᾳ.

136. ΧΡΥΣΟΦΡΥΣ. Ἄρχιππος ἐν Ἰχθύσιν

ἱερεὺς Ἀφροδίτης χρύσοφρυς Κυθηρίας.

τοὺς δ᾽ ἰχθῦς τούτους φησὶν Ἱκέσιος καὶ τῇ γλυκύτητι b καὶ τῇ ἄλλῃ εὐστομίᾳ πάντων εἶναι ἀρίστους. εἰσὶ δὲ καὶ τροφιμώτατοι. τίκτουσι δέ, ὥς φησιν Ἀριστοτέλης, ὁμοίως τοῖς κεστρεῦσιν, οὗ ἂν ποταμοὶ ῥέωσιν. μνημονεύει δ᾽ αὐτῶν καὶ Ἐπίχαρμος ἐν Μούσαις καὶ

Δωρίων ἐν τῷ περὶ ἰχθύων. Εὔπολις δ' ἐν Κόλαξί φησι

δραχμῶν ἑκατὸν ἰχθῦς ἐώνημαι μόνον
ὀκτὼ λάβρακας, χρυσόφρυς δὲ δώδεκα.

ὁ δὲ σοφὸς Ἀρχέστρατος ἐν ταῖς ὑποθήκαις λέγει

χρύσοφρυν ἐξ Ἐφέσου τὸν πίονα μὴ παράλειπε,
c ὃν κεῖνοι καλέουσιν ἰωνίσκον· λαβὲ δ' αὐτόν
θρέμμα Σελινοῦντος σεμνοῦ, πλῦνον δέ νιν ὀρθῶς,
εἶθ' ὅλον ὀπτήσας παράθες κἂν ᾖ δεκάπηχυς.

137. ΧΑΛΚΙΔΕΣ καὶ τὰ ὅμοια, θρίσσαι τριχίδες ἐρίτιμοι. Ἱκέσιός φησιν 'αἱ λεγόμεναι χαλκίδες καὶ οἱ τράγοι καὶ αἱ ῥαφίδες καὶ αἱ θρίσσαι ἀχυρώδεις καὶ ἀλιπεῖς καὶ ἄχυλοι.' Ἐπίχαρμος δ' ἐν Ἥβας γάμῳ

χαλκίδες θ' ὗές τε ἱέρακές τε χὠ πίων κύων.

d Δωρίων δὲ χαλκιδικὰς αὐτὰς ὀνομάζει. Νουμήνιος δέ φησι

σὺ δ' ἂν καὶ χαλκίδ' ἐκείνην
αὕτως ἀμπείραις καὶ ὀλίγην μαινίδα.

διαφέρει δὲ τῆς χαλκίδος ὁ χαλκεύς, οὗ μνημονεύει Ἡρακλείδης ἐν Ὀψαρτυτικῷ καὶ Εὐθύδημος ἐν τῷ περὶ ταρίχων, λέγων αὐτοὺς γίνεσθαι ἐν τῇ Κυζικηνῶν χώρᾳ περιφερεῖς τε εἶναι καὶ κυκλοειδεῖς. ΘΡΙΣΣΩΝ δὲ μέμνηται Ἀριστοτέλης ἐν τῷ περὶ ζῴων e καὶ ἰχθύων ἐν τούτοις 'μόνιμα θρίσσα ἐγκρασίχολος μεμβρὰς κορακῖνος ἐρυθρῖνος τριχίς.' ΤΡΙΧΙΔΩΝ δὲ Εὔπολις ἐν Κόλαξιν

ἐκεῖνος ἦν φειδωλός, ὃς ἐπὶ τοῦ βίου
πρὸ τοῦ πολέμου μὲν τριχίδας ὠψώνησ' ἅπαξ,
ὅτε τὰν Σάμῳ δ' ἦν, ἡμιωβολίου κρέα.

Ἀριστοφάνης ἐν Ἱππεῦσι

αἱ τριχίδες εἰ γενοίαθ' ἑκατὸν τοὐβολοῦ.

Δωρίων δ' ἐν τῷ περὶ ἰχθύων καὶ τῆς ποταμίας μέμνηται θρίσσης καὶ τὴν τριχίδα τριχίαν ὀνομάζει. Νικοχάρης Λημνίαις

τριχίας δὲ καὶ τὰς πρημνάδας τὰς θυννίδας
ἐπὶ δεῖπνον ἠκούσας ὑπερπληθεῖς.

(πρημνάδας δὲ τὰς θυννίδας ἔλεγον. Πλάτων Εὐρώπῃ f

ἁλιευόμενός ποτ' αὐτὸν εἷλον ἀνδράχνῃ
μετὰ πρημνάδων, κἄπειτ' ἀφῆχ', ὅτι ἦν βόαξ.)

ὁμοίως δὲ καὶ Ἀριστοτέλης ἐν πέμπτῳ ζῴων μορίων, ἐν δὲ τῷ ἐπιγραφομένῳ ζωικῷ τριχίδα. τῶν δὲ λεγομένων ἐστὶν ὅτι ἥδεται ὀρχήσει καὶ ᾠδῇ καὶ ἀκούσας ἀναπηδᾷ ἐκ τῆς θαλάσσης. τῶν δ' ΕΡΙΤΙΜΩΝ μέμνηται Δωρίων, λέγων κατὰ τὸ αὐτὸ ποιεῖν ταῖς χαλκίσιν, ἡδεῖς δ' εἶναι τὰς ἐν ὑποτρίμματι. Ἐπαίνετος δ' ἐν τῷ περὶ ἰχθύων φησί 'γαλῆν σμαρίδα ἣν ἔνιοι καλοῦσι κυνὸς εὐναί, χαλκίδας ἃς καλοῦσι καὶ σαρδίνους ἐριτίμους, ἱέρακα χελιδόνα.' Ἀριστοτέλης δ' 329
ἐν πέμπτῳ μορίων σαργίνους αὐτὰς καλεῖ. Καλλίμαχος δ' ἐν ἐθνικαῖς ὀνομασίαις γράφει οὕτως 'ἐγκρασίχολος ἐρίτιμος Καλχηδόνιοι. τριχίδια χαλκὶς ἴκταρ ἀθερίνη . . .' ἐν ἄλλῳ δὲ μέρει καταλέγων ἰχθύων ὀνομασίας φησίν 'ὄζαινα ὀσμύλιον Θούριοι. ἴωπες ἐρίτιμοι Ἀθηναῖοι.' τῶν δὲ ἰώπων μνημονεύει Νίκανδρος ἐν δευτέρῳ Οἰταϊκῶν

ὡς δ' ὁπότ' ἀμφ' ἀγέλῃσι νεηγενέεσσιν ἰώπων
ἢ φάγροι ἢ σκῶπες ἀρείονες ἠὲ καὶ ὀρφός.

Ἀριστοφάνης δ' ἐν Ὁλκάσιν b

ὦ κακοδαίμων ὅστις ἐν ἅλμῃ πρῶτος τριχίδων
ἀπεβάφθη.

τοὺς γὰρ εἰς τὸ ἀπανθρακίζειν ἐπιτηδείους ἰχθῦς εἰς

ἅλμην ἀπέβαπτον, ἣν καὶ θασίαν ἐκάλουν ἅλμην. ὡς καὶ ἐν Σφηξὶν ὁ αὐτός φησι ποιητής

καὶ γὰρ πρότερον δὶς ἀνθρακίδων ἅλμην πιών.

138. ΘΡΑΙΤΤΑΙ. ἐπεὶ δ' ἐνταῦθα τοῦ λόγου ἐσμὲν προδιειλέγμεθά τε περὶ θρισσῶν, φέρε εἴπωμεν τίνες εἰσὶν αἱ παρὰ Ἀρχίππῳ ἐν Ἰχθύσι τῷ δράματι θρᾷτται. κατὰ τὰς συγγραφὰς γὰρ τῶν ἰχθύων καὶ Ἀθη- c ναίων ταυτὶ πεποίηκεν 'ἀποδοῦναι δ' ὅσα ἔχομεν ἀλλήλων· ἡμᾶς μὲν τὰς θρᾴττας, καὶ ἀθερίνην τὴν αὐλητρίδα, καὶ σηπίαν τὴν θύρσου, καὶ τοὺς τριγλίας, καὶ Εὐκλείδην τὸν ἄρξαντα, καὶ ἀναγυρουντόθεν τοὺς κορακίωνας, καὶ κωβιοῦ τοῦ σαλαμινίου τόκον, καὶ βάτραχον τὸν πάρεδρον τὸν ἐξ Ὠρεοῦ.' ἐν τούτοις ἄν τις ζητήσειε ποίας θρᾴττας παρὰ τοῖς ἰχθύσιν εἶναι συμβέβηκεν, ἃς ἀποδοῦναι τοῖς ἀνθρώποις συντίθενται. ἐπεὶ οὖν ἰδίᾳ μοι συγγέγραπταί τι περὶ τούτου, αὐτὰ τὰ καιριώτατα νῦν λέξω. d ἰχθύδιον οὖν ἐστὶν ἀληθῶς ἡ θρᾷττα θαλάττιον. καὶ μνημονεύει αὐτοῦ Μνησίμαχος ἐν Ἱπποτρόφῳ· ποιητὴς δ' ἐστὶν οὗτος τῆς μέσης κωμῳδίας. λέγει δ' οὕτως

μύλλος λεβίας σπάρος αἰολίας
θρᾷττα χελιδὼν καρὶς τευθίς.

Δωρόθεος δ' ὁ Ἀσκαλωνίτης ἐν τῷ ὀγδόῳ πρὸς τοῖς ἑκατὸν τῆς λέξεων συναγωγῆς θέτταν γράφει, ἤτοι ἡμαρτημένῳ περιτυχὼν τῷ δράματι ἢ διὰ τὸ ἄηθες τοῦ ὀνόματος αὐτὸς διορθώσας ἐξήνεγκεν. ὅλως δ' οὐδ' ἔστι τὸ τῆς θρᾴττης ὄνομα παρ' οὐδενὶ τῶν e Ἀττικῶν. ὅτι δὲ θρᾷτταν ἔλεγον τὸ θαλάττιον ἰχθύδιον καὶ Ἀναξανδρίδης παρίστησιν ἐν Λυκούργῳ λέγων οὕτως

καὶ συμπαίζειν κορακινιδίοις

μετὰ περκιδίων καὶ θραττιδίων.

καὶ Ἀντιφάνης ἐν Τυρρηνῷ

δήμου δ' Ἁλαιεύς ἐστιν. Β. ἓν γάρ τοῦτό μοι
ἔτι λοιπόν ἐστι, καὶ κακῶς ἀκούσομαι.
Α. τί δῆτα τοῦτο; Β. θρᾶτταν ἢ ψῆττάν τιν' ἢ
μύραιναν ἤ κακόν τί μοι δώσει μέγα
θαλάττιον.

139. ΨΗΤΤΑΙ. ταύτας Διοκλῆς ἐν τοῖς ξηροτέροις καταριθμεῖται. Σπεύσιππος δ' ἐν δευτέρῳ Ὁμοίων f παραπλήσιά φησιν εἶναι ψῆτταν βούγλωσσον ταινίαν. Ἀριστοτέλης δ' ἐν πέμπτῳ ζῴων μορίων γράφει 'ὁμοίως δὲ καὶ τῶν ἰχθύων οἱ πλεῖστοι ἅπαξ τίκτουσιν, οἷον οἱ χυτοὶ οἱ τῷ δικτύῳ περιεχόμενοι, χρόμις ψῆττα θύννος πηλαμὺς κεστρεὺς χαλκίδες καὶ τὰ τοιαῦτα.' ἐν δὲ τῷ περὶ ζωικῶν 'σελάχη 330 (φησὶ) βοῦς τρυγὼν νάρκη βατὶς βάτραχος βούγλωττος ψῆττα μῦς.' Δωρίων δὲ ἐν τῷ περὶ ἰχθύων γράφει 'τῶν δὲ πλατέων βούγλωττον ψῆτταν ἔσχαρον, ὃν καλοῦσι καὶ κόριν.' βουγλώσσους δ' ὀνομάζει καὶ Ἐπίχαρμος ἐν Ἥβας γάμῳ

ὑαινίδες τε βούγλωσσοί τε καὶ κίθαρος.

Λυγκεὺς δ' ὁ Σάμιος ἐν ἐπιστολαῖς τὰς καλλίστας γίνεσθαί φησι ψήττας περὶ Ἐλευσῖνα τῆς Ἀττικῆς. Ἀρχέστρατος δέ φησιν

εἶτα λαβεῖν ψῆτταν μεγάλην καὶ τὴν ὑπότρηχυν
βούγλωσσον . . . περὶ Χαλκίδα κεδνήν. b

Ῥωμαῖοι δὲ καλοῦσι τὴν ψῆτταν ῥόμβον, καὶ ἔστι τὸ ὄνομα ἑλληνικόν. Ναυσικράτης ἐν Ναυκλήροις· προειπὼν δὲ περὶ γλαύκου τοῦ ἰχθύος ἐπιφέρει

αἱ ξανθοχρῶτες, ἃς κλύδων αἰξωνικὸς
πασῶν ἀρίστας ἐντόποις μαιεύεται,
αἷς καὶ θεὰν τιμῶσι φωσφόρον κόρην,

δείπνων ὅταν πέμπωσι δῶρα ναυτίλοι.
Β. τρίγλας λέγεις.
Α. γαλακτοχρῶτα σικελὸς ὃν πήγνυσ' ὄχλος.
Β. ῥόμβος.

140. πεπληρωκότες τὴν περὶ ἰχθύων γενομένην
c τοῖς δειπνοσοφισταῖς ἀδολεσχίαν, ὦ Τιμόκρατες, αὐτοῦ τὸν λόγον καταπαύσαντες, εἰ μή τι καὶ ἄλλων σοι δεῖ βρωμάτων, παραθήσομέν σοι καὶ ἃ Εὔβουλος εἴρηκεν ἐν Λάκωσιν ἢ Λήδᾳ

πρὸς τούτοισιν δὲ παρέσται σοι
θύννου τέμαχος, κρέα δελφακίων,
χορδαί τ' ἐρίφων, ἧπάρ τε κάπρου,
κριοῦ τ' ὄρχεις, χόλικές τε βοός,
κρανία τ' ἀρνῶν, νῆστίς τ' ἐρίφου,
γαστήρ τε λαγώ, φύσκη, χορδή,
πνεύμων, ἀλλᾶς τε.

ἐμφορηθεὶς οὖν καὶ τούτων ἔασον ἡμᾶς καὶ τοῦ σωματίου ἐπιμέλειαν ποιήσασθαι, ἵνα δυνηθῇς τὰ μετὰ ταῦτα εὐλόγως σιτεῖσθαι.

---

# Η

330 1. Τὴν κατὰ τὴν Λυσιτανίαν (χώρα δ' ἐστὶν αὕτη
τῆς Ἰβηρίας, ἣν νῦν Ῥωμαῖοι Σπανίαν ὀνομάζουσι)
διηγούμενος εὐδαιμονίαν Πολύβιος ὁ Μεγαλοπολίτης,
ἀνδρῶν ἄριστε Τιμόκρατες, ἐν τῇ τετάρτῃ καὶ τρια-
331 κοστῇ τῶν ἱστοριῶν φησὶν ὡς αὐτόθι διὰ τὴν τοῦ
ἀέρος εὐκρασίαν καὶ τὰ ζῷα πολύγονα καὶ οἱ ἄνθρω-

ποι, καὶ οἱ ἐν τῇ χώρᾳ καρποὶ οὐδέποτε φθείρονται. ῥόδα μὲν γὰρ αὐτόθι καὶ λευκόϊα καὶ ἀσπάραγοι καὶ τὰ παραπλήσια τούτοις οὐ πλεῖον διαλείπει μηνῶν τριῶν. τὸ δὲ θαλάττιον ὄψον καὶ κατὰ τὸ πλῆθος καὶ κατὰ τὴν χρηστότητα καὶ κατὰ τὸ κάλλος μεγάλην ἔχει διαφορὰν πρὸς τὸ γινόμενον ἐν τῇ καθ᾽ ἡμᾶς θαλάττῃ. καὶ ὁ μὲν τῶν κριθῶν σίκλος [μέδιμνος] ἐστὶ δραχμῆς, ὁ δὲ τῶν πυρῶν ἐννέα ὀβολῶν ἀλεξανδρινῶν· τοῦ δ᾽ οἴνου δραχμῆς ὁ μετρητής, καὶ ἔριφος b ὁ μέτριος ὀβολοῦ καὶ λαγώς. τῶν δ᾽ ἀρνῶν τριώβολον καὶ τετρώβολον ἡ τιμή, ὗς δὲ πίων ἑκατὸν μνᾶς ἄγων πέντε δραχμῶν, καὶ πρόβατον δυοῖν, τάλαντον δὲ σύκων τριῶν ὀβολῶν, μόσχος δραχμῶν πέντε, καὶ βοῦς ζύγιμος δέκα. τὰ δὲ τῶν ἀγρίων ζῴων κρέα σχεδὸν οὐδὲ κατηξιοῦτο τιμῆς, ἀλλ᾽ ἐν ἐπιδόσει καὶ χάριτι τὴν ἀλλαγὴν ποιοῦνται τούτων.᾽ ἡμῖν δὲ ὁ καλὸς Λαρήνσιος τὴν Ῥώμην Λυσιτανίαν ἑκάστοτε παρέχων ἐμπίπλησι παντοίων ἀγαθῶν ὁσημέραι, μετὰ τοῦ ἡδέος καὶ μεγαλοφρόνως φιλοτιμούμενος, οὐδὲν c φερομένους οἴκοθεν ἢ λογάρια.

2. πολλῶν δὲ λεχθέντων ἐπὶ τοῖς ἰχθύσι λόγων δῆλος μὲν ἦν ἀχθόμενος ὁ Κύνουλκος. καὶ ὁ καλὸς Δημόκριτος αὐτὸν προφθάσας ἔφη, ἀλλὰ μήν, ἄνδρες ἰχθῦς, κατὰ τὸν Ἄρχιππον, παρελίπετε (δεῖ γὰρ καὶ ἡμᾶς μικρὰ προσοψωνῆσαι) τούς τε ὀρυκτοὺς ἰχθῦς καλουμένους, οἳ ἐν Ἡρακλείᾳ γίγνονται καὶ περὶ Τίον τοῦ Πόντου, τὴν Μιλησίων ἀποικίαν, ἱστοροῦντος περὶ αὐτῶν Θεοφράστου. ὁ δ᾽ αὐτὸς οὗτος φιλόσοφος καὶ περὶ τῶν πηγνυμένων διὰ χειμῶνος τῷ κρυστάλλῳ ἱστόρησεν, οἳ οὐ πρότερον αἰσθάνονται οὐδὲ κινοῦνται πρὶν ἂν εἰς τὰς λοπάδας ἐμβληθέντες ἕψωνται. ἴδιον δὲ παρὰ τούτους συμβαίνει τὸ περὶ d

τοὺς ἐν Παφλαγονίᾳ ὀρυκτοὺς καλουμένους ἰχθῦς γινόμενον. ὀρύττεσθαι γὰρ κατὰ βάθος πλέον ἐς τοὺς τόπους, οὔτε ποταμῶν ἐπιχύσεις ἔχοντας οὔθ' ἑτέρων ναμάτων, καὶ εὑρίσκεσθαι ἐν αὐτοῖς ἰχθῦς ζῶντας.

3. Μνασέας δ' ὁ Πατρεὺς ἐν τῷ Περίπλῳ τοὺς ἐν τῷ Κλείτορι ποταμῷ φησὶν ἰχθῦς φθέγγεσθαι, καίτοι μόνους εἰρηκότος Ἀριστοτέλους φθέγγεσθαι σκάρον καὶ τὸν ποτάμιον χοῖρον. Φιλοστέφανος δὲ
e ὁ Κυρηναῖος μὲν γένος Καλλιμάχου δὲ γνώριμος, ἐν τῷ περὶ τῶν παραδόξων ποταμῶν ἐν Ἀροανίῳ φησὶ τῷ ποταμῷ διὰ Φενεοῦ ῥέοντι ἰχθῦς εἶναι φθεγγομένους ὁμοίως κίχλαις· καλεῖσθαι δ' αὐτοὺς ποικιλίας. Νυμφόδωρος δ' ὁ Συρακόσιος ἐν τοῖς Περίπλοις ἐν τῷ Ἑλώρῳ ποταμῷ λάβρακας εἶναί φησι καὶ ἐγχέλεις μεγάλας οὕτω τιθασοὺς ὡς ἐκ τῶν χειρῶν δέχεσθαι τῶν προσφερόντων ἄρτους. ἐγὼ δὲ ἐν τῇ κατὰ Χαλκίδα Ἀρεθούσῃ τεθέαμαι, ἴσως δὲ καὶ ὑμῶν οἱ πλεῖστοι, κεστρεῖς χειροήθεις καὶ ἐγχέλεις ἐνώτια ἐχούσας ἀργυρᾶ καὶ χρυσᾶ, λαμβανούσας τε καὶ λαμ-
f βάνοντας παρὰ τῶν προσφερόντων τροφάς, τά τ' ἀπὸ τῶν ἱερείων σπλάγχνα καὶ τυροὺς χλωρούς. Σῆμος δ' ἐν ἕκτῳ Δηλιάδος 'Ἀθηναίοις (φησὶ) θυομένοις ἐν Δήλῳ τὴν χέρνιβα βάψας ὁ παῖς προσήνεγκε, κἂν τῇ φιάλῃ μετὰ τοῦ ὕδατος ἰχθῦς κατέχεεν. εἰπεῖν οὖν αὐτοῖς τοὺς τῶν Δηλίων μάντεις ὡς κυριεύσουσι τῆς θαλάσσης.'

332 4. Πολύβιος δ' ἐν τῇ τετάρτῃ καὶ τριακοστῇ τῶν ἱστοριῶν μετὰ τὴν Πυρήνην φησὶν ἕως τοῦ Νάρβωνος ποταμοῦ πεδίον εἶναι, δι' οὗ φέρεσθαι ποταμοὺς Ἰλλέβεριν καὶ Ῥόσκυνον, ῥέοντας παρὰ πόλεις ὁμωνύμους κατοικουμένας ὑπὸ Κελτῶν. ἐν οὖν τῷ πεδίῳ

τούτῳ εἶναι τοὺς λεγομένους ἰχθῦς ὀρυκτούς. εἶναί τε
τὸ πεδίον λεπτόγειον καὶ πολλὴν ἄγρωστιν ἔχον πε-
φυκυῖαν. ὑπὸ δὲ ταύτην διάμμου τῆς γῆς οὔσης ἐπὶ
δύο καὶ τρεῖς πήχεις ὑπορρεῖν τὸ πλαζόμενον ἀπὸ
τῶν ποταμῶν ὕδωρ· μεθ' οὗ ἰχθῦς κατὰ τὰς παρεκ- b
χύσεις ὑποτρέχοντες ὑπὸ τὴν γῆν χάριν τῆς τροφῆς
(φιληδοῦσι γὰρ τῇ τῆς ἀγρώστεως ῥίζῃ) πεποιήκασι
πᾶν τὸ πεδίον πλῆρες ἰχθύων ὑπογείων, οὓς ἀνορύτ-
τοντες λαμβάνουσιν. ἐν Ἰνδοῖς δέ φησι Θεόφραστος
τοὺς ἰχθῦς ἐκ τῶν ποταμῶν εἰς τὴν γῆν ἐξιόντας καὶ
πηδῶντας πάλιν εἰς τὸ ὕδωρ ἀπιέναι καθάπερ τοὺς
βατράχους, ὁμοίους ὄντας τὴν ἰδέαν τοῖς μαξινοῖς κα-
λουμένοις ἰχθύσιν.

5. οὐκ ἔλαθε δέ με οὐδὲ Κλέαρχος ὁ ἀπὸ τοῦ πε-
ριπάτου, ὃς εἴρηκε καὶ περὶ τοῦ ἐξωκοίτου καλουμέ- c
νου ἰχθύος ἐν τῷ ἐπιγραφομένῳ περὶ τῶν ἐνύδρων.
εἴρηκε γάρ, κρατεῖν δ' οἶμαι καὶ τῆς λέξεως οὕτως
ἐχούσης· ἐξώκοιτος ἰχθύς, ὃν ἔνιοι καλοῦσιν ἄδωνιν,
τοὔνομα μὲν εἴληφε διὰ τὸ πολλάκις τὰς ἀναπαύσεις
ἔξω τοῦ ὑγροῦ ποιεῖσθαι. ἔστι δὲ ὑπόπυρρος, καὶ
ἀπὸ τῶν βραγχίων ἑκατέρωθεν τοῦ σώματος μέχρι
τῆς κέρκου μίαν ἔχει διηνεκῆ λευκὴν ῥάβδον. ἔστι δὲ
στρογγύλος, ἀλλ' οὐ πλατὺς ὢν κατὰ τὸ μέγεθος
ἴσος ἐστὶ τοῖς παραιγιαλίταις κεστρινίσκοις· οὗτοι δ'
εἰσὶν ὀκταδάκτυλοι μάλιστα τὸ μῆκος. τὸ δὲ σύνολον d
ὁμοιότατός ἐστι τῷ καλουμένῳ τράγῳ ἰχθυδίῳ, πλὴν
τοῦ ὑπὸ τὸν στόμαχον μέλανος, ὃ καλοῦσι τοῦ τράγου
πώγωνα. ἔστι δὲ ὁ ἐξώκοιτος τῶν πετραίων καὶ βιο-
τεύει περὶ τοὺς πετρώδεις τόπους. καὶ ὅταν ᾖ γα-
λήνη, συνεξορούσας τῷ κύματι κεῖται ἐπὶ τῶν πετρι-
δίων πολὺν χρόνον ἀναπαυόμενος ἐν τῷ ξηρῷ, καὶ
μεταστρέφει μὲν ἑαυτὸν πρὸς τὸν ἥλιον· ὅταν δ' ἱκα-

νῶς αὐτῷ τὰ πρὸς τὴν ἀνάπαυσιν ἔχῃ, προσκυλινδεῖται τῷ ὑγρῷ, μέχρι οὗ ἂν πάλιν ὑπολαβὸν αὐτὸν τὸ
e κῦμα κατενέγκῃ μετὰ τῆς ἀναρροίας εἰς τὴν θάλασσαν. ὅταν δ' ἐγρηγορὼς ἐν τῷ ξηρῷ τύχῃ, φυλάττεται τῶν ὀρνίθων τοὺς παρευδιαστὰς καλουμένους, ὧν ἐστι κηρύλος τροχίλος καὶ ὁ τῇ κρεκὶ προσεμφερὴς ἐλώριος. οὗτοι γὰρ ἐν ταῖς εὐδίαις παρὰ τὸ ξηρὸν νεμόμενοι πολλάκις αὐτῷ περιπίπτουσιν. οὓς ὅταν προΐδηται, φεύγει πηδῶν καὶ ἀσπαίρων, ἕως ἂν εἰς τὸ ὕδωρ ἀποκυβήσῃ.'

6. ἔτι ὁ αὐτὸς Κλέαρχος καὶ ταῦτά φησι, σαφέστερον τοῦ Κυρηναίου Φιλοστεφάνου, οὗ πρότερον
f ἐμνήσθην· 'ἐπεί τινες τῶν ἰχθύων οὐκ ἔχοντες βρόγχον φθέγγονται. τοιοῦτοι δ' εἰσὶν οἱ περὶ Κλείτορα τῆς Ἀρκαδίας ἐν τῷ Λάδωνι καλουμένῳ ποταμῷ. φθέγγονται γὰρ καὶ πολὺν ἦχον ἀποτελοῦσι.' Νικόλαος δ' ὁ Δαμασκηνὸς ἐν τῇ τετάρτῃ πρὸς ταῖς ἑκατὸν τῶν ἱστοριῶν 'περὶ Ἀπάμειαν (φησὶ) τὴν φρυγιακὴν κατὰ τὰ μιθριδατικὰ σεισμῶν γενομένων ἀνεφάνησαν περὶ τὴν χώραν αὐτῶν λίμναι τε αἱ πρότερον οὐκ οὖσαι καὶ ποταμοὶ καὶ ἄλλαι πηγαὶ ὑπὸ τῆς κινήσεως ἀνοιχθεῖσαι, πολλαὶ δὲ καὶ ἠφανίσθησαν. τοσοῦτόν τε ἄλλο ἀνέβλυσεν αὐτῶν ἐν τῇ γῇ πικρόν τε καὶ γλαυκὸν ὕδωρ, πλεῖστον ὅσον ἀπεχούσης τῶν τόπων τῆς θαλάσσης, ὥστε ὀστρέων πλησθῆναι τὸν
333 πλησίον τόπον ἅπαντα καὶ ἰχθύων τῶν τε ἄλλων ὅσα τρέφει ἡ θάλασσα.' οἶδα δὲ καὶ πολλαχοῦ ὕσαντα τὸν θεὸν ἰχθύσι. Φανίας γοῦν ἐν δευτέρῳ πρυτανέων ἐρεσίων ἐν Χερρονήσῳ φησὶν ἐπὶ τρεῖς ἡμέρας ὗσαι τὸν θεὸν ἰχθύας. καὶ Φύλαρχος δ' ἐν τετάρτῃ ἑορακέναι τινὰς πολλαχοῦ τὸν θεὸν ὕσαντα ἰχθύσι, πολλάκις δὲ καὶ γυρίνοις, τοῦ αὐτοῦ συμβαίνοντος καὶ ἐπὶ

βατράχων. Ἡρακλείδης γοῦν ὁ Λέμβος ἐν τῇ εἰκοστῇ πρώτῃ τῶν ἱστοριῶν ‘περὶ τὴν Παιονίαν καὶ Δαρδανίαν βατράχους (φησὶν) ὗσεν ὁ θεός, καὶ τοσοῦτον αὐτῶν ἐγένετο τὸ πλῆθος ὡς τὰς οἰκίας καὶ τὰς ὁδοὺς πλήρεις εἶναι. τὰς μὲν οὖν πρώτας ἡμέρας κτείνοντες b τούτους καὶ συγκλείοντες τὰς οἰκίας διεκαρτέρουν· ὡς δ᾽ οὐδὲν ἤνυον, ἀλλὰ τά τε σκεύη ἐπληροῦτο καὶ μετὰ τῶν ἐδεσμάτων εὑρίσκοντο συνεψόμενοι καὶ συνοπτώμενοι οἱ βάτραχοι, καὶ πρὸς τούτοις οὔτε τοῖς ὕδασιν ἦν χρῆσθαι οὔτε τοὺς πόδας ἐπὶ τὴν γῆν θεῖναι συσσεσωρευμένων αὐτῶν, ἐνοχλούμενοι δὲ καὶ ὑπὸ τῆς τῶν τετελευτηκότων ὀσμῆς ἔφυγον τὴν χώραν.’

7. οἶδα δὲ καὶ Ποσειδώνιον τὸν ἀπὸ τῆς στοᾶς εἰπόντα περὶ πλήθους ἰχθύων τάδε ‘ὅτε Τρύφων ὁ Ἀπαμεὺς ὁ τὴν τῶν Σύρων βασιλείαν ἁρπάσας ἐπο- c λεμεῖτο ὑπὸ Σαρπηδόνος τοῦ Δημητρίου στρατηγοῦ περὶ Πτολεμαΐδα πόλιν, καὶ ὡς ὁ Σαρπηδὼν λειφθεὶς ἀνεχώρησεν εἰς τὴν μεσόγαιαν μετὰ τῶν ἰδίων στρατιωτῶν, οἱ δὲ τοῦ Τρύφωνος ὥδευον κατὰ τὸ πλησίαλον νικήσαντες τὴν μάχην, ἐξαίφνης πελάγιον κῦμα ἐξαρθὲν μετέωρον εἰς ὕψος ἐξαίσιον ἐπῆλθε τῇ γῇ καὶ πάντας αὐτοὺς ἐπέκλυσε διέφθειρέ τε ὑποβρυχίους, ἰχθύων τε πολὺν σωρὸν ἀναχωροῦν τὸ κῦμα μετὰ τῶν νεκρῶν κατέλιπε. καὶ οἱ περὶ τὸν Σαρπηδόνα d ἀκούσαντες τὴν συμφορὰν ἐπελθόντες τοῖς μὲν τῶν πολεμίων σώμασιν ἐφήσθησαν, ἰχθύων δὲ ἀφθονίαν ἀπηνέγκαντο, καὶ ἔθυσαν Ποσειδῶνι τροπαίῳ πρὸς τοῖς προαστείοις τῆς πόλεως.’

8. οὐ κατασιωπήσομαι δὲ οὐδὲ τοὺς ἐν Λυκίᾳ ἰχθυομάντεις ἄνδρας, περὶ ὧν ἱστορεῖ Πολύχαρμος ἐν δευτέρῳ Λυκιακῶν γράφων οὕτως ‘ὅταν γὰρ δὴ ἔλθωσι πρὸς τὴν θάλασσαν, οὗ τὸ ἄλσος ἐστὶ πρὸς τῷ

αἰγιαλῷ τοῦ Ἀπόλλωνος, ἐν ᾧ ἐστιν ἡ δῖνα ἐπὶ τῆς ἀμάθου, παραγίνονται ἔχοντες οἱ μαντευόμενοι ὀβε-
e λίσκους δύο ξυλίνους, ἔχοντας ἐφ' ἑκατέρῳ σάρκας ὀπτὰς ἀριθμῷ δέκα. καὶ ὁ μὲν ἱερεὺς κάθηται πρὸς τῷ ἄλσει σιωπῇ, ὁ δὲ μαντευόμενος ἐμβάλλει τοὺς ὀβελίσκους εἰς τὴν δῖναν καὶ ἀποθεωρεῖ τὸ γινόμενον. μετὰ δὲ τὴν ἐμβολὴν τῶν ὀβελίσκων πληροῦται θαλάσσης ἡ δῖνα καὶ παραγίνεται ἰχθύων πλῆθος τοσοῦτον καὶ τοιοῦτον ὥστ' ἐκπλήττεσθαι τὸ ἀόρατον τοῦ πράγματος, τῷ δὲ μεγέθει ὥστε καὶ εὐλαβηθῆναι. ὅταν δὲ ἀπαγγείλῃ τὰ εἴδη τῶν ἰχθύων ὁ προ-
f φήτης, οὕτως τὸν χρησμὸν λαμβάνει παρὰ τοῦ ἱερέως ὁ μαντευόμενος περὶ ὧν ηὔξατο. φαίνονται δὲ ὀρφοί, γλαῦκοι, ἐνίοτε δὲ φάλαιναι ἢ πρίστεις, πολλοὶ δὲ καὶ ἀνόρατοι ἰχθῦς καὶ ξένοι τῇ ὄψει.' Ἀρτεμίδωρος δ' ἐν τῷ δεκάτῳ τῶν γεωγραφουμένων λέγεσθαί φησιν ὑπὸ τῶν ἐπιχωρίων πηγὴν ἀναδίδοσθαι γλυκέος ὕδατος, ὅθεν συμβαίνειν δίνας γίνεσθαι· γίνεσθαι δὲ καὶ ἰχθύας ἐν τῷ δινάζοντι τόπῳ μεγάλους. τούτοις δὲ οἱ θυσιάζοντες ἐμβάλλουσιν ἀπαρχὰς τῶν θυσιαζομένων ἐπὶ ξυλίνων ὀβελίσκων ἀναπείροντες
334 κρέα ἑφθὰ καὶ ὀπτὰ καὶ μάζας καὶ ἄρτους. ὀνομάζεται δὲ ὁ λιμὴν καὶ ὁ τόπος οὗτος Δῖνος.'

9. οἶδα δὲ καὶ Φύλαρχον εἰρηκότα που περὶ μεγάλων ἰχθύων καὶ τῶν συμπεμφθέντων αὐτοῖς σύκων χλωρῶν, ὅτι αἰνιττόμενος Πάτροκλος ὁ Πτολεμαίου στρατηγὸς Ἀντιγόνῳ τῷ βασιλεῖ ἔπεμπεν, ὡς Δαρείῳ Σκύθαι ἐπερχομένῳ αὐτῶν τῇ χώρᾳ. ἔπεμψαν γὰρ οὗτοι μέν, ὥς φησιν Ἡρόδοτος, ὄρνιν καὶ οἰστὸν καὶ βάτραχον· ἀλλ' ὅ γε Πάτροκλος, ὡς διὰ τῆς τρίτης τῶν ἱστοριῶν φησὶν ὁ Φύλαρχος, πεμφθέντων τῶν προειρημένων σύκων καὶ ἰχθύων. ἐτύγ-

χανε δὲ κωθωνιζόμενος ὁ βασιλεύς, καὶ ὡς πάντες b διηποροῦντο ἐπὶ τοῖς δώροις, ὁ Ἀντίγονος γελάσας πρὸς τοὺς φίλους ἔφη γινώσκειν τί βούλεται τὰ ξένια· ἢ γὰρ θαλαττοκρατεῖν ἡμᾶς φησὶ Πάτροκλος ἢ τῶν σύκων τρώγειν.

10. οὐ λανθάνει δέ με καὶ ὅτι κοινῶς πάντες οἱ ἰχθύες καμασῆνες ὑπὸ Ἐμπεδοκλέους ἐλέχθησαν τοῦ φυσικοῦ οὕτως

πῶς καὶ δένδρεα μακρὰ καὶ εἰνάλιοι καμασῆνες.

καὶ ὅτι ὁ τὰ Κύπρια ποιήσας ἔπη, εἴτε Κυπριός τίς ἐστιν ἢ Στασῖνος, ἢ ὅστις δή ποτε χαίρει ὀνομαζόμε- c νος, τὴν Νέμεσιν ποιεῖ διωκομένην ὑπὸ Διὸς καὶ εἰς ἰχθὺν μεταμορφουμένην διὰ τούτων

τοὺς δὲ μετὰ τριτάτην Ἑλένην τέκε, θαῦμα βροτοῖσιν·
τήν ποτε καλλίκομος Νέμεσις φιλότητι μιγεῖσα
Ζηνὶ θεῶν βασιλῆι τέκε κρατερῆς ὑπ᾽ ἀνάγκης.
φεῦγε γὰρ οὐδ᾽ ἔθελεν μιχθήμεναι ἐν φιλότητι
πατρὶ Διὶ Κρονίωνι· ἐτείρετο γὰρ φρένας αἰδοῖ. d
καὶ Νέμεσις κατὰ γῆν τε καὶ ἀτρύγετον μέλαν ὕδωρ
φεῦγε, Ζεὺς δ᾽ ἐδίωκε· λαβεῖν δ᾽ ἐλιλαίετο θυμῷ·
ἄλλοτε μὲν κατὰ κῦμα πολυφλοίσβοιο θαλάσσης
ἰχθύϊ εἰδομένη πόντον πολὺν ἐξορόθυνεν,
ἄλλοτ᾽ ἀν᾽ ὠκεανὸν ποταμὸν καὶ πείρατα γαίης,
ἄλλοτ᾽ ἀν᾽ ἤπειρον πολυβώλακα. γίγνετο δ᾽ αἰεὶ
θηρί᾽ ὅσ᾽ ἤπειρος αἰνὰ τρέφει, ὄφρα φύγοι νιν.

11. οἶδα δὲ καὶ τὰ περὶ τὴν ἀπόπυριν καλουμέ- e νην περὶ τὴν Βόλβην λίμνην, περὶ ἧς Ἡγήσανδρος ἐν τοῖς ὑπομνήμασί φησιν οὕτως ʽ περὶ Ἀπολλωνίαν

τὴν Χαλκιδικὴν δύο ποταμοὶ ῥέουσιν, Ἀμμίτης καὶ Ὀλυνθιακός. ἐμβάλλουσι δὲ ἀμφότεροι εἰς τὴν Βόλβην λίμνην. ἐπὶ δὲ τοῦ Ὀλυνθιακοῦ μνημεῖόν ἐστιν Ὀλύνθου τοῦ Ἡρακλέους καὶ Βόλβης υἱοῦ. κατὰ δὲ τὸν ἀνθεστηριῶνα καὶ ἐλαφηβολιῶνα λέγουσιν οἱ ἐπιχώριοι διότι πέμπει ἡ Βόλβη τὴν ἀπόπυριν Ὀλύνθῳ, καὶ κατὰ τὸν καιρὸν τοῦτον ἀπέραντον πλῆθος
f ἰχθύων ἐκ τῆς λίμνης εἰς τὸν Ὀλυνθιακὸν ἀναβαίνειν ποταμόν. ἔστι δὲ βραχὺς ὥστε μόλις κρύπτειν τὸ σφυρόν· ἀλλ' οὐδὲν ἧττον τοσοῦτον ἔρχεται πλῆθος ἰχθύων ὥστε τοὺς περιοίκους ἅπαντας ἱκανὸν εἰς τὴν ἑαυτῶν χρείαν συντιθέναι τάριχος. θαυμαστὸν δέ ἐστι τὸ μὴ παραλλάττειν τὸ τοῦ Ὀλύνθου μνημεῖον. πρότερον μὲν οὖν φασι τοὺς κατὰ τὴν Ἀπολλωνίαν ἐλαφηβολιῶνος τὰ νόμιμα συντελεῖν τοῖς τελευτήσασι, νῦν δὲ ἀνθεστηριῶνος. διὰ ταύτην οὖν τὴν αἰτίαν μόνοις τούτοις τοῖς μησὶ τοὺς ἰχθῦς τὴν ἀνάβασιν ποιεῖσθαι, ἐν οἷς τοὺς τετελευτηκότας εἰώθασι τιμᾶν.'

12. Καὶ ταῦτα μὲν ταύτῃ, ἄνδρες ἰχθύες. ὑμεῖς
335 γὰρ πάντα συναθροίσαντες βορὰν ἡμᾶς τοῖς ἰχθύσι παραβεβλήκατε, καὶ οὐκ ἐκείνους ἡμῖν, τοσαῦτα εἰπόντες ἃ οὐδὲ Ἰχθύας ὁ μεγαρικὸς φιλόσοφος, οὐδ' Ἰχθύων, ὄνομα δὲ καὶ τοῦτο κύριον, οὗ μνημονεύει Τηλεκλείδης ἐν Ἀμφικτύοσι. δι' ὑμᾶς δὲ καὶ τῷ παιδὶ παρακελεύσομαι κατὰ τοὺς Φερεκράτους Μυρμηκανθρώπους

μηδέ ποτ' ἰχθύν, ὦ Δευκαλίων, μηδ' ἢν αἰτῶ,
παραθῇς μοι.

καὶ γὰρ ἐν Δήλῳ φησὶ Σῆμος ὁ Δήλιος ἐν δευτέρῳ Δηλιάδος, ὅταν θύωσι τῇ Βριζοῖ· αὕτη δέ ἐστιν ἡ ἐν

ὕπνῳ μάντις· βρίζειν δὲ οἱ ἀρχαῖοι λέγουσι τὸ καθεύδειν·

ἔνθα δ' ἀποβρίξαντες ἐμείναμεν ἠῶ δῖαν. b

ταύτῃ οὖν ὅταν θύωσιν αἱ Δηλιάδες, προσφέρουσιν αὐτῇ σκάφας πάντων πλήρεις ἀγαθῶν, πλὴν ἰχθύων, διὰ τὸ εὔχεσθαι ταύτῃ περί τε πάντων καὶ ὑπὲρ τῆς τῶν πλοίων σωτηρίας.

13. Χρύσιππον δ', ἄνδρες φίλοι, τὸν τῆς στοᾶς ἡγεμόνα κατὰ πολλὰ θαυμάζων ἔτι μᾶλλον ἐπαινῶ, τὸν πολυθρύλητον ἐπὶ τῇ ὀψολογίᾳ Ἀρχέστρατον ἀεί ποτε μετὰ Φιλαινίδος κατατάττοντα, εἰς ἣν ἀναφέρεται τὸ περὶ ἀφροδισίων ἀκόλαστον σύγγραμμα, ὅπερ φησὶ ποιῆσαι Αἰσχρίων ὁ Σάμιος ἰαμβοποιὸς Πολυκράτη τὸν σοφιστὴν ἐπὶ διαβολῇ τῆς ἀνθρώπου σω- c φρονεστάτης γενομένης. ἔχει δὲ οὕτως τὰ ἰαμβεῖα

ἐγὼ Φιλαινίς, ἡ 'πίβωτος ἀνθρώποις,
ἐνταῦθα γήρᾳ τῷ μακρῷ κεκοίμημαι.
μή μ', ὦ μάταιε ναῦτα, τὴν ἄκραν κάμπτων
χλεύην τε ποιεῦ καὶ γέλωτα καὶ λάσθην.
οὐ γὰρ μὰ τὸν Ζεῦν, οὐ μὰ τοὺς κάτω κούρους,
οὐκ ἦν ἐς ἄνδρας μάχλος οὐδὲ δημώδης·
Πολυκράτης δὲ τὴν γονὴν Ἀθηναῖος, d
λόγων τι παιπάλημα καὶ κακὴ γλῶσσα,
ἔγραψεν ἅσσ' ἔγραψ'· ἐγὼ γὰρ οὐκ οἶδα.

ἀλλ' οὖν γε ὁ θαυμασιώτατος Χρύσιππος ἐν τῷ πέμπτῳ περὶ τοῦ καλοῦ καὶ τῆς ἡδονῆς φησί 'καὶ βιβλία τά τε Φιλαινίδος καὶ τὴν τοῦ Ἀρχεστράτου Γαστρονομίαν, καὶ δυνάμεις ἐρωτικὰς καὶ συνουσιαστικάς, ὁμοίως δὲ καὶ τὰς θεραπαίνας ἐμπείρους τοιῶνδε κινήσεών τε καὶ σχημάτων καὶ περὶ τὴν τούτων μελέτην γινομένας.' καὶ πάλιν 'ἐκμανθάνειν τ' αὐτοὺς e τὰ τοιαῦτα καὶ κτᾶσθαι τὰ περὶ τούτων γεγραμμένα

Φιλαινίδι καὶ Ἀρχεστράτῳ καὶ τοῖς τὰ ὅμοια γράψασι.' κἀν τῷ ἑβδόμῳ δέ φησι 'καθάπερ γὰρ οὐκ ἐκμανθάνειν τὰ Φιλαινίδος καὶ τὴν Ἀρχεστράτου Γαστρονομίαν ἔστιν ὡς φέροντά τι πρὸς τὸ ζῆν ἄμεινον.'

14. ὑμεῖς δὲ πολλάκις τοῦ Ἀρχεστράτου τούτου μνημονεύσαντες ἀκολασίας ἐπληρώσατε τὸ συμπόσιον. τί γὰρ τῶν ἐπιτρῖψαι δυναμένων παρέλιπεν ὁ καλὸς οὗτος ἐποποιὸς καὶ μόνος ζηλώσας τὸν Σαρδαναπάλλου τοῦ Ἀνακυνδαράξεω βίον, ὃν ἀδιανοητότερον εἶναι κατὰ τὴν προσηγορίαν τοῦ πατρὸς Ἀριστοτέλης ἔφη. ἐφ' οὗ τοῦ τάφου ἐπιγεγράφθαι φησὶ Χρύσιππος τάδε

336 εὖ εἰδὼς ὅτι θνητὸς ἔφυς σὸν θυμὸν ἄεξε,
τερπόμενος θαλίῃσι· θανόντι τοι οὔτις ὄνησις.
καὶ γὰρ ἐγὼ σποδός εἰμι Νίνου μεγάλης βασιλεύσας.
κεῖν' ἔχω ὅσσ' ἔφαγον καὶ ἐφύβρισα καὶ σὺν ἔρωτι
τέρπν' ἔπαθον· τὰ δὲ πολλὰ καὶ ὄλβια πάντα λέλυνται.
ἥδε σοφὴ βιότοιο παραίνεσις, οὐδέ ποτ' αὐτῆς
b λήσεαι. ἐκτήσθω δ' ὁ θέλων τὸν ἀπείρονα χρυσόν.

καὶ ἐπὶ τῶν Φαιάκων δὲ ὁ ποιητὴς ἔφη

αἰεὶ δ' ἡμῖν δαίς τε φίλη κίθαρίς τε χοροί τε,
εἵματά τ' ἐξημοιβά, λόετρά τε θερμὰ καὶ εὐναί.

καὶ ἄλλος δέ τίς φησι τῷ Σαρδαναπάλλῳ παραπλήσιος ὑποτιθέμενος καὶ οὗτος τοῖς μὴ σωφρονοῦσι τοιάδε

πᾶσιν δὲ θνητοῖς βούλομαι παραινέσαι
τοὐφήμερον ζῆν ἡδέως· ὁ γὰρ θανὼν
τὸ μηδέν ἐστι καὶ σκιὰ κατὰ χθονός.
c μικροῦ δὲ βιότου ζῶντ' ἐπαυρέσθαι χρεών.

καὶ Ἄμφις δὲ ὁ κωμῳδιοποιὸς ἐν Ἰαλέμῳ φησίν

ὅστις δὲ θνητὸς γενόμενος μὴ τῷ βίῳ
ζητεῖ τι τερπνὸν προσφέρειν, τὰ δ' ἄλλ' ἐᾷ,
μάταιός ἐστιν ἔν γ' ἐμοὶ καὶ τοῖς σοφοῖς
κριταῖς ἅπασιν ἐκ θεῶν τε δυστυχής.

καὶ ἐν τῇ ἐπιγραφομένῃ δὲ Γυναικοκρατίᾳ τὰ ὅμοια λέγει

πῖνε παῖζε· θνητὸς ὁ βίος, ὀλίγος οὑπὶ γῇ χρόνος·
ὁ θάνατος δ' ἀθάνατός ἐστιν, ἂν ἅπαξ τις ἀποθάνῃ.

καὶ Βακχίδας δέ τις τὸν αὐτὸν Σαρδαναπάλλῳ ζήσας d
βίον ἀποθανὼν ἐπὶ τοῦ τάφου ἐπιγεγραμμένον ἔχει

πιὲν φαγὲν καὶ πάντα τᾷ ψυχᾷ δόμεν.
κἀγὼ γὰρ ἕστακ' ἀντὶ Βακχίδα λίθος.

15. Ἄλεξις δ' ἐν Ἀσωτοδιδασκάλῳ, φησὶ Σωτίων ὁ Ἀλεξανδρεὺς ἐν τοῖς περὶ τῶν Τίμωνος σίλλων· ἐγὼ γὰρ οὐκ ἀπήντησα τῷ δράματι· πλείονα [γὰρ] τῆς μέσης καλουμένης κωμῳδίας ἀναγνοὺς δράματα τῶν ὀκτακοσίων καὶ τούτων ἐκλογὰς ποιησάμενος οὐ περιέτυχον τῷ Ἀσωτοδιδασκάλῳ, ἀλλ' οὐδ' ἀναγραφῆς ἀξιωθέντι σύνοιδα. οὔτε γὰρ Καλλίμαχος οὔτε Ἀριστο- e
φάνης αὐτὸ ἀνέγραψαν, ἀλλ' οὐδ' οἱ τὰς ἐν Περγάμῳ ἀναγραφὰς ποιησάμενοι. ὁ δὲ Σωτίων φησὶν ἐν τῷ δράματι Ξανθίαν τινὰ οἰκέτην πεποιῆσθαι προτρεπόμενον ἐπὶ ἡδυπάθειαν ὁμοδούλους ἑαυτοῦ καὶ λέγοντα

τί ταῦτα ληρεῖς φληναφῶν ἄνω κάτω
Λύκειον, Ἀκαδήμειαν, Ὠιδείου πύλας,
λήρους σοφιστῶν; οὐδὲ ἓν τούτων καλόν.
πίνωμεν, ἐμπίνωμεν, ὦ Σίκων, [Σίκων,]
χαίρωμεν, ἕως ἔνεστι τὴν ψυχὴν τρέφειν. f
τύρβαζε, Μανῆ. γαστρὸς οὐδὲν ἥδιον.

αὔτη πατήρ σοι καὶ πάλιν μήτηρ μόνη.
ἀρεταὶ δὲ πρεσβεῖαί τε καὶ στρατηγίαι
κόμποι κενοὶ ψοφοῦσιν ἀντ' ὀνειράτων.
ψύξει σ' ὁ δαίμων τῷ πεπρωμένῳ χρόνῳ·
ἕξεις δ' ὅσ' ἂν φάγῃς τε καὶ πίῃς μόνα'
σποδὸς δὲ τἆλλα, Περικλέης Κόδρος Κίμων.

16. κρεῖττον δ' ἂν εἶχε, φησὶν ὁ Χρύσιππος, εἰ μετελήφθη τὰ ἐπὶ τοῦ Σαρδαναπάλλου οὕτως·

337 εὖ εἰδὼς ὅτι θνητὸς ἔφυς σὸν θυμὸν ἄεξε,
τερπόμενος μύθοισι· φαγόντι τοι οὔτις ὄνησις.
καὶ γὰρ ἐγὼ κακός εἰμι φαγὼν ὡς πλεῖστα καὶ ἡσθείς.
ταῦτ' ἔχω ὅσσ' ἔμαθον καὶ ἐφρόντισα καὶ μετὰ τούτων
ἔσθλ' ἔπαθον· τὰ δὲ λοιπὰ καὶ ἡδέα πάντα λέλειπται.

παγκάλως δὲ καὶ ὁ Τίμων ἔφη

πάντων μὲν πρώτιστα κακῶν ἐπιθυμίη ἐστίν.

17. Κλέαρχος δὲ ἐν τοῖς περὶ παροιμιῶν καὶ διb δάσκαλον τὸν Ἀρχεστράτου γενέσθαι φησὶ Τερψίωνα, ὃν καὶ πρῶτον Γαστρολογίαν γράψαντα διακελεύεσθαι τοῖς μαθηταῖς τίνων ἀφεκτέον. ἀπεσχεδιακέναι τε τὸν Τερψίωνα καὶ περὶ τῆς χελώνης τάδε

ἢ χρὴ χελώνης ἢ φαγεῖν ἢ μὴ φαγεῖν.

ἄλλοι δ' οὕτως λέγουσιν

ἢ δεῖ χελώνης κρέα φαγεῖν ἢ μὴ φαγεῖν.

18. πόθεν δ' ὑμῖν, ὦ σοφώτατοι, ἐπῆλθε καὶ ὁ ὀψολόγος Δωρίων ὡς καὶ συγγραφεύς τις γενόμενος; ὃν ἐγὼ κρουματοποιὸν οἶδα ὀνομαζόμενον καὶ c φίλιχθυν, συγγραφέα δὲ οὔ. ὡς μὲν οὖν κρουματοποιοῦ μνημονεύει Μάχων ὁ κωμῳδιοποιὸς οὕτως

ὁ κρουματοποιὸς Δωρίων ποτ' εἰς Μύλων

ἐλθὼν κατάλυσιν οὐδαμοῦ μισθωσίμην
δυνάμενος εὑρεῖν, ἐν τεμένει καθίσας τινί,
ὃ πρὸ τῶν πυλῶν ἦν κατὰ τύχην ἱδρυμένον,
ἰδών τ' ἐκεῖ θύοντα τὸν νεωκόρον
'πρὸς τῆς Ἀθηνᾶς καὶ θεῶν τίνος φράσον
ἔστιν ὁ νεὼς βέλτιστε (φησὶν) οὑτοσί;'
ὃ δ' εἶπεν αὐτῷ 'Ζηνοποσειδῶνος, ξένε.'
ὁ Δωρίων δέ 'πῶς ἂν οὖν ἐνταῦθ' (ἔφη) d
δύναιτο καταγωγεῖον ἐξευρεῖν τις οὗ
καὶ τοὺς θεοὺς φάσκουσιν οἰκεῖν σύνδυο;'

Λυγκεὺς δ' ὁ Σάμιος, ὁ Θεοφράστου μὲν μαθητὴς Δούριδος δὲ ἀδελφὸς τοῦ τὰς ἱστορίας γράψαντος καὶ τυραννήσαντος τῆς πατρίδος, ἐν τοῖς ἀποφθέγμασι 'Δωρίωνι τῷ αὐλητῇ φάσκοντός τινος ἀγαθὸν ἰχθὺν εἶναι βατίδα, ὥσπερ ἂν εἴ τις, ἔφη, ἑφθὸν τρίβωνα ἐσθίοι. ἐπαινοῦντος δ' ἄλλου τὰ τῶν θύννων ὑπογάστρια, καὶ μάλα, ἔφη· δεῖ μέντοι γε ἐσθίειν αὐτὰ e ὥσπερ ἐγὼ ἐσθίω. εἰπόντος δὲ πῶς; ἡδέως, ἔφη. τοὺς δὲ καράβους ἔφη τρία ἔχειν, διατριβὴν καὶ εὐωχίαν καὶ θεωρίαν. ἐν Κύπρῳ δὲ παρὰ Νικοκρέοντι δειπνῶν ἐπῄνεσε ποτήριόν τι. καὶ ὁ Νικοκρέων ἔφη, ἐὰν βούλῃ ὁ αὐτὸς τεχνίτης ποιήσει σοι ἕτερον. σοί γε, ἔφη, ἐμοὶ δὲ τοῦτο δός· οὐκ ἀνοήτως γε τοῦτο φήσας ὁ αὐλητής. λόγος γὰρ παλαιὸς ὡς ὅτι

ἀνδρὶ μὲν αὐλητῆρι θεοὶ νόον οὐκ ἐνέφυσαν,
ἀλλ' ἅμα τῷ φυσῆν χὠ νόος ἐκπέταται.' f

19. Ἡγήσανδρος δ' ἐν τοῖς ὑπομνήμασι τάδε φησὶ περὶ αὐτοῦ 'Δωρίων ὁ ὀψοφάγος, τοῦ παιδὸς οὐκ ἀγοράσαντος ἰχθῦς, μαστιγῶν αὐτὸν ἐκέλευε τῶν ἀρίστων ἰχθύων ὀνόματα λέγειν. τοῦ δὲ παιδὸς ὀρφὸν καὶ γλαυκίσκον καὶ γόγγρον καὶ τοιούτους ἑτέρους 338 καταριθμοῦντος, ἰχθύων σε, φησίν, ἐκέλευον ὀνό-

ματα λέγειν, οὐ θεῶν.' ὁ αὐτὸς Δωρίων καταγελῶν τοῦ ἐν τῷ Τιμοθέου Ναυπλίῳ χειμῶνος ἔφασκεν ἐν κακκάβᾳ ζεούσᾳ μείζονα ἑορακέναι χειμῶνα. Ἀριστόδημος δὲ ἐν δευτέρῳ γελοίων ἀπομνημονευμάτων φησί ‛Δωρίωνος τοῦ κρουματοποιοῦ κυλλόποδος ὄντος ἀπώλετο ἐν συμποσίῳ τοῦ χωλοῦ ποδὸς τὸ βλαυτίον. καὶ ὅς, οὐδέν, ἔφη, πλεῖον καταράσομαι τῷ
b κλέψαντι ἢ ἁρμόσαι αὐτῷ τὸ σανδάλιον.' ὅτι δ' ἦν ὁ Δωρίων οὗτος ἐπὶ ὀψοφαγίᾳ διαβόητος φανερὸν ἐξ ὧν λέγει Μνησίμαχος ὁ κωμῳδιοποιὸς ἐν Φιλίππῳ δράματι

οὐκ ἀλλὰ καὶ τῆς νυκτὸς ἔσται Δωρίων
ἔνδον παρ' ἡμῖν λοπαδοφυσητής.

20. οἶδα δὲ καὶ ἃ ὁ Ἑρμιονεὺς Λᾶσος ἔπαιξε περὶ ἰχθύων, ἅπερ Χαμαιλέων ἀνέγραψεν ὁ Ἡρακλεώτης ἐν τῷ περὶ αὐτοῦ τοῦ Λάσου συγγράμματι λέγων ὧδε ‛τὸν Λᾶσόν φασι τὸν ὠμὸν ἰχθὺν ὀπτὸν εἶναι φάσκειν· θαυμαζόντων δὲ πολλῶν ἐπιχειρεῖν λέγειν ὡς ὃ ἔστιν ἀκοῦσαι, τοῦτο ἔστιν ἀκουστόν, καὶ
c ὃ ἔστι νοῆσαι, τοῦτό ἐστι νοητόν· ὡσαύτως οὖν καὶ ὃ ἔστιν ἰδεῖν, τοῦτο εἶναι ὀπτόν· ὥστ' ἐπειδὴ τὸν ἰχθὺν ἦν ἰδεῖν, ὀπτὸν αὐτὸν εἶναι. καὶ παίζων δέ ποτε ἰχθὺν παρά τινων ἁλιέων ὑφείλετο καὶ λαβὼν ἔδωκέ τινι τῶν παρεστώτων. ὁρκίζοντος δὲ ὤμοσε μήτ' αὐτὸς ἔχειν τὸν ἰχθὺν μήτ' ἄλλῳ συνειδέναι λαβόντι, διὰ τὸ λαβεῖν μὲν αὐτὸς ἔχειν δὲ ἕτερον, ὃν ἐδίδαξεν ἀπομόσαι πάλιν ὅτι οὔτ' αὐτὸς ἔλαβεν οὔτ' ἄλλον ἔχοντ' οἶδεν· εἰλήφει μὲν γὰρ ὁ Λᾶσος, εἶχε δὲ
d αὐτός. τοιαῦτα δὲ καὶ Ἐπίχαρμος παίζει, ὥσπερ ἐν Λόγῳ καὶ Λογίννᾳ

ὁ Ζεύς μ' ἐκάλεσε Πέλοπι ϝέρανον ἑστιῶν.
B. ἦ παμπόνηρον ὄψον, ὦ τᾶν, ὁ γέρανος.

*Α.* ἀλλ' οὔτι γέρανον, ἀλλὰ Ϝέρανόν τοι λέγω.

21. Ἄλεξις δ' ἐν Δημητρίῳ Φάυλλόν τινα κωμῳδεῖ ὡς φίλιχθυν ἐν τούτοις

πρότερον μὲν εἰ πνεύσειε βορρᾶς ἢ νότος
ἐν τῇ θαλάττῃ λαμπρός, ἰχθῦς οὐκ ἐνῆν
οὐδενὶ φαγεῖν· νυνὶ δὲ πρὸς τοῖς πνεύμασιν
τούτοις Φάυλλος προσγέγονε χειμὼν τρίτος. e
ἐπὰν γὰρ ἐκνεφίας καταιγίσας τύχῃ
εἰς τὴν ἀγοράν, τοὖψον πριάμενος οἴχεται
φέρων ἅπαν τὸ ληφθέν· ὥστε γίγνεται
ἐν τοῖς λαχάνοις τὸ λοιπὸν ἡμῖν ἡ μάχη.

Ἀντιφάνης δ' ἐν Ἁλιευομένῃ φιληδοῦντάς τινας καταλέγων ἰχθύσι φησί

τὰς σηπίας δὸς πρῶτον. Ἡράκλεις ἄναξ,
ἅπαντα τεθολώκασιν. οὐ βαλεῖς πάλιν
εἰς τὴν θάλατταν καὶ πλυνεῖς; μὴ φῶσί σε,
Δωριάς, ἀλούτους σηπίας εἰληφέναι.
τὸν κάραβον δὲ τόνδε πρὸς τὰς μαινίδας f
ἀπόδος. παχύς γε νὴ Δί'. ὦ Ζεῦ, τίς ποτε,
ὦ Καλλιμέδων, σὲ κατέδεται; τίς τῶν φίλων;
οὐδεὶς ὃς ἂν μὴ κατατιθῇ τὰς συμβολάς.
ὑμᾶς δ' ἔταξα δεῦρο πρὸς τὰ δεξιά,
τρίγλας, ἔδεσμα τοῦ καλοῦ Καλλισθένους·
κατεσθίει γοῦν ἐπὶ μιᾷ τὴν οὐσίαν.
καὶ τὸν Σινώπης γόγγρον ἤδη παχυτέρας
ἔχοντ' ἀκάνθας τουτονὶ τίς λήψεται 339
πρῶτος προσελθών; Μισγόλας γὰρ οὐ πάνυ
τούτων ἐδεστής. ἀλλὰ κίθαρος οὑτοσί,
ὃν ἂν ἴδῃ, τὰς χεῖρας οὐκ ἀφέξεται.
καὶ μὴν ἀληθῶς τοῖς κιθαρῳδοῖς ὡς σφόδρα
ἅπασιν οὗτος ἐπιπεφυκὼς λανθάνει.
ἀνδρῶν τ' ἄριστον κωβιὸν πηδῶντ' ἔτι

πρὸς Πυθιονίκην τὴν καλὴν πέμψαι με δεῖ·
b ἁδρὸς γάρ ἐστιν. ἀλλ' ὅμως οὐ γεύσεται,
ἐπὶ τὸ τάριχός ἐστιν ὡρμηκυῖα γάρ.
ἀφύας δὲ λεπτὰς τάσδε καὶ τὴν τρυγόνα
χωρὶς Θεανοῖ δεῦρ' ἔθηκ' ἀντιρρόπους.

22. πιθανώτατ' ἐπὶ τούτοις ὁ Ἀντιφάνης καὶ τὸν Μισγόλαν κεκωμῴδηκεν ὡς ἐσπουδακότα περὶ κιθαρῳδοὺς καὶ κιθαριστὰς ὡραίους. φησὶ γὰρ ὁ ῥήτωρ Αἰσχίνης ἐν τῷ κατὰ Τιμάρχου λόγῳ περὶ αὐτοῦ τάδε 'Μισγόλας ἐστὶ Ναυκράτους, ἄνδρες Ἀθηναῖοι, Κολλυτεύς, ἀνὴρ τὰ μὲν ἄλλα καλὸς κἀγαθός, καὶ οὐδαμῇ c ἄν τις αὐτὸν μέμψαιτο· περὶ δὲ τὸ πρᾶγμα τοῦτο δαιμονίως ἐσπουδακὼς καὶ ἀεί τινας εἰωθὼς ἔχειν περὶ αὐτὸν κιθαρῳδοὺς ἢ κιθαριστάς. ταυτὶ δὲ λέγω οὐ τοῦ φορτικοῦ ἕνεκα, ἀλλ' ἵνα γνωρίσητε αὐτὸν ὅστις ἐστίν.' καὶ Τιμοκλῆς δ' ἐν Σαπφοῖ φησίν

ὁ Μισγόλας οὐ προσιέναι σοι φαίνεται,
ἀνθοῦσι τοῖς νέοισιν ἠρεθισμένος.

Ἄλεξις δ' ἐν Ἀγωνίδι ἢ Ἱππίσκῳ

ὦ μῆτερ, ἱκετεύω σε, μὴ 'πίσειέ μοι
τὸν Μισγόλαν· οὐ γὰρ κιθαρῳδός εἰμ' ἐγώ.

d 23. Πυθιονίκην δέ φησι φιληδεῖν ταρίχῳ, ἐπεὶ ἐραστὰς εἶχε τοὺς Χαιρεφίλου τοῦ ταριχοπώλου υἱούς, ὡς Τιμοκλῆς ἐν Ἰκαρίοις φησίν 'Ἄνυτος δ' ὁ παχὺς πρὸς Πυθιονίκην ὅταν ἐλθὼν φάγῃ τί. καλεῖ γὰρ αὐτόν, ὥς φασιν, ὁπόταν Χαιρεφίλου τοὺς δύο σκόμβρους ξενίσῃ μεγάλ' ἡδομένη.' καὶ πάλιν

ἡ Πυθιονίκη δ' ἀσμένως σε δέξεται,
καὶ σοῦ κατέδεται τυχὸν ἴσως ἃ νῦν ἔχεις
λαβὼν παρ' ἡμῶν δῶρ'· ἄπληστός ἐστι γάρ.
e ὅμως δὲ δοῦναί σοι κέλευσον σαργάνας
αὐτήν· ταρίχους εὐπόρως γὰρ τυγχάνει

ἔχουσα καὶ σύνεστι σαπέρδαις δυσίν,
καὶ ταῦτ᾽ ἀνάλτοις καὶ πλατυρρύγχοις τισίν.

πρὸ τούτων δ᾽ ἦν ἐραστὴς αὐτῆς Κωβιός τις ὄνομα.

24. περὶ δὲ Καλλιμέδοντος τοῦ Καράβου ὅτι καὶ φίλιχθυς ἦν καὶ διάστροφος τοὺς ὀφθαλμοὺς Τιμο- f κλῆς ἐν Πολυπράγμονι

εἶθ᾽ ὁ Καλλιμέδων ἄφνω
ὁ Κάραβος προσῆλθεν. ἐμβλέπων δέ μοι,
ὡς γοῦν ἐδόκει, πρὸς ἕτερον ἄνθρωπόν τινα
ἐλάλει. συνιεὶς δ᾽ οὐδὲν εἰκότως ἐγὼ
ὧν ἔλεγεν ἐπένευον διακενῆς, τῷ δ᾽ ἄρα
βλέπουσι χωρὶς καὶ δοκοῦσιν αἱ κόραι. 340

Ἄλεξις δ᾽ ἐν Κρατεύᾳ ἢ Φαρμακοπώλῃ

τῷ Καλλιμέδοντι γὰρ θεραπεύω τὰς κόρας
ἤδη τετάρτην ἡμέραν. Β. ἦσαν κόραι
θυγατέρες αὐτῷ; Β. τὰς μὲν οὖν τῶν ὀμμάτων,
ἃς οὐδ᾽ ὁ Μελάμπους, ὃς μόνος τὰς Προιτίδας
ἔπαυσε μαινομένας, καταστήσειεν ἄν. b

ὁμοίως αὐτὸν σκώπτει κἀν τοῖς ἐπιγραφομένοις Συντρέχουσιν. εἰς δὲ ὀψοφαγίαν ἐν μὲν Φαίδωνι ἢ Φαιδρίᾳ οὕτως

ἀγορανομήσεις, ἂν θεοὶ θέλωσι, σύ,
ἵνα Καλλιμέδοντ᾽ εἰς τοὖψον, εἰ φιλεῖς τί με,
παύσῃς καταιγίζοντα δι᾽ ὅλης ἡμέρας.
Β. ἔργον τυράννων, οὐκ ἀγορανόμων λέγεις.
μάχιμος γὰρ ἁνήρ, χρήσιμος δὲ τῇ πόλει.

τὰ αὐτὰ ἰαμβεῖα φέρεται κἀν τῇ ἐπιγραφομένῃ εἰς τὸ c φρέαρ. ἐν δὲ Μανδραγοριζομένῃ

εἴ τινας μᾶλλον φιλῶ
ξένους ἑτέρους ὑμῶν, γενοίμην ἔγχελυς,
ἵνα Καλλιμέδων ὁ Κάραβος πρίαιτό με.

ἐν δὲ Κρατεύᾳ

καὶ Καλλιμέδων μετ' Ὀρφέως ὁ Κάραβος.

Ἀντιφάνης δ' ἐν Γοργύθῳ

ἧττόν τ' ἀποσταίην ἂν ὧν προειλόμην
ἢ Καλλιμέδων γλαύκου πρόοιτ' ἂν κρανίον.

d Εὔβουλος δ' ἐν Ἀνασωζομένοις

ἕτεροι δὲ τοῖς θεοῖσι συμπεπλεγμένοι
μετὰ Καράβου σύνεισιν, ὃς μόνος βροτῶν
δύναται καταπιεῖν ἐκ ζεόντων λοπαδίων
ἄθρους τεμαχίτας, ὥστ' ἐνεῖναι μηδὲ ἕν.

Θεόφιλος δὲ ἐν Ἰατρῷ ἅμα σκώπτων αὐτοῦ καὶ τὸ ἐν λόγοις ψυχρόν

πᾶς δὲ φιλοτίμως πρὸς αὐτὸν τῶν νεανίσκων . .
. . . . ἐγχέλειον παρατέθηκε. τῷ πατρὶ
e τευθὶς ἦν χρηστή. πατρίδιον, πῶς ἔχεις πρὸς κάραβον;
ψυχρός ἐστιν, ἄπαγε, φησί· ῥητόρων οὐ γεύομαι.

Φιλήμονος δὲ Μετιόντι εἰπόντος

Ἀγύρριος δὲ παρατεθέντος καράβου,
ὡς εἶδεν αὐτόν, ʽχαῖρε πάππα φίλτατεʼ
εἴπας, τί ἐποίει; τὸν πατέρα κατήσθιεν.

Ἡρόδικος δ' ὁ κρατήτειος ἐν τοῖς συμμίκτοις ὑπομνήμασι τοῦ Καλλιμέδοντος υἱὸν ἀπέδειξεν ὄντα τὸν Ἀγύρριον.

25. γεγόνασι δὲ καὶ οἵδε ὀψοφάγοι. Ἀνταγόρας f μὲν ὁ ποιητὴς οὐκ εἴα τὸν παῖδα ἀλεῖψαι τὸν ἰχθύν, ἀλλὰ λοῦσαι, ὥς φησιν Ἡγήσανδρος. ἐν δὲ στρατοπέδῳ ἕψοντι, φησίν, αὐτῷ γόγγρων λοπάδα καὶ περιεζωσμένῳ Ἀντίγονος ὁ βασιλεὺς παραστάς, ἆρά γε, εἶπεν, ὦ Ἀνταγόρα, τὸν Ὅμηρον οἴει τὰς τοῦ Ἀγαμέμνονος πράξεις ἀναγράψαι γόγγρους ἕψοντα; κἀκεῖνον οὐ φαύλως λόγος εἰπεῖν, σὺ δὲ οἴει, φησί, τὸν

Ἀγαμέμνονα τὰς πράξεις ἐκείνας ἐργάσασθαι πολυπραγμονοῦντα τίς ἐν τῷ στρατοπέδῳ γόγγρους ἕψει; ὄρνιν δ᾽ ἕψων ποτὲ ὁ Ἀνταγόρας οὐκ ἔφη βαδιεῖσθαι εἰς τὸ βαλανεῖον, εὐλαβούμενος μή ποτε οἱ παῖδες τὸν ζωμὸν ἐκροφήσωσι. Φιλοκύδους δ᾽ εἰπόντος ὅτι ἡ μήτηρ τηρήσει, ἐγὼ οὖν, εἶπε, τῇ μητρὶ ὀρνίθειον 341 ζωμὸν πιστεύσω; καὶ Ἀνδροκύδης δ᾽ ὁ Κυζικηνὸς ζωγράφος φίλιχθυς ὤν, ὡς ἱστορεῖ Πολέμων, ἐπὶ τοσοῦτον ἦλθεν ἡδυπαθείας ὡς καὶ τοὺς περὶ τὴν Σκύλλαν ἰχθῦς κατὰ σπουδὴν γράψαι.

26. περὶ δὲ Φιλοξένου τοῦ Κυθηρίου διθυραμβοποιοῦ Μάχων ὁ κωμῳδιοποιὸς τάδε γράφει

ὑπερβολῇ λέγουσι τὸν Φιλόξενον,
τῶν διθυράμβων τὸν ποιητήν, γεγονέναι
ὀψοφάγον. εἶτα πουλύποδα πηχῶν δυοῖν b
ἐν ταῖς Συρακούσαις ποτ᾽ αὐτὸν ἀγοράσαι,
καὶ σκευάσαντα καταφαγεῖν ὅλον σχεδὸν
πλὴν τῆς κεφαλῆς. ἁλόντα δ᾽ ὑπὸ δυσπεψίας
κακῶς σφόδρα σχεῖν· εἶτα δ᾽ ἰατροῦ τινὸς
πρὸς αὐτὸν εἰσελθόντος, ὃς φαύλως πάνυ
ὁρῶν φερόμενον αὐτὸν εἶπεν, εἴ τί σοι
ἀνοικονόμητόν ἐστι, διατίθου ταχύ,
Φιλόξεν᾽· ἀποθανεῖ γὰρ ὥρας ἑβδόμης.
κἀκεῖνος εἶπε, τέλος ἔχει τὰ πάντα μοι, c
ἰατρέ, φησί, καὶ δεδιῴκηται πάλαι.
τοὺς διθυράμβους σὺν θεοῖς καταλιμπάνω
ἠνδρωμένους καὶ πάντας ἐστεφανωμένους,
οὓς ἀνατίθημι ταῖς ἐμαυτοῦ συντρόφοις
Μούσαις... Ἀφροδίτην καὶ Διόνυσον ἐπιτρόπους.
ταῦθ᾽ αἱ διαθῆκαι διασαφοῦσιν. ἀλλ᾽ ἐπεὶ
ὁ Τιμοθέου Χάρων σχολάζειν οὐκ ἐᾷ
οὐκ τῆς Νιόβης, χωρεῖν δὲ πορθμὸν ἀναβοᾷ,

d *καλεῖ δὲ μοῖρα νύχιος, ἧς κλύειν χρεών,*
*ἵν' ἔχων ἀποτρέχω πάντα τἀμαυτοῦ κάτω,*
*τοῦ πουλύποδός μοι τὸ κατάλοιπον ἀπόδοτε.*

*κἀν ἄλλῳ δὲ μέρει φησί*

*Φιλόξενός ποθ', ὥς λέγουσ', ὁ Κυθήριος*
*ηὔξατο τριῶν ἔχειν λάρυγγα πήχεων,*
*ὅπως καταπίνω, φησίν, ὅτι πλεῖστον χρόνον*
*καὶ πάνθ' ἅμα μοι τὰ βρώμαθ' ἡδονὴν ποιῇ.*

e *καὶ Διογένης δὲ ὁ κύων ὠμὸν πουλύποδα καταφαγὼν ἐπιθεμένης αὐτῷ τῆς γαστρὸς ἀπέθανε. περὶ δὲ τοῦ Φιλοξένου καὶ ὁ παρῳδὸς Σώπατρος λέγων φησί*

*δισσαῖς γὰρ ἐν μέσαισιν ἰχθύων φοραῖς*
*ἧσται τὸν Αἴτνης ἐς μέσον λεύσσων σκοπόν.*

27. *καὶ Ὑπερείδης δὲ ὁ ῥήτωρ ὀψοφάγος ἦν, ὥς φησι Τιμοκλῆς ὁ κωμικὸς ἐν Δηλίῳ, διηγούμενος τοὺς*
f *παρὰ Ἁρπάλου δωροδοκήσαντας. γράφει δ' οὕτως*

*Δημοσθένης τάλαντα πεντήκοντ' ἔχει.*
*Β. μακάριος, εἴπερ μεταδίδωσι μηδενί.*
*Α. καὶ Μοιροκλῆς εἴληφε χρυσίον πολύ.*
*Β. ἀνόητος ὁ διδούς, εὐτυχὴς δ' ὁ λαμβάνων.*
*Α. εἴληφε καὶ Δήμων τι καὶ Καλλισθένης.*
*Β. πένητες ἦσαν, ὥστε συγγνώμην ἔχω.*
*Α. ὅ τ' ἐν λόγοισι δεινὸς Ὑπερείδης ἔχει.*
342 *Β. τοὺς ἰχθυοπώλας οὗτος ἡμῶν πλουτιεῖ,*
*ὀψοφάγος ὥστε τοὺς λάρους εἶναι Σύρους.*

*καὶ ἐν Ἰκαρίοις δὲ ὁ αὐτὸς ποιητής φησι*

*τόν τ' ἰχθυόρρουν ποταμὸν Ὑπερείδην πέρα,*
*ὃς ἠπίαις φωναῖσιν ἔμφρονος λόγου*
*κόμποις παφλάζων ἠπίοις πυκνώμασιν*
*πρὸς πᾶν . . . δύσας ἔχει*
*μισθωτὸς ἄρδει πεδία τοῦ δεδωκότος.*

*Φιλέταιρος δ' ἐν Ἀσκληπιῷ τὸν Ὑπερείδην πρὸς τῷ*

ὀψοφαγεῖν καὶ κυβεύειν αὐτόν φησι, καθάπερ καὶ b Καλλίαν τὸν ῥήτορα Ἀξιόνικος ἐν Φιλευριπίδῃ

ἄλλον δ' ἰχθὺν
μεγέθει πίσυνόν τινα τοῖσδε τόποις
ἥκει κομίσας
γλαυκός τις ἐν πόντῳ γαλεοὺς
σῖτον ὀψοφάγων λίχνων τ' ἀνδρῶν
ἀγάπημα φέρω κατ' ὤμων.
τίνα τῷδ' ἐνέπω τὴν σκευασίαν;
πότερον χλωρῷ τρίμματι βρέξας,
ἢ τῆς ἀγρίας
ἅλμης νάμασι σῶμα λιπάνας
πυρὶ παμφλέκτῳ παραδώσω;
ἔφα τὶς ὡς [ἐν] ἅλμῃ
θερμῇ τοῦτο φάγοι γ' ἑφθὸν ἀνὴρ Μοσχίων φί- c
λαυλος.
βοᾷς δ' ὄνειδος ἴδιον, ὦ Καλλία,
εἰ σὺ μὲν ἀμφί τε σῦκα καὶ ἀμφὶ ταρίχι' ἀγάλλει,
τοῦ δ' ἐν ἅλμῃ παρεόντος οὐ γεύει χαρίεντος ὄψου.

τὰ μὲν σῦκα ὡς ἂν συκοφάντην λοιδορῶν, τὰ δὲ ταρίχη μήποτε καὶ ὡς αἰσχροποιοῦντος. καὶ ὁ Ἕρμιππος δέ φησιν ἐν τρίτῳ περὶ τῶν Ἰσοκράτους μαθητῶν ἑωθινὸν τὸν Ὑπερείδην ποιεῖσθαι νῦν τοὺς περιπάτους ἐν τοῖς ἰχθύσιν.

28. Τίμαιος δ' ὁ Ταυρομενίτης καὶ Ἀριστοτέλη τὸν φιλόσοφον ὀψοφάγον φησὶ γεγονέναι. καὶ Μάτων δ' ὁ σοφιστὴς ὀψοφάγος ἦν. δηλοῖ δὲ τοῦτ' Ἀν- d
τιφάνης ἐν Κιθαρῳδῷ, οὗ ἡ ἀρχή 'οὐ ψεῦδος οὐδέν φησιν,'

ὀφθαλμὸν ὤρυττέν τις ὥσπερ ἰχθύος
Μάτων προσελθών.

Ἀναξίλας δ' ἐν Μονοτρόπῳ

τοῦ κεστρέως κατεδήδοκεν τὸ κρανίον
ἀναρπάσας Μάτων· ἐγὼ δ' ἀπόλλυμαι.

ὑπερβολὴ γαστριμαργίας τὸ καὶ ἁρπάζειν ἐσθίοντα,
e καὶ ταῦτα κρανίον κεστρέως, εἰ μὴ ἄρα οἱ περὶ ταῦτα δεινοὶ ἴσασιν ἐνόν τι χρήσιμον ἐν κεστρέως κρανίῳ, ὅπερ ἐστὶ τῆς Ἀρχεστράτου λιχνείας ἐμφανίσαι ἡμῖν.

29. Ἀντιφάνης δ' ἐν Πλουσίοις κατάλογον ποιεῖται ὀψοφάγων ἐν τούτοις

Εὔθυνος δ' ἔχων
σανδάλια καὶ σφραγῖδα καὶ μεμυρισμένος
ἐλογίζετο τῶν πραγμάτων οὐκ οἶδ' ὅ τι·
f Φοινικίδης δὲ Ταυρέας θ' ὁ φίλτατος,
ἄνδρες παλαιοὶ ὀψοφάγοι τοιοῦτοί τινες,
οἷοι καταβροχθίζειν ἐν ἀγορᾷ τὰ τεμάχη,
ὁρῶντες ἐξέθνησκον ἐπὶ τῷ πράγματι,
ἔφερόν τε δεινῶς τὴν ἀνοψίαν πάνυ.
κύκλους δὲ συναγείροντες ἔλεγον τοιαδί,
ὡς οὐ βιωτόν ἐστιν οὐδ' ἀνασχετόν
τῆς μὲν θαλάττης ἀντιποιεῖσθαί τινας
343 ὑμῶν ἀναλίσκειν τε πολλὰ χρήματα,
ὄψου δὲ [δεῦρο] μηδὲν εἰσπλεῖν μηδὲ γρῦ.
τί οὖν ὄφελος τῶν νησιάρχων ἐστί; δεῖ
νόμῳ κατακλεῖσαι τοῦτο, παραπομπὴν ποιεῖν
τῶν ἰχθύων. νυνδὶ Μάτων συνήρπακεν
τοὺς ἁλιέας, καὶ Διογείτων νὴ Δία
ἅπαντας ἀναπέπεικεν ὡς αὑτὸν φέρειν,
κοὐ δημοτικόν γε τοῦτο δρᾷ τοιαῦτα φλῶν.
γάμοι δ' ἐκείνοις καὶ πότοι νεανικοὶ
ἦσαν.

b Εὔφρων δὲ ἐν Μούσαις

Φοινικίδης δ' ὡς εἶδεν ἐν πλήθει νέων
μεστὴν ζέουσαν λοπάδα νηρείων τέκνων,

ἐπίσχετ᾽ ὀργῇ χεῖρας ἠρεθισμένος·
τίς φησιν εἶναι δεινὸς ἐκ κοινοῦ φαγεῖν;
τίς ἐκ μέσου τὰ θερμὰ δεινὸς ἁρπάσαι;
ποῦ Κόρυδος ἢ Φυρόμαχος ἢ Νείλου βία;
ἴτω πρὸς ἡμᾶς, καὶ τάχ᾽ οὐδὲν ἂν λάβοι.

30. τῆς αὐτῆς ἰδέας καὶ Μελάνθιος ἦν ὁ τῆς c τραγῳδίας ποιητής. ἔγραψε δὲ καὶ ἐλεγεῖα. κωμῳδοῦσι δ᾽ αὐτὸν ἐπ᾽ ὀψοφαγίᾳ Λεύκων ἐν Φράτερσιν, Ἀριστοφάνης ἐν Εἰρήνῃ, Φερεκράτης ἐν Πετάλῃ. ἐν δὲ τοῖς Ἰχθύσιν Ἄρχιππος τῷ δράματι ὡς ὀψοφάγον δήσας παραδίδωσι τοῖς ἰχθύσιν ἀντιβρωθησόμενον. ἀλλὰ μὴν καὶ Ἀρίστιππος ὁ σωκρατικὸς ὀψοφάγος ἦν· ὅστις καὶ ὑπὸ Πλάτωνός ποτε ὀνειδιζόμενος ἐπὶ τῇ ὀψοφαγίᾳ, ὥς φησι Σωτίων καὶ Ἡγήσανδρος. γράφει δὲ οὕτως ὁ Δελφός ''Ἀρίστιππος, Πλάτωνος d ἐπιτιμήσαντος αὐτῷ διότι πολλοὺς ἰχθῦς ἠγόρασε, δυοῖν ὀβολοῖν ἔφησεν ἐωνῆσθαι. τοῦ δὲ Πλάτωνος εἰπόντος ὅτι καὶ αὐτὸς ἂν ἠγόρασα τοσούτου, ὁρᾷς οὖν, εἶπεν, ὦ Πλάτων, ὅτι οὐκ ἐγὼ ὀψοφάγος, ἀλλὰ σὺ φιλάργυρος.' Ἀντιφάνης δ᾽ ἐν Αὐλητρίδι ἢ Διδύμαις Φοινικίδην τινὰ ἐπ᾽ ὀψοφαγίᾳ κωμῳδῶν φησίν

ὁ μὲν Μενέλεως ἐπολέμησ᾽ ἔτη δέκα
τοῖς Τρωσὶ διὰ γυναῖκα τὴν ὄψιν καλήν,
Φοινικίδης δὲ Ταυρέᾳ δι᾽ ἔγχελυν.

31. Δημοσθένης δὲ ὁ ῥήτωρ Φιλοκράτην, ἐπειδὴ e ἐκ τοῦ προδοτικοῦ χρυσίου πόρνας καὶ ἰχθῦς ἠγόραζεν, εἰς ἀσέλγειαν καὶ ὀψοφαγίαν λοιδορεῖ. Διοκλῆς δὲ ὁ ὀψοφάγος, ὥς φησιν Ἡγήσανδρος, πυθομένου τινὸς αὐτοῦ πότερος χρηστότερος ἰχθύς, γόγγρος ἢ λάβραξ, ὃ μὲν ἑφθός, ἔφη, ὃ δὲ ὀπτός. ὀψοφάγος δ᾽ ἦν καὶ Λεοντεὺς ὁ Ἀργεῖος τραγῳδός, Ἀθηνίωνος μὲν

*μαθητὴς οἰκέτης δὲ γενόμενος Ἰόβα τοῦ Μαυρουσίων βασιλέως, ὥς φησιν Ἀμάραντος ἐν τοῖς περὶ σκηνῆς,*
f *γεγραφέναι φάσκων εἰς αὐτὸν τόδε τοὐπίγραμμα τὸν Ἰόβαν, ὅτε κακῶς τὴν Ὑψιπύλην ὑπεκρίνατο*

*μή με Λεοντῆος τραγικοῦ κιναρηφάγου ἦθος*
*λεύσσων Ὑψιπύλης ἐς κακὸν ἦτορ ὅρα.*
*ἤμην γάρ ποτ' ἐγὼ Βάκχῳ φίλος, οὐδέ τιν' ὧδε*
*γῆρυν χρυσολόβοις οὔασιν ἠγάσατο.*
*νῦν δέ με χυτρόποδες κέραμοι καὶ ξηρὰ τάγηνα*
344 *χήρωσαν φωνῆς γαστρὶ χαριζόμενον.*

32. *Φόρουσκον δέ φησιν Ἡγήσανδρος τὸν ἰχθυοφάγον οὐ δυνηθέντα ὅσον ἤθελεν ἀφελεῖν τοῦ ἰχθύος, ἀλλ' ἀκολουθήσαντος αὐτῷ πλείονος εἰπεῖν*

*τὰ δ' ἀντιτείνοντ' αὐτόπρεμν' ἀπόλλυται,*

*καὶ ὅλον τὸν ἰχθὺν ἀναλῶσαι. Βίων δὲ προαρπάσαντός τινος τὰ ἐπάνω τοῦ ἰχθύος στρέψας καὶ αὐτὸς καὶ δαψιλῶς φαγὼν ἐπεῖπεν*

*Ἰνὼ δὲ τἀπὶ θάτερ' ἐξειργάζετο.*

b *Θεόκριτος δ' ὁ Χῖος τελευτησάσης τῆς γυναικὸς Διοκλεῖ τῷ ὀψοφάγῳ, ἐπειδὴ ποιῶν αὐτῇ τὸ περίδειπνον πάλιν ὠψοφάγει κλαίων ἅμα, παῦσαι, φησί, κλαίων, ὦ πόνηρε· οὐδὲν γὰρ πλέον ὀψοφαγῶν ποιήσεις. τοῦ δ' αὐτοῦ καὶ τὸν ἀγρὸν καταβεβρωκότος εἰς ὀψοφαγίαν, ἐπειδὴ θερμόν ποτε καταβροχθίσας ἰχθὺν ἔφησε τὸν οὐρανὸν κατακεκαῦσθαι, λοιπόν, ἔφησεν, ἐστίν, ὁ Θεόκριτος, σοὶ καὶ τὴν θάλασσαν ἐκπιεῖν, καὶ ἔσῃ τρία τὰ μέγιστα ἠφανικώς, γῆν καὶ θάλασσαν καὶ*
c *οὐρανόν. Κλέαρχος δὲ ἐν τοῖς περὶ βίων φίλιχθύν τινα ἀναγράφων φησὶν οὕτως 'Τέχνων ὁ παλαιὸς αὐλητής, Χάρμου τοῦ αὐλητοῦ τελευτήσαντος (ἦν δὲ φίλιχθυς) ἀποπυρίδας ἐπὶ τοῦ μνήματος ἐνήγιζεν αὐτῷ.' καὶ Ἄλεξις δ' ὁ ποιητὴς ἦν ὀψοφάγος, ὡς ὁ*

Σάμιός φησι Λυγκεύς· καὶ σκωπτόμενος ὑπό τινων σπερμολόγων εἰς ὀψοφαγίαν, ἐρομένων τε ἐκείνων τί ἂν ἥδιστα φάγοι, ὁ Ἄλεξις, σπερμολόγους, ἔφη, πεφρυγμένους.

33. Νόθιππον δὲ τὸν τραγῳδιοποιὸν [ὃν] Ἕρμιππος ἐν ταῖς Μοίραις φησίν

εἰ δ' ἦν τὸ γένος τῶν ἀνθρώπων τῶν νῦν τοιόνδε μάχεσθαι, d
καὶ βατὶς αὐτῶν ἡγεῖτ' ὀπτὴ μεγάλη καὶ πλευρὸν ὕειον,
τοὺς μὲν ἄρ' ἄλλους οἰκουρεῖν χρῆν, πέμπειν δὲ Νόθιππον ἕν' ὄντα.
εἷς γὰρ μόνος ὢν κατεβρόχθισεν ἂν τὴν Πελοπόννησον ἅπασαν.

ὅτι δὲ οὗτος ἦν ὁ ποιητὴς σαφῶς παρίστησι Τηλεκλείδης ἐν Ἡσιόδοις. Μυννίσκος ὁ τραγικὸς ὑποκριτὴς κωμῳδεῖται ὑπὸ Πλάτωνος ἐν Σύρφακι ὡς ὀψοφάγος οὕτως

ὁδὶ μὲν ἀναγυράσιος ὀρφώς ἐστί σοι. e
Β. οἶδ', ᾧ φίλος Μυννίσκος ἔσθ' ὁ Χαλκιδεύς.
Α. καλῶς λέγεις.

καὶ Λάμπωνα δὲ τὸν μάντιν ἐπὶ τοῖς ὁμοίοις κωμῳδοῦσι Καλλίας Πεδήταις καὶ Λύσιππος Βάκχαις. Κρατῖνος δ' ἐν Δραπέτισιν εἰπὼν περὶ αὐτοῦ

Λάμπωνα, τὸν οὐ βροτῶν
ψῆφος δύναται φλεγυρὰ
δείπνου φίλων ἀπείργειν,

ἐπιφέρει

νῦν δ' αὖθις ἐρυγγάνει·
βρύκει γὰρ ἅπαν τὸ παρόν,
τρίγλῃ δὲ κἂν μάχοιτο. f

34. Ἡδύλος δ᾽ ἐν ἐπιγράμμασιν ὀψοφάγους καταλέγων Φαίδωνος μέν τινος ἐν τούτοις μέμνηται

Φαίδων δέ τε φυκίδ᾽ ἐνείκαι
χορδάς θ᾽ ὁ ψάλτης· ἔστι γὰρ ὀψοφάγος.

Ἄγιδος δ᾽ ἐν τούτοις

ἑφθὸς ὁ κάλλιχθυς· νῦν ἔμβαλε τὴν βαλανάγραν,
345 ἔλθῃ μὴ Πρωτεὺς Ἄγις ὁ τῶν λοπάδων.
γίγνεθ᾽ ὕδωρ καὶ πῦρ καὶ ὃ βούλεται. ἀλλ᾽ ἀπόκλειε . . .
ἥξει γὰρ τοιαῦτα μεταπλασθεὶς τυχὸν ὡς Ζεὺς
χρυσορόης ἐπὶ τήνδ᾽ Ἀκρισίου λοπάδα.

καὶ γυναῖκα δέ τινα Κλειὼ ἐπὶ τοῖς ὁμοίοις σκώπτων φησίν

ὀψοφάγει Κλειοῖ· καταμύομεν· ἢν δὲ θελήσῃς,
b ἔσθε μόνη. δραχμῆς ἔστιν ὁ γόγγρος ἅπας.
θὲς μόνον ἢ ζώνην ἢ ἐνώτιον ἤ τι τοιοῦτον
σύσσημον. τὸ δ᾽ ὁρᾶν μὴ μόνον οὐ λέγομεν.
ἡμετέρη σὺ Μέδουσα· ᾽λιθούμεθα πάντα πάλαι που
οὐ Γοργοῦς, γόγγρου δ᾽ οἱ μέλεοι λοπάδι.

35. Ἀριστόδημος δ᾽ ἐν τοῖς γελοίοις ἀπομνημονεύμασιν Εὐφράνορά φησι τὸν ὀψοφάγον ἀκούσαντα
c ὅτι ἄλλος ἰχθυοφάγος ἀπέθανε θερμὸν ἰχθύος τέμαχος καταπιὼν ἀναφωνῆσαι, ἱερόσυλος ὁ θάνατος. Κίνδων δὲ ὁ ὀψοφάγος καὶ Δημύλος, ὀψοφάγος δὲ καὶ οὗτος, γλαύκου παρατεθέντος, ἄλλου δ᾽ οὐδενός, ὁ μὲν τὸν ὀφθαλμὸν κατελάβετο, καὶ ὁ Δημύλος ἐπὶ τὸν ἐκείνου ὀφθαλμὸν ἐπιβαλὼν ἐβιάζετο φωνῶν, ἄφες καὶ ἀφήσω. ἐν δείπνῳ δέ ποτε καλῆς λοπάδος ὄψου παρατεθείσης ὁ Δημύλος οὐκ ἔχων ὅπως αὐτὴν μόνος καταφάγῃ ἐνέπτυσεν εἰς αὐτήν. Ζήνων δ᾽ ὁ Κιτιεὺς ὁ τῆς στοᾶς κτίστης πρὸς τὸν ὀψοφάγον, ᾧ

συνέζη ἐπὶ πλείονα χρόνον, καθά φησιν Ἀντίγονος ὁ d
Καρύστιος ἐν τῷ Ζήνωνος βίῳ, μεγάλου τινὸς κατὰ τύχην ἰχθύος παρατεθέντος, ἄλλου δ' οὐδενὸς παρεσκευασμένου, λαβὼν ὅλον ὁ Ζήνων ἀπὸ τοῦ πίνακος οἷος ἦν κατεσθίειν. τοῦ δ' ἐμβλέψαντος αὐτῷ, τί οὖν, ἔφη, τοὺς συζῶντάς σοι οἴει πάσχειν, εἰ σὺ μίαν ἡμέραν μὴ δεδύνησαι ἐνεγκεῖν ὀψοφαγίαν; Ἴστρος δέ φησι Χοιρίλον τὸν ποιητὴν παρ' Ἀρχελάου τέσσαρας μνᾶς ἐφ' ἡμέρᾳ λαμβάνοντα, ταύτας καταναλίσκειν εἰς ὀψοφαγίαν γενόμενον ὀψοφάγον. οὐκ ἀγνοῶ δὲ καὶ τοὺς ἰχθυοφάγους παῖδας, ὧν Κλέαρχος μνημονεύει ἐν τῷ περὶ θινῶν φάσκων Ψαμμίτιχον τὸν Αἰ- e
γυπτίων βασιλέα παῖδας θρέψαι ἰχθυοφάγους, τὰς πηγὰς τοῦ Νείλου βουλόμενον εὑρεῖν· καὶ ἄλλους δὲ ἀδίψους ἀσκῆσαι τοὺς ἐρευνησομένους τὰς ἐν Λιβύῃ ψάμμους, ὧν ὀλίγοι διεσώθησαν. οἶδα δὲ καὶ τοὺς περὶ Μόσσυνον τῆς Θρᾴκης βοῦς, οἳ ἰχθῦς ἐσθίουσι, παραβαλλομένους αὐτοῖς εἰς τὰς φάτνας. Φοινικίδης δὲ τοὺς ἰχθῦς παρατιθεὶς τοῖς τὰς συμβολὰς δεδωκόσι, τὴν μὲν θάλασσαν ἔλεγε κοινὴν εἶναι, τοὺς δ' ἐν αὐτῇ ἰχθῦς τῶν ὠνησαμένων.

36. εἴρηται δὲ καὶ ὁ ὀψοφάγος, ὦ ἑταῖροι, καὶ τὸ f
ὀψοφαγεῖν. Ἀριστοφάνης ἐν Νεφέλαις δευτέραις

οὐδ' ὀψοφαγεῖν οὐδὲ κιχλίζειν.

Κηφισόδωρος Ὑί

οὐδ' ὀψοφάγος οὐδ' ἀδολέσχης.

Μάχων Ἐπιστολῇ

ὀψοφάγος εἰμί. τοῦτο δ' ἐστὶ τῆς τέχνης
θεμέλιος ἡμῖν. προσπεπονθέναι τι δεῖ 346
τὸν μὴ τὰ παραδοθέντα λυμανούμενον.
πεφροντικὼς αὐτοῦ γὰρ οὐκ ἔσται κακός.
ἔπειτ' ἐπὰν ᾖ καθαρὰ τᾀσθητήρια,

οὐκ ἂν διαμάρτοις. ἕψε καὶ γεύου πυκνά.
ἅλας οὐκ ἔχει· προσένεγκ᾽. ἔτ᾽ ἐπιδεῖταί τινος
ἑτέρου· πάλιν γεύου σὺ μέχρι ἂν ἡδὺς ᾖ.
ὥσπερ λύραν ἐπίτειν᾽, ἕως ἂν ἁρμόσῃ.
εἶθ᾽ ὁπόταν ἤδη πάντα συμφωνεῖν δοκῇ,
b εἴσαγε διὰ πασῶν νικολαίδας μυκόνιος.

πρὸς τούτοις τοῖς ὀψοφάγοις, ἄνδρες ἑταῖροι, οἶδα καὶ
τὸν παρ᾽ Ἠλείοις τιμώμενον ὀψοφάγον Ἀπόλλωνα.
μνημονεύει δὲ αὐτοῦ Πολέμων ἐν τῇ πρὸς Ἄτταλον
ἐπιστολῇ. οἶδα δὲ καὶ τὴν ἐν τῇ Πισάτιδι γραφὴν
ἀνακειμένην ἐν τῷ τῆς Ἀλφειώσας Ἀρτέμιδος ἱερῷ·
c Κλεάνθους δ᾽ ἐστὶ τοῦ Κορινθίου· ἐν ᾗ Ποσειδῶν
πεποίηται θύννον τῷ Διὶ προσφέρων ὠδίνοντι, ὡς
ἱστορεῖ Δημήτριος ἐν ὀγδόῃ τοῦ Τρωικοῦ διακόσμου.

37. καὶ τοσαῦτα μέν, ἔφη ὁ Δημόκριτος, καὶ αὐ-
τὸς ὑμῖν προσοψωνήσας, οὐκ ὀψοφαγήσων, παρῆλθον,
διὰ τὸν πάντ᾽ ἄριστον Οὐλπιανόν, ὃς διὰ τὰ Σύρων
πάτρια καὶ ἡμᾶς τῶν ἰχθύων ἀπεστέρησεν, ἕτερ᾽ ἐξ
ἑτέρων ἀεὶ παρεισφέρων. καίτοι γε Ἀντίπατρος ὁ
Ταρσεὺς ὁ ἀπὸ τῆς στοᾶς ἐν τετάρτῳ περὶ δεισιδαι-
d μονίας λέγεσθαί φησι πρός τινων ὅτι Γάτις ἡ τῶν
Σύρων βασίλισσα οὕτως ἦν ὀψοφάγος ὥστε κηρῦξαι
ἄτερ Γάτιδος μηδένα ἰχθὺν ἐσθίειν· ὑπ᾽ ἀγνοίας δὲ
τοὺς πολλοὺς αὐτὴν μὲν Ἀτεργάτιν ὀνομάζειν, ἰχθύων
δὲ ἀπέχεσθαι. Μνασέας δὲ ἐν δευτέρῳ περὶ Ἀσίας
φησὶν οὕτως· ἐμοὶ μὲν ἡ Ἀτεργάτις δοκεῖ χαλεπὴ βα-
σίλισσα γεγονέναι καὶ τῶν λαῶν σκληρῶς ἐπεστατη-
κέναι, ὥστε καὶ ἀπονομίσαι αὐτοῖς ἰχθὺν μὴ ἐσθίειν,
ἀλλὰ πρὸς αὐτὴν ἀναφέρειν, διὰ τὸ ἀρέσαι αὐτῇ τὸ
e βρῶμα. καὶ διὰ τόδε νόμιμον ἔτι διαμένειν, ἐπὰν
εὔξωνται τῇ θεῷ, ἰχθῦς ἀργυροῦς ἢ χρυσοῦς ἀνατι-
θέναι· τοὺς δὲ ἱερεῖς πᾶσαν ἡμέραν τῇ θεῷ ἀληθι-

νοὺς ἰχθῦς ἐπὶ τὴν τράπεζαν ὀψοποιησαμένους παρατιθέναι, ἑφθούς τε ὁμοίως καὶ ὀπτούς, οὓς δὴ αὐτοὶ καταναλίσκουσιν οἱ τῆς θεοῦ ἱερεῖς.' καὶ μικρὸν προελθὼν πάλιν φησίν 'ἡ δέ γε Ἀτεργάτις, ὥσπερ Ξάνθος λέγει ὁ Λυδός, ὑπὸ Μόξου τοῦ Λυδοῦ ἁλοῦσα κατεποντίσθη μετὰ Ἰχθύος τοῦ υἱοῦ ἐν τῇ περὶ Ἀσκάλωνα λίμνῃ διὰ τὴν ὕβριν, καὶ ὑπὸ τῶν ἰχθύων κατεβρώθη.'

38. τάχα δὲ καὶ ὑμεῖς, ἄνδρες φίλοι, ἑκόντες f
παρελίπετε ὡς ἱερόν τινα ἰχθὺν τὸν παρ' Ἐφίππῳ τῷ κωμῳδιοποιῷ, ὅν φησι τῷ Γηρυόνῃ σκευάζεσθαι ἐν τῷ ὁμωνύμῳ δράματι διὰ τούτων λέγων

τούτῳ δ' ὁπόταν ναέται χώρας
ἰχθύν τιν' ἕλωσ' οὐχ ἡμέριον,
τῆς περικλύστου δ' ἁλίας Κρήτης
μείζω μεγέθει, λοπάς ἐστ' αὐτῷ
δυνατὴ τούτους χωρεῖν ἑκατόν.
καὶ περιοίκους εἶναι ταύτης 347
Σίνδους Λυκίους Μυγδονιώτας
Κραναοὺς Παφίους. τούτους δ' ὕλην
κόπτειν, ὁπόταν βασιλεὺς ἕψῃ
τὸν μέγαν ἰχθύν, καὶ προσάγοντας
καθ' ὅσον πόλεως ἕστηκεν ὅρος
τούσδ' ὑποκάειν, λίμνην δ' ἐπάγειν
ὕδατος μεστὴν εἰς τὴν ἅλμην,
τοὺς δ' ἅλας αὐτῷ ζεύγη προσάγειν
μηνῶν ὀκτὼ συνεχῶς ἑκατόν.
περιπλεῖν δ' ἐπὶ τοῖς ἄμβωσιν ἄνω b
πέντε κέλητας πεντασκάλμους,
περιαγγέλλειν τ' οὐχ ὑποκάειν
Λυκίων πρυτάνεις. Β. ψυχρὸν τουτί.
παύου φυσῶν, Μακεδὼν ἄρχων·

*σβέννυ Κελτούς, μὴ προσκαύσῃς.*

*οὐκ ἀγνοῶ δ' ὅτι τὰ αὐτὰ ταῦτα εἴρηκεν ὁ Ἔφιππος* c *κἀν Πελταστῇ τῷ δράματι, ἐν ᾧ καὶ ταῦτα ἐκείνοις ὑποτέτακται*

*τοιαῦθ' ὑθλῶν δειπνεῖ καὶ ζῇ*
*θαυμαζόμενος μετὰ μειρακίων,*
*οὐ γιγνώσκων ψήφων ἀριθμούς,*
*σεμνὸς σεμνῶς χλανίδ' ἕλκων.*

*εἰς τίνα δὲ ταῦτ' ἀποτεινόμενος ὁ Ἔφιππος εἴρηκεν*

*ὥρα σοὶ ζητεῖν, ὦ καλὲ Οὐλπιανέ, καὶ διδάσκειν ἡμᾶς, καὶ τῶν εἰρημένων τούτων*

*εἴ τί σοι ψελλόν τε καὶ δυσεύρετον,*
*ἐπαναδίπλαζε, καὶ σαφῶς ἐκμάνθανε.*
*σχολὴ δὲ πλείων ἢ θέλω πάρεστί μοι,*

*κατὰ τὸν Αἰσχύλου Προμηθέα.*

d 39. *καὶ ὁ Κύνουλκος ἀνεβόησε, καὶ τίν' ἂν τῶν μεγάλων οὗτος οὐκ ἰχθύων, ἀλλὰ ζητήσεων ἐπὶ νοῦν λάβοι; ὃς τὰς ἀκάνθας ἀεὶ ἐκλέγει ἑψητῶν τε καὶ ἀθερινῶν καὶ εἴ τι τούτων ἀτυχέστερόν ἐστιν ἰχθύδιον, τὰ μεγάλα τεμάχη παραπεμπόμενος. καθάπερ γάρ*

*ἐν ταῖς γεννικαῖς εὐωχίαις*

*(φησὶν ἐν Ἰξίονι Εὔβουλος)*

*ἀμύλων παρόντων ἐσθίουσ' ἑκάστοτε*
*ἄνηθα καὶ σέλινα καὶ φλυαρίας*
*καὶ κάρδαμ' ἐσκευασμένα,*

*οὕτω μοι δοκεῖ καὶ ὁ λεβητοχάρων Οὐλπιανός, κατὰ* e *τὸν ἐμὸν Μεγαλοπολίτην Κερκιδᾶν, μηδὲν μὲν ἐσθίειν τῶν ἀνδρὶ προσηκόντων, τηρεῖν δὲ τοὺς ἐσθίοντας εἰ παρεῖδον ἢ ἄκανθαν ἢ τῶν τραγανῶν τι ἢ χονδρῶδες τῶν παρατεθέντων, οὐδ' ἐπὶ νοῦν βαλλόμενος τὰ τοῦ καλοῦ καὶ λαμπροῦ Αἰσχύλου, ὃς τὰς*

αὐτοῦ τραγῳδίας τεμάχη εἶναι ἔλεγε τῶν Ὁμήρου μεγάλων δείπνων. φιλόσοφος δὲ ἦν τῶν πάνυ ὁ Αἰσχύλος, ὃς καὶ ἡττηθεὶς ἀδίκως ποτέ, ὡς Θεόφραστος ἢ Χαμαιλέων ἐν τῷ περὶ ἡδονῆς εἴρηκεν, ἔφη χρόνῳ τὰς τραγῳδίας ἀνατιθέναι, εἰδὼς ὅτι κομιεῖται τὴν f προσήκουσαν τιμήν.

40. πόθεν δὲ καὶ εἰδέναι δύναται ἅπερ εἶπε Στρατόνικος ὁ κιθαριστὴς εἰς Πρόπιν τὸν Ῥόδιον κιθαρῳδόν; Κλέαρχος γὰρ ἐν τοῖς περὶ παροιμιῶν φησὶν ὡς ὁ Στρατόνικος θεασάμενος τὸν Πρόπιν, ὄντα τῷ μὲν μεγέθει μέγαν τῇ δὲ τέχνῃ κακὸν καὶ ἐλάττονα τοῦ σώματος, ἐπερωτώντων αὐτὸν ποῖός τίς ἐστιν, εἶπεν ‘οὐδεὶς κακὸς μέγας ἰχθύς’, αἰνισσόμενος 348 ὅτι πρῶτον μὲν οὐδείς ἐστιν, εἶθ' ὅτι κακός, καὶ πρὸς τούτοις μέγας μὲν ἰχθὺς δὲ διὰ τὴν ἀφωνίαν. Θεόφραστος δ' ἐν τῷ περὶ γελοίου λεχθῆναι μέν φησι τὴν παροιμίαν ὑπὸ τοῦ Στρατονίκου, ἀλλ' εἰς Σιμμύκαν τὸν ὑποκριτήν, διελόντος τὴν παροιμίαν ‘οὐδεὶς μέγας σαπρὸς ἰχθύς.’ Ἀριστοτέλης ἐν τῇ Ναξίων πολιτείᾳ περὶ τῆς παροιμίας οὕτω γράφει ‘τῶν παρὰ Ναξίοις εὐπόρων οἱ μὲν πολλοὶ τὸ ἄστυ ᾤκουν, οἱ δὲ b ἄλλοι διεσπαρμένοι κατὰ κώμας. ἐν οὖν δή τινι τῶν κωμῶν, ᾗ ὄνομα ἦν Ληστάδαι, Τελεσταγόρας ᾤκει, πλούσιός τε σφόδρα καὶ εὐδοκιμῶν καὶ τιμώμενος παρὰ τῷ δήμῳ τοῖς τ' ἄλλοις ἅπασι καὶ τοῖς καθ' ἡμέραν πεμπομένοις. καὶ ὅτε καταβάντες ἐκ τῆς πόλεως δυσωνοῖντό τι τῶν πωλουμένων, ἔθος ἦν τοῖς πωλοῦσι λέγειν ὅτι μᾶλλον ἂν προέλοιντο Τελεσταγόρᾳ δοῦναι ἢ τοσούτου ἀποδόσθαι. νεανίσκοι οὖν τινὲς ὠνούμενοι μέγαν ἰχθύν, εἰπόντος τοῦ ἁλιέως c τὰ αὐτά, λυπηθέντες τῷ πολλάκις ἀκούειν, ὑποπιόντες ἐκώμασαν πρὸς αὐτόν. δεξαμένου δὲ τοῦ Τελε-

σταγόρου φιλοφρόνως αὐτοὺς οἱ νεανίσκοι αὐτόν τε ὕβρισαν καὶ δύο θυγατέρας αὐτοῦ ἐπιγάμους. ἐφ' οἷς ἀγανακτήσαντες οἱ Νάξιοι καὶ τὰ ὅπλα ἀναλαβόντες ἐπῆλθον τοῖς νεανίσκοις· καὶ μεγίστη τότε στάσις ἐγένετο, προστατοῦντος τῶν Ναξίων Λυγδάμιδος, ὃς ἀπὸ ταύτης τῆς στρατηγίας τύραννος ἀνεφάνη τῆς πατρίδος.'

d 41. οὐκ ἄκαιρον δὲ εἶναι νομίζω [εἰπεῖν] ἔτι καὶ αὐτός, ἐπειδήπερ ἐμνήσθην τοῦ κιθαριστοῦ Στρατονίκου, λέξαι τι περὶ τῆς εὐστοχίας αὐτοῦ τῶν ἀποκρίσεων. διδάσκων γὰρ κιθαριστάς, ἐπειδὴ ἐν τῷ διδασκαλείῳ εἶχεν ἐννέα μὲν εἰκόνας τῶν Μουσῶν, τοῦ δὲ Ἀπόλλωνος μίαν, μαθητὰς δὲ δύο, πυνθανομένου τινὸς πόσους ἔχοι μαθητάς, ἔφη, σὺν τοῖς θεοῖς δώδεκα. εἰς Μύλασα δ' ἐπιδημήσας καὶ κατιδὼν ναοὺς μὲν πολλούς, ἀνθρώπους δὲ ὀλίγους, στὰς ἐν μέσῃ τῇ ἀγορᾷ ἔφη, ἀκούετε ναοί. Μάχων δὲ αὐτοῦ
e ἀναγράφει τάδε ἀπομνημονεύματα

Στρατόνικος ἀπεδήμησεν εἰς Πέλλαν ποτὲ
παρὰ πλειόνων ἔμπροσθε τοῦτ' ἀκηκοώς,
ὡς σπληνικοὺς εἴωθεν ἡ πόλις ποιεῖν
ἐν τῷ βαλανείῳ· καταμαθὼν οὖν πλείονας
γυμναζομένους τῶν μειρακίσκων παρὰ τὸ πῦρ
κομψῶς τό τε χρῶμα καὶ τὸ σῶμ' ἠσκηκότας,
διαμαρτάνειν ἔφασκε τοὺς εἰρηκότας
αὐτῷ· καταμαθὼν δ', ἡνίκ' ἐξῄει πάλιν,
τῆς κοιλίας τὸν σπλῆν' ἔχοντα διπλάσιον . . .
f καθήμενος γὰρ ἐνθάδ' οὗτος φαίνεται
τά θ' ἱμάτια τῶν εἰσιόντων λαμβάνων
τηρεῖν ἅμα καὶ τοὺς σπλῆνας εὐθέως, ἵνα
μηδ' ἡτισοῦν τοῖς ἔνδον ᾖ στενοχωρία.
ψάλτης κακὸς Στρατόνικον ἑστιῶν ποτὲ

ἐπεδείκνυτ' αὐτῷ τὴν τέχνην παρὰ τὸν πότον.
οὔσης δὲ λαμπρᾶς καὶ φιλοτίμου τῆς δοχῆς,
ψαλλόμενος ὁ Στρατόνικος, οὐκ ἔχων δ' ὅτῳ
διαλέξεθ' ἑτέρῳ, συγκατέθλα τὸ ποτήριον.
ᾔτησε μεῖζον. καὶ κυάθους πολλοὺς λαβών, 349
τῷ θ' ἡλίῳ τὴν κύλικα δείξας, συντόμως
πιὼν καθεῦδε, τἄλλ' ἐπιτρέψας τῇ τύχῃ.
ἐπὶ κῶμον ἐλθόντων δὲ τῷ ψάλτῃ τινῶν
ἑτέρων κατὰ τύχην, ὡς ἔοικε, γνωρίμων,
ἔξοινος ὁ Στρατόνικος ἐγένετ' εὐθέως.
προσπυνθανομένων δ' ὅ τι πολὺν πίνων ἀεὶ
οἶνον ἐμεθύσθη συντόμως, ἀπεκρίνατο,
ὁ γὰρ ἐπίβουλος κἀναγὴς ψάλτης, ἔφη,
ὡς βοῦν ἐπὶ φάτνῃ δειπνίσας ἀπέκτονεν.
Στρατόνικος εἰς Ἄβδηρ' ἀποδημήσας ποτὲ b
ἐπὶ τὸν ἀγῶνα τὸν τιθέμενον αὐτόθι,
ὁρῶν ἕκαστον τῶν πολιτῶν κατ' ἰδίαν
κεκτημένον κήρυκα, κηρύττοντά τε
ἕκαστον αὐτῶν ὅτε θέλοι νουμηνίαν,
σχεδόν τε τοὺς κήρυκας ἐν τῷ χωρίῳ
ὄντας πολὺ πλείους κατὰ λόγον τῶν δημοτῶν,
ἐπ' ἄκρων ἐβάδιζε τῶν ὀνύχων ἐν τῇ πόλει
σχέδην, δεδορκὼς ἀτενὲς εἰς τὴν γῆν κάτω.
πυνθανομένου δὲ τῶν ξένων αὐτοῦ τινὸς
τὸ πάθος τὸ γεγονὸς ἐξαπίνης περὶ τοὺς πόδας, c
τοῦτ' εἶπε, τοῖς ὅλοις μὲν ἔρρωμαι, ξένε,
καὶ τῶν κολάκων πολὺ θᾶττον ἐπὶ δεῖπνον τρέχω·
ἀγωνιῶ δὲ καὶ δέδοικα παντελῶς
μή ποτ' ἐπιβὰς κήρυκι τὸν πόδ' ἀναπαρῶ.
αὐλεῖν ἐπὶ τοῖς ἱεροῖσιν αὐλητοῦ κακοῦ
μέλλοντος ὁ Στρατόνικος, εὐφήμει μέχρι

σπείσαντες εὐξώμεσθ᾽ ἄν, ἠσί, τοῖς θεοῖς.
Κλέων τις ἦν κιθαρῳδός, ὃς ἐκαλεῖτο Βοῦς,
δεινῶς ἀπᾴδων τῇ λύρᾳ τ᾽ οὐ χρώμενος.
d τούτου διακούσας ὁ Στρατόνικος εἶφ᾽ ὅτι
ὄνος λύρας ἐλέγετο, νῦν δὲ βοῦς λύρας.
Στρατόνικος ὁ κιθαρῳδὸς ὡς Βηρισάδην
ἔπλευσεν εἰς τὸν Πόντον, ὄντα βασιλέα.
πολλοῦ χρόνου δ᾽ ἤδη γεγονότος ἀποτρέχειν
ἠβούλετο Στρατόνικος εἰς τὴν Ἑλλάδα.
ὡς δ᾽ αὐτόν, ὡς ἔοικεν, οὐ προσίετο,
τοῦτ᾽ ἀποκριθῆναί φασι τῷ Βηρισάδῃ,
σὺ γὰρ διανοεῖ, φησίν, αὐτοῦ καταμένειν;
ἐν τῇ Κορίνθῳ παρεπεδήμησέν ποτε
e Στρατόνικος ὁ κιθαρῳδός. εἶτα γρᾴδιον
ἐνέβλεπεν αὐτῷ κοὐκ ἀφίστατ᾽ οὐδαμοῦ.
κᾆθ᾽ ὁ Στρατόνικος, πρὸς θεῶν, μῆτερ, φράσον
τί ἔσθ᾽ ὃ βούλει, καὶ τί μ᾽ εἰσβλέπεις ἀεί;
διηπόρησα, φησίν, εἰ μήτηρ δέκα
σὲ μῆνας εἶχε κἀκράτει τῆς κοιλίας,
πόλις δ᾽ ἔχουσά σ᾽ ἡμέραν ἀλγεῖ μίαν.
ἡ Νικοκρέοντος εἰσιοῦσ᾽ Ἀξιοθέα
γυνὴ μετὰ παιδίσκης ἅβρας εἰς τὸν πότον
ἀπεψόφησε, κᾆτα τῷ σικυωνίῳ
f ἀμυγδάλην ἐπιβᾶσα συνέτριψεν τύχῃ.
Στρατόνικος εἶπεν, οὐχ ὅμοιος ὁ ψόφος.
ὑπὸ νύκτα τῆς φωνῆς δὲ ταύτης οὕνεκα
ἐν τῷ πελάγει διέλυσε τὴν παρρησίαν.
ἐπιδεικνυμένου πόθ᾽, ὡς ἔοικεν, ἐν Ἐφέσῳ
ἀφυοῦς κιθαρῳδοῦ τὸν μαθητὴν τοῖς φίλοις,
παρὼν κατὰ τύχην ὁ Στρατόνικος τοῦτ᾽ ἔφη,
ὃς αὐτὸς αὑτὸν οὐ κιθαρίζει . .
ἄλλους κιθαρίζων . . .

42. Κλέαρχος δ' ἐν δευτέρῳ περὶ φιλίας, Στρατόνικος, φησίν, ὁ κιθαριστὴς ἀναπαύεσθαι μέλλων ἐκέλευεν ἀεὶ τὸν παῖδα προσφέρειν αὐτῷ πιεῖν, οὐχ ὅτι διψῶ, φησίν, ἵνα δὲ μὴ διψήσω. ἐν δὲ Βυζαντίῳ κιθαρῳδοῦ τὸ μὲν προοίμιον ᾄσαντος εὖ, ἐν δὲ τοῖς 350 λοιποῖς ἀποτυγχάνοντος, ἀναστὰς ἐκήρυξεν, ὃς ἂν καταμηνύσῃ τὸν τὸ προοίμιον ᾄσαντα κιθαρῳδόν, λήψεται χιλίας δραχμάς. ἐρωτηθεὶς δ' ὑπό τινος τίνες εἰσὶν οἱ μοχθηρότατοι, τῶν ἐν Παμφυλίᾳ Φασηλίτας μὲν ἔφησε μοχθηροτάτους εἶναι, Σιδήτας δὲ τῶν ἐν τῇ οἰκουμένῃ. πάλιν δ' ἐπερωτηθείς, ὥς φησιν Ἡγήσανδρος, πότερα Βοιωτοὶ βαρβαρώτεροι τυγχάνουσιν ὄντες ἢ Θετταλοί, Ἠλείους ἔφησεν. ἀναστήσας δέ ποτε καὶ τρόπαιον ἐν τῇ διατριβῇ ἐπέγραψε b ΚΑΤΑ ΤΩΝ ΚΑΚΩΣ ΚΙΘΑΡΙΖΟΝΤΩΝ. ἐρωτηθεὶς δὲ ὑπό τινος τίνα τῶν πλοίων ἀσφαλέστατά ἐστι, τὰ μακρὰ ἢ τὰ στρογγύλα, τὰ νενεωλκημένα, εἶπεν. ἐν Ῥόδῳ δ' ἐπίδειξιν ποιούμενος, ὡς οὐδεὶς ἐπεσημήνατο, καταλιπὼν τὸ θέατρον ἐξῆλθεν εἰπών, ὅπου τὸ ἀδάπανον οὐ ποιεῖτε, πῶς ἐγὼ ἐλπίζω παρ' ὑμῶν ἔρανον λήψεσθαι; γυμνικοὺς δὲ ἀγῶνας, ἔφη, διατιθέτωσαν Ἠλεῖοι, Κορίνθιοι δὲ θυμελικούς, Ἀθηναῖοι δὲ σκηνικούς. εἰ δέ τις τούτων πλημμελοίη, μαστιγούσθωσαν c Λακεδαιμόνιοι· ἐπισκώπτων τὰς παρ' αὐτοῖς ἀγομένας μαστιγώσεις, ὥς φησι Χαρικλῆς ἐν τῷ πρώτῳ περὶ τοῦ ἀστικοῦ ἀγῶνος. Πτολεμαίου δὲ τοῦ βασιλέως περὶ κιθαριστικῆς πρὸς αὐτὸν διαλεγομένου φιλονεικότερον, ἕτερόν ἐστιν, εἶπεν, ὦ βασιλεῦ, σκῆπτρον, ἕτερον δὲ πλῆκτρον· ὥς φησι Καπίτων ὁ ἐποποιὸς ἐν τετάρτῳ τῶν πρὸς Φιλόπαππον ὑπομνημάτων. παρακληθεὶς δὲ ἀκοῦσαί ποτε κιθαρῳδοῦ d μετὰ τὴν ἀκρόασιν ἔφη

τῷ δ' ἕτερον μὲν ἔδωκε πατήρ, ἕτερον δ' ἀνένευσε.

καί τινος εἰπόντος τὸ ποῖον; ἔφη, κακῶς μὲν κιθαρίζειν ἔδωκεν, ᾄδειν δὲ καλῶς ἀνένευσεν. δοκοῦ δέ ποτε καταπεσούσης καὶ ἀποκτεινάσης ἕνα τῶν πονηρῶν, ἄνδρες, ἔφη, δοκῶ, εἰσὶ θεοί· εἰ δὲ μή εἰσι, δοκοὶ εἰσίν.

43. ἀναγράφει δὲ καὶ τάδε μετὰ τὰ προειρημένα τοῦ Στρατονίκου ἀπομνημονευμάτων οὕτως. Στρα-
e τόνικος πρὸς τὸν Χρυσογόνου πατέρα λέγοντα ὅτι πάντα αὐτῷ ὑπάρχει οἰκεῖα· αὐτὸς μὲν γὰρ ἐργολάβος εἶναι, τῶν δὲ υἱῶν ὃ μὲν διδάξει ὃ δὲ αὐλήσει, προσδεῖ γε, ἔφη ὁ Στρατόνικος, ἔτι ἑνός. εἰπόντος δὲ τίνος; θεατοῦ, ἔφη, οἰκείου. ἐρομένου δέ τινος ὅ τι τὴν Ἑλλάδα πᾶσαν περινοστεῖ, ἀλλ' οὐκ ἐν μιᾷ πόλει διαμένει, παρὰ τῶν Μουσῶν ἔφη εἰληφέναι τέλος τοὺς Ἕλληνας ἅπαντας, παρ' ὧν πράττεσθαι μισθὸν ἀμουσίας. τὸν Φάωνα δὲ ἔφη αὐλεῖν οὐχ Ἁρ-
f μονίαν ἀλλὰ τὸν Κάδμον. προσποιουμένου δὲ εἶναι Φάωνος αὐλητικοῦ καὶ ἔχειν φάσκοντος Μεγαροῖ χορόν, ληρεῖς, ἔφη· ἐκεῖ μὲν γὰρ οὐκ ἔχεις, ἀλλ' ἔχει. μάλιστα δὲ θαυμάζειν ἔφη τὴν τοῦ σοφιστοῦ Σατύρου μητέρα, ὅτι ὃν οὐδεμία πόλις ἐνεγκεῖν οἷα τε δέκα ἡμέρας, ἐκείνη δέκα μῆνας ἤνεγκε. πυνθανόμενος δ' ἐν Ἰλίῳ ἐπιδημεῖν αὐτὸν ἐν τοῖς Ἰλιείοις, ἀεί, ἔφησεν,
351 Ἰλίῳ κακά. Μυννακοῦ δ' αὐτῷ περὶ μουσικῆς διαμφισβητοῦντος, οὐ προσέχειν αὐτῷ ἔφη, ὅτι ἀνώτερον τοῦ σφυροῦ λέγει. τὸν δὲ φαῦλον ἰατρὸν ἀπαυθημερίζειν ἔφη ποιεῖν εἰς Ἅιδου τοὺς θεραπευομένους. ἀπαντήσας δέ τινι τῶν γνωρίμων, ὡς εἶδεν ἐσπογγισμένα τὰ ὑποδήματα καλῶς, συνηχθέσθη ὡς πράττοντι κακῶς, νομίζων οὐκ ἂν οὕτως ἐσπογγίσθαι κα-

λῶς, εἰ μὴ αὐτὸς ἐσπόγγισεν. ἐν Τειχιοῦντι δὲ τῆς Μιλήτου μιγάδων οἰκούντων, ὡς ἑώρα πάντας τοὺς τάφους ξενικοὺς ὄντας, ἀπίωμεν, ἔφη, παῖ· ἐνταῦθα γὰρ οἱ ξένοι ἐοίκασιν ἀποθνήσκειν, τῶν δ' ἀστῶν οὐδείς. Ζήθου δὲ τοῦ κιθαριστοῦ διεξιόντος περὶ μουσικῆς, μόνῳ δὴ οὐκ ἔφη προσήκειν περὶ μουσικῆς λαλεῖν, ὅς γ', ἔφη, τὸ ἀμουσότατον τῶν ὀνομάτων εἵλου, εἰ σεαυτὸν ἀντ' Ἀμφίονος Ζῆθον καλεῖς. Μακεδόνα δέ τινα κιθαρίζειν διδάσκων ἐκπικρανθεὶς ἐπὶ τῷ μηδὲν αὐτὸν ποιεῖν τῶν δεόντων, εἰς Μακεδονίαν, ἔφη.

44. πρὸς βαλανείῳ ψυχρῷ καὶ φαύλῳ κεκοσμημένον ἰδὼν ἡρῷον λαμπρῶς, ὡς ἐξῆλθε λελουμένος c
κακῶς, οὐ θαυμάζω, ἔφη, ὅτι πολλοὶ ἀνάκεινται πίνακες· ἕκαστον γὰρ τῶν λουομένων ὡς σωθέντα ἀνατιθέναι. ἐν Αἴνῳ δὲ ἔφη τοὺς μὲν ὀκτὼ μῆνας εἶναι ψῦχος, τοὺς δὲ τέτταρας χειμῶνα. τοὺς δὲ Ποντικοὺς ἐκ τοῦ πολλοῦ ἥκειν πόντου· ὥσπερ ἐκ τοῦ ὀλέθρου. τοὺς δὲ Ῥοδίους ἐκάλει λευκοὺς Κυρηναίους καὶ μνηστήρων πόλιν, τὴν δ' Ἡράκλειαν ἀνδροκόρινθον, καὶ τὸ Βυζάντιον μασχάλην τῆς Ἑλλάδος, τοὺς δὲ Λευκαδίους ἑώλους Κορινθίους, τοὺς δ' Ἀμ- d
βρακιώτας μεμβρακιώτας. ἐκ τῆς δ' Ἡρακλείας ὡς ἐξῄει τὰς πύλας καὶ περιεσκόπει, ἐρομένου τινὸς τί περισκοπεῖ, αἰσχύνεσθαι ἔφη μὴ ὀφθῇ, ὥσπερ ἐκ πορνείου ἐξιών. ἰδὼν δ' ἐν τῷ κύφωνι δεδεμένους δύο, ὡς μικροπολιτικόν, ἔφη, τὸ μὴ δύνασθαι συμπληρῶσαι. πρὸς δὲ ἁρμονικόν τινα κηπουρὸν ὄντα πρότερον ἀμφισβητοῦντ' αὐτῷ περὶ ἁρμονίας ἔφη

ἄρδοι τις ἣν ἕκαστος εἰδείη τέχνην.

ἐν Μαρωνείᾳ δὲ συμπίνων τισὶν ἐθέλειν ἔφη γνῶναι e
κατὰ τίνα τόπον ἐστὶ τῆς πόλεως, ἐὰν κατακαλύψαν-

*τες ἄγωσιν. εἶθ᾽ ὡς ἦγον καὶ ἠρώτων, κατὰ τὸ κα-
πηλεῖον, ἔφη. ὅτι καπηλεῖα ἐδόκει εἶναι ἡ Μαρώνεια.
τὸν δὲ Τηλεφάνην, ἐπεὶ ἀναφυσᾶν ἤρχετο, παρακα-
τακείμενος, ἄνω, ἔφη, ὡς οἱ ἐρυγγάνοντες. τοῦ δὲ
βαλανέως ἐν Καρδίᾳ ῥύμμα γῆν μοχθηρὰν καὶ ὕδωρ
ἁλμυρὸν παρέχοντος, πολιορκεῖσθαι ἔφη κατὰ γῆν
καὶ κατὰ θάλατταν.*

45. *νικήσας δ᾽ ἐν Σικυῶνι τοὺς ἀνταγωνιστὰς*
f *ἀνέθηκεν εἰς τὸ Ἀσκληπιεῖον τρόπαιον ἐπιγράψας*
ΣΤΡΑΤΟΝΙΚΟΣ ΑΠΟ ΤΩΝ ΚΑΚΩΣ ΚΙΘΑΡΙΖΟΝΤΩΝ.
*ᾄσαντος δέ τινος ἤρετο τίνος τὸ μέλος. εἰπόντος δ᾽
ὅτι Καρκίνου, πολύ γε μᾶλλον, ἔφη, ἢ ἀνθρώπου. ἐν
Μαρωνείᾳ δ᾽ ἔφη οὐ γίνεσθαι ἔαρ, ἀλλ᾽ ἀλέαν. ἐν
Φασήλιδι δὲ πρὸς τὸν παῖδα διαμφισβητοῦντος τοῦ
βαλανέως περὶ τοῦ ἀργυρίου· ἦν γὰρ νόμος πλείονος*
352 *λούειν τοὺς ξένους· ὦ μιαρέ, ἔφη, παῖ, παρὰ χαλ-
κοῦν με μικροῦ Φασηλίτην ἐποίησας. πρὸς δὲ τὸν
ἐπαινοῦντα ἵνα λάβῃ τί, αὐτὸς ἔφη μείζων εἶναι πτω-
χός. ἐν μικρᾷ δὲ πόλει διδάσκων ἔφη, αὕτη οὐ πόλις
ἐστίν, ἀλλὰ μόλις. ἐν Πέλλῃ δὲ πρὸς φρέαρ προσελ-
θὼν ἠρώτησεν εἰ πότιμόν ἐστιν. εἰπόντων δὲ τῶν
ἱμώντων, ἡμεῖς γε τοῦτο πίνομεν· οὐκ ἄρ᾽, ἔφη, πό-
τιμόν ἐστιν. ἐτύγχανον δὲ οἱ ἄνθρωποι χλωροὶ ὄντες.
ἐπακούσας δὲ τῆς Ὠδῖνος τῆς Τιμοθέου, εἰ δ᾽ ἐργο-
λάβον, ἔφη, ἔτικτε καὶ μὴ θεόν, ποίας ἂν ἠφίει φω-*
b *νάς; Πολυΐδου δὲ σεμνυνομένου ὡς ἐνίκησε Τιμό-
θεον ὁ μαθητὴς αὐτοῦ Φιλωτᾶς, θαυμάζειν ἔφη, εἰ
ἀγνοεῖ ὅτι αὐτὸς μὲν ψηφίσματα ποιεῖ, Τιμόθεος δὲ
νόμους. πρὸς Ἄρειον δὲ τὸν ψάλτην ὀχλοῦντά τι αὐ-
τόν, ψάλλ᾽ ἐς κόρακας, ἔφη. ἐν Σικυῶνι δὲ πρὸς
νακοδέψην γεγενημένον, ἐπεὶ ἐλοιδορεῖτό τι αὐτῷ
καὶ κακόδαιμον ἔφη, νακόδαιμον ἔφη. τοὺς δὲ Ῥο-*

δίους ὁ αὐτὸς Στρατόνικος σπαταλῶνας καὶ θερμοπότας θεωρῶν ἔφη αὐτοὺς λευκοὺς εἶναι Κυρηναίους. καὶ αὐτὴν δὲ τὴν Ῥόδον ἐκάλει μνηστήρων πόλιν, χρώματι μὲν [εἰς ἀσωτίαν] διαλάττειν ἐκείνων c ἡγούμενος αὐτούς, ὁμοιότητι δ᾽ εἰς καταφέρειαν ἡδονῆς [τὴν πόλιν μνηστήρων] εἰκάζων.

46. ζηλωτὴς δὲ τῶν εὐτραπέλων λόγων τούτων ἐγένετο ὁ Στρατόνικος Σιμωνίδου τοῦ ποιητοῦ, ὥς φησιν Ἔφορος ἐν δευτέρῳ περὶ εὑρημάτων, φάσκων καὶ Φιλόξενον τὸν Κυθήριον περὶ τὰ ὅμοια ἐσπουδακέναι. Φανίας δ᾽ ὁ περιπατητικὸς ἐν δευτέρῳ περὶ ποιητῶν ʻΣτρατόνικος (φησὶν) ὁ Ἀθηναῖος δοκεῖ τὴν πολυχορδίαν εἰς τὴν ψιλὴν κιθάρισιν πρῶτος εἰσενεγκεῖν, καὶ πρῶτος μαθητὰς τῶν ἁρμονικῶν ἔλαβε καὶ διάγραμμα συνεστήσατο. ἦν δὲ καὶ ἐν τῷ γελοίῳ d οὐκ ἀπίθανος.᾽ φησὶ δὲ καὶ τελευτῆσαι αὐτὸν διὰ τὴν ἐν τῷ γελοίῳ παρρησίαν ὑπὸ Νικοκλέους τοῦ Κυπρίων βασιλέως φάρμακον πιόντα, διὰ τὸ σκώπτειν αὐτοῦ τοὺς υἱούς.

47. τοῦ δ᾽ Ἀριστοτέλους τεθαύμακα, ὃν πολυθρύλητον πεποιήκασιν οἱ σοφοὶ οὗτοι, καλέ μου Δημόκριτε, καὶ εἰ τῶν λόγων αὐτοῦ πρεσβεύεις, ὡς καὶ τῶν ἄλλων φιλοσόφων τε καὶ ῥητόρων, τῆς ἀκριβείας, πότε μαθὼν ἢ παρὰ τίνος ἀνελθόντος ἐκ τοῦ βυθοῦ Πρωτέως ἢ Νηρέως, τί ποιοῦσιν οἱ ἰχθύες, ἢ πῶς e κοιμῶνται, ἢ πῶς διαιτῶνται. τοιαῦτα γὰρ συνέγραψεν, ὡς εἶναι κατὰ τὸν κωμῳδιοποιὸν θαύματα μωροῖς. φησὶ γὰρ ὅτι κήρυκες μὲν καὶ πάντα τὰ ὀστρακόδερμα ἀνόχευτον αὐτῶν ἐστι τὸ γένος, καὶ ὅτι ἡ πορφύρα καὶ ὁ κῆρυξ μακρόβια. ζῆν γὰρ τὴν πορφύραν ἔτη ἕξ, πόθεν αὐτῷ εἰδέναι; καὶ ὅτι ἐπὶ πλεῖστον χρόνον ἐν ὀχείᾳ γίνεται ἡ ἔχιδνα· καὶ ὅτι μέγιστόν

f ἐστιν ἡ φάττα, δεύτερον δὲ ἡ οἰνάς, ἐλάχιστον δὲ ἡ
τρυγών. πόθεν δ' ὅτι ὁ μὲν ἄρρην ἵππος ζῇ ἔτη πέντε
καὶ τριάκοντα, ἡ δὲ θήλεια πλείω τῶν τεσσαράκοντα;
βιῶναι φήσας τινὰ καὶ ἑβδομήκοντα πέντε. ἱστορεῖ
δὲ ὅτι καὶ ἐκ τῆς τῶν φθειρῶν ὀχείας αἱ κόνιδες γεν-
νῶνται, καὶ ὅτι ἐκ τοῦ σκώληκος μεταβάλλοντος γί-
νεται κάμπη, ἐξ ἧς βομβυλιός, ἀφ' οὗ ὁ νεκύδαλλος
ὀνομαζόμενος. ἀλλὰ μὴν καὶ τὰς μελίσσας βιοῦν φησὶ
μέχρι ἐτῶν ἕξ, τινὰς δὲ καὶ ἑπτά. οὐκ ὦφθαι δέ φη-
353 σιν οὔτε μέλισσαν οὔτε κηφῆνα ὀχεύοντας, ὅθεν οὐκ
εἶναι διιδεῖν πότερα αὐτῶν ἄρρενα ἢ θήλεα. πόθεν
δὲ ὅτι οἱ ἄνθρωποι ἥσσονες μελισσῶν; ἀεὶ γὰρ αὗται
τὴν ἰσότητα τοῦ βίου τηροῦσιν, οὐ μεταβαλλόμεναι
ἀλλ' ἀγείρουσαι καὶ ἀδιδάκτως ποιοῦσαι· οἱ δ' ἄν-
θρωποι ἥσσονες μελισσῶν καὶ πλήρεις οἰήσεως, ὡς
ἐκεῖναι μέλιτος· πόθεν διετήρησεν; ἐν δὲ τῷ περὶ
μακροβιότητός φησιν ὅτι ὦπταί τις μυῖα ἔτη ἓξ ἢ ἑπτὰ
ζήσασα. τίς γὰρ τούτων ἡ ἀπόδειξις;

48. ποῦ δὲ εἶδεν ἐκ κέρατος ἐλάφου κισσὸν ἀνα-
φύντα; γλαῦκες δέ, φησί, καὶ κόρακες ἡμέρας ἀδυ-
b νατοῦσι βλέπειν· διὸ νύκτωρ τὴν τροφὴν ἑαυτοῖς
θηρεύουσι, καὶ οὐ πᾶσαν νύκτα, ἀλλὰ τὴν ἀρχέσπε-
ρον. καὶ τὰς ἰδέας δὲ τῶν ὀφθαλμῶν αὐτῶν οὐκ ἐμ-
φερεῖς εἶναι. τοῖς μὲν γὰρ γλαυκαί, τοῖς δὲ μέλαιναι,
τοῖς δὲ χαροποί. ἀνθρώποις δ' ὅτι παντοῖος ὁ ὀφθαλ-
μός, ἠθῶν τε διαφορὰς εἶναι περὶ τοὺς ὀφθαλμοὺς
λέγει· τοὺς μὲν γὰρ αἰγωποὺς τῶν ἀνθρώπων πρὸς
ὀξύτητα μὲν ὄψεως εὖ πεφυκέναι, τὰ δ' ἤθη βελτί-
στους εἶναι. καὶ τῶν ἄλλων τοὺς μὲν ἐκτὸς ἔχειν τοὺς
c ὀφθαλμούς, τοὺς δὲ ἐντός, ἄλλους δὲ μέσως. καὶ τοὺς
μὲν ἐντὸς ὀξυωπεστάτους εἶναι, τοὺς δὲ ἐκτὸς κακοη-
θεστάτους· οἱ δὲ μέσως, φησίν, ἔχοντες ἐπιεικεῖς.

εἶναι δέ τινας καὶ σκαρδαμυκτικούς, τοὺς δ' ἀτενεῖς,
τοὺς δὲ μέσους· ἀναιδεῖς δ' εἶναι τοὺς σκαρδαμυκτι-
κούς, ἀβεβαίους δ' εἶναι τοὺς ἀτενεῖς· τοὺς δὲ μέ-
σους βελτίστων ἠθῶν. μόνον τε ἄνθρωπον τῶν ζῴων
τὴν καρδίαν ἔχειν ἐν τοῖς ἀριστεροῖς μέρεσι, τὰ δ'
ἄλλα ζῷα ἐν τῷ μέσῳ. καὶ τοὺς ἄρρενας τῶν θηλειῶν
πλείονας ὀδόντας ἔχειν. τετηρῆσθαι δέ φησι τοῦτο
καὶ ἐπὶ προβάτου καὶ ἐπὶ συὸς καὶ ἐπὶ αἰγός. τῶν δὲ
ἰχθύων οὐδένα γεννᾶσθαι ὄρχεις ἔχοντα. μαστοὺς δὲ d
οὔτ' ἰχθὺν ἔχειν οὔτε ὄρνιθας. δελφῖνα δὲ μόνον οὐκ
ἔχειν χολήν. ἔνιοι δέ, φησίν, ἐπὶ μὲν τῷ ἥπατι οὐκ
ἔχουσι χολήν, ἀλλὰ πρὸς τοῖς ἐντέροις, ὡς ἔλοψ καὶ
συναγρὶς καὶ σμύραινα καὶ ξιφίας καὶ χελιδών. ἡ δὲ
ἀμία παρ' ὅλον τὸ ἔντερον παρατεταμένην ἔχει τὴν
χολήν· ἱέραξ δὲ καὶ ἰκτῖνος πρὸς τῷ ἥπατι καὶ τοῖς
ἐντέροις· ὁ δὲ αἰγοκέφαλος πρὸς τῷ ἥπατι καὶ τῇ κοι-
λίᾳ· περιστερὰ δὲ καὶ ὄρτυξ καὶ χελιδὼν οἱ μὲν πρὸς
τοῖς ἐντέροις, οἱ δὲ πρὸς τῇ κοιλίᾳ.

49. τὰ δὲ μαλακόδερμά φησι καὶ τὰ ὀστρακό- e
δερμα καὶ τὰ σελαχώδη καὶ τὰ ἔντομα πλείονα χρόνον
ὀχεύειν. δελφῖνα δὲ καί τινας τῶν ἰχθύων παρακα-
τακλινομένους ὀχεύειν, καὶ εἶναι τῶν μὲν δελφίνων
βραδεῖαν τὴν μίξιν, τῶν δὲ ἰχθύων ταχεῖαν. ἔτι ὁ
λέων, φησί, στερέμνια ἔχει τὰ ὀστᾶ καὶ κοπτομένων
αὐτῶν ὥσπερ ἐκ τῶν λίθων πῦρ ἐκλάμπει. δελφὶς δὲ
ὀστᾶ μὲν ἔχει καὶ οὐκ ἄκανθαν, τὰ δὲ σελάχη καὶ
χόνδρον καὶ ἄκανθαν. τῶν δὲ ζῴων τὰ μὲν εἶναι χερ-
σαῖα, τὰ δὲ ἔνυδρα, τὰ δὲ πυριγενῆ. εἶναι δέ τινα
καὶ ἐφήμερα καλούμενα, ἃ μίαν μόνην ἡμέραν ζῆν. f
τὰ δὲ ἀμφίβια εἶναι, ὡς τὸν ποτάμιον ἵππον καὶ κρο-
κόδειλον καὶ ἔνυδριν. πάντα τε τὰ ζῷα δύο ἡγεμόνας
ἔχειν πόδας, καρκίνον δὲ τέσσαρας. ὅσα δ' ἔναιμά

ἐστι, φησί, τῶν ζῴων, ἢ ἄποδά ἐστιν ἢ δίποδα ἢ τετράποδα· ὅσα δὲ τῶν τεσσάρων πλείονας ἔχει πόδας ἄναιμά ἐστι. διὸ καὶ πάντα τὰ κινούμενα τέτταρσι σημείοις κινεῖται· ἄνθρωπος μὲν δύο ποσὶ καὶ χερσὶ δύο, ὄρνις δὲ δύο ποσὶ καὶ δύο πτέρυξιν, ἔγχελυς καὶ 354 γόγγρος δύο πτερυγίοις καὶ δύο καμπαῖς. ἔτι τῶν ζῴων τὰ μὲν ἔχει χεῖρας, ὡς ἄνθρωπος· τὰ δὲ δοκεῖ, ὡς πίθηκος. οὐδὲν γὰρ τῶν ἀλόγων ζῴων δίδωσι καὶ λαμβάνει, πρὸς ἅπερ αἱ χεῖρες ὄργανα δέδονται. πάλιν τῶν ζῴων τὰ μὲν ἄρθρα ἔχει, ὡς ἄνθρωπος, ὄνος, βοῦς, τὰ δὲ ἄναρθρά ἐστιν, οἷον ὄφεις, ὄστρεα, πλεύμονες. πολλά τε τῶν ζῴων οὐ κατὰ πᾶσαν ὥραν φαίνεται, οἷον τὰ φωλεύοντα. καὶ ὅσα δὲ μὴ φωλεύει, οὐκ ἀεὶ φαίνεται, οἷον χελιδόνες καὶ πελαργοί.

50. πολλὰ δὲ ἔχων ἔτι λέγειν περὶ ὧν ἐλήρησεν b ὁ φαρμακοπώλης παύομαι, καίτοι εἰδὼς καὶ Ἐπίκουρον τὸν φιλαληθέστατον ταῦτ' εἰπόντα περὶ αὐτοῦ ἐν τῇ περὶ ἐπιτηδευμάτων ἐπιστολῇ, ὅτι καταφαγὼν τὰ πατρῷα ἐπὶ στρατείαν ὥρμησε, καὶ ὅτι ἐν ταύτῃ κακῶς πράττων ἐπὶ τὸ φαρμακοπωλεῖν ἦλθεν· εἶτα ἀναπεπταμένου τοῦ Πλάτωνος περιπάτου, φησί, παραβαλὼν ἑαυτὸν προσεκάθισε τοῖς λόγοις, οὐκ ὢν ἀφυής. καὶ κατὰ μικρὸν εἰς τὴν θεωρουμένην ἐξῆλθεν. οἶδα δὲ ὅτι ταῦτα μόνος Ἐπίκουρος εἴρηκε κατ' c αὐτοῦ, οὔτε δ' Εὐβουλίδης, ἀλλ' οὐδὲ Κηφισόδωρος τοιοῦτόν τι ἐτόλμησεν εἰπεῖν κατὰ τοῦ Σταγειρίτου, καίτοι καὶ συγγράμματα ἐκδόντες κατὰ τἀνδρός. ἐν δὲ τῇ αὐτῇ ἐπιστολῇ ὁ Ἐπίκουρος καὶ Πρωταγόραν φησὶ τὸν σοφιστὴν ἐκ φορμοφόρου καὶ ξυλοφόρου πρῶτον μὲν γενέσθαι γραφέα Δημοκρίτου· θαυμασθέντα δ' ὑπ' ἐκείνου ἐπὶ ξύλων τινῶν ἰδίᾳ συνθέσει ἀπὸ ταύτης τῆς ἀρχῆς ἀναληφθῆναι ὑπ' αὐτοῦ,

καὶ διδάσκειν ἐν κώμῃ τινὶ γράμματα, ἀφ᾽ ὧν ἐπὶ τὸ σοφιστεύειν ὁρμῆσαι. κἀγὼ δέ, ἄνδρες συνδαιταλεῖς, d ἀπὸ τῶν πολλῶν τούτων λόγων τὴν ὁρμὴν ἔχω ἐπὶ τὸ ἤδη γαστρίζεσθαι. εἰπόντος οὖν τινος ἔτι παρασκευάζεσθαι τοὺς μαγείρους διὰ τὴν πολλὴν τῶν λόγων ἑστίασιν, ἵνα μὴ ψυχρὰ παρατιθῶσιν (οὐδεὶς γὰρ ἂν φάγοι ψυχρῶν), ὁ Κύνουλκος ἔφη, κατὰ τὸν Ἀλέξιδος τοῦ κωμῳδιοποιοῦ Μίλκωνα, ἐγώ, φησί,

κἂν μὴ παραθῶσι θερμά. τἀγαθὸν Πλάτων
ἁπανταχοῦ φησ᾽ ἀγαθὸν εἶναι. μανθάνεις;
τὸ δ᾽ ἡδὺ πάντως ἡδύ, κἀκεῖ κἀνθάδε.

οὐκ ἀχαρίτως δὲ καὶ Σφαῖρον, τὸν συσχολάσαντα e μὲν Χρυσίππῳ παρὰ Κλεάνθει, μετάπεμπτον δὲ γενόμενον εἰς Ἀλεξάνδρειαν ὑπὸ τοῦ βασιλέως Πτολεμαίου, κηρίνων ποτὲ ἐν τῷ δείπνῳ παρατεθεισῶν ὀρνίθων, ἐκτείναντα τὰς χεῖρας ἐπισχεθῆναι ὑπὸ τοῦ βασιλέως, ὡς ψεύδει συγκατατιθέμενον. τὸν δ᾽ εὐστόχως ἀποφήνασθαι εἰπόντα οὐ τούτῳ συγκατατίθεσθαι, ὅτι εἰσὶν ὄρνεις, ἀλλ᾽ ὅτι εὔλογόν ἐστι ταύτας ὄρνεις εἶναι. διαφέρειν δὲ τὴν καταληπτικὴν φαντασίαν τοῦ εὐλόγου· τὴν μὲν γὰρ ἀδιάψευστον f εἶναι, τὸ δ᾽ εὔλογον ἄλλως ἀποβαίνειν. καὶ ἡμῖν οὖν κατὰ τὴν καταληπτικὴν φαντασίαν καὶ τῶν κηρίνων περιενεχθήτω, ἵνα κἂν κατὰ τὴν ὄψιν πλανᾶσθαι δυνώμεθα, ἵνα μὴ πάντα λαλῶμεν.

51. Καὶ μελλόντων ἤδη δειπνεῖν ἐπισχεῖν ἐκέ- 355 λευσεν ὁ Δάφνος, ἐπειπὼν τὸ ἐκ Μαμμακύθου Ἀρισταγόρου ἢ Αὐρῶν Μεταγένους ἰαμβεῖον

ὥσπερ ἐπειδὰν δειπνῶμέν που, τότε πλεῖστα
λαλοῦμεν ἅπαντες.

κἀγώ φημι ἐνδεῶς εἰρῆσθαι τὸν περὶ ἰχθύων λόγον, πολλὰ εἰρηκότων καὶ Ἀσκληπιαδῶν παίδων, Φιλοτί-

μου λέγω ἐν τοῖς περὶ τροφῆς καὶ Μνησιθέου τοῦ
Ἀθηναίου, ἔτι δὲ Διφίλου τοῦ Σιφνίου. οὗτος γὰρ
ἐν τῷ ἐπιγραφομένῳ περὶ τῶν προσφερομένων τοῖς
νοσοῦσι καὶ τοῖς ὑγιαίνουσι φησὶν ὅτι τῶν θαλασ-
b σίων ἰχθύων οἱ μὲν πετραῖοί εἰσιν εὔφθαρτοι εὔχυλοι
σμηκτικοὶ κοῦφοι ὀλιγότροφοι, οἱ δὲ πελάγιοι δυσ-
φθαρτότεροι πολύτροφοι δυσοικονόμητοι. καὶ τῶν
πετραίων ὁ φυκὴν καὶ ἡ φυκὶς ἁπαλώτατα ἰχθύδια
ὄντα ἄβρωμα καὶ εὔφθαρτά ἐστιν, ἡ δὲ πέρκη τούτοις
προσεοικυῖα κατὰ τόπους ὀλίγῳ διαλλάττει. οἱ δὲ
κωβιοὶ ἀναλογοῦσι τῇ πέρκῃ· ὧν οἱ μικροὶ καὶ οἱ
λευκοὶ ἁπαλοί εἰσιν ἄβρωμοι εὔχυλοι εὔπεπτοι· οἱ
c δὲ χλωροί, καλοῦνται δὲ καυλῖναι, ξηροί εἰσι καὶ ἀλι-
πεῖς. αἱ δὲ χάνναι ἁπαλόσαρκοι, σκληρότεροι δὲ τῆς
πέρκης. ὁ δὲ σκάρος ἁπαλόσαρκος ψαθυρὸς γλυκὺς
κοῦφος εὔπεπτος εὐανάδοτος εὐκοίλιος. τούτων δ᾽
ὁ πρόσφατος ὕποπτος, ἐπειδὴ τοὺς θαλαττίους λαγὼς
θηρεύοντες σιτοῦνται· διὸ καὶ τὰ ἐντὸς χολέρας
ποιητικὰ ἔχει. ἡ δὲ καλουμένη κηρὶς ἁπαλόσαρκος
εὐκοίλιος εὐστόμαχος· ὁ δὲ χυλὸς αὐτῆς παχύνει καὶ
d σμήχει. ὀρφὸς ἢ ὀρφὼς εὔχυλος πολύχυλος γλίσχρος
δύσφθαρτος πολύτροφος οὐρητικός. τὰ δὲ πρὸς τῇ
κεφαλῇ αὐτοῦ γλίσχρα εὔπεπτα, τὰ δὲ σαρκώδη
δύσπεπτα βαρύτερα· ἁπαλώτερον δὲ τὸ οὐραῖον·
φλέγματος δ᾽ ἐστὶ δραστικὸς ὁ ἰχθὺς καὶ δύσπεπτος.
αἱ δὲ σφύραιναι τῶν γόγγρων εἰσὶ τροφιμώτεραι. ἡ
δὲ λιμναία ἔγχελυς τῆς θαλασσίας ἐστὶν εὐστομωτέρα
καὶ πολυτροφωτέρα. τῷ δὲ μελανούρῳ ἀναλογεῖ ὁ
χρύσοφρυς. σκορπίοι δὲ οἱ πελάγιοι καὶ κιρροὶ τρο-
e φιμώτεροι τῶν τεναγωδῶν τῶν ἐν τοῖς αἰγιαλοῖς τῶν
μεγάλων.᾽

52. σπάρος δὲ δριμὺς ἁπαλόσαρκος ἄβρωμος εὐστόμαχος οὐρητικὸς οὐκ ἄπεπτος, ταγηνιστὸς δὲ δύσπεπτος. τρίγλη εὐστόμαχος παραστύφουσα σκληρόσαρκος δύσφθαρτος ἐφεκτικὴ κοιλίας, καὶ μάλιστα ἡ ἐξ ἀνθράκων· ἡ δὲ ἀπὸ τηγάνου βαρεῖα καὶ δύσπεπτος, κοινῶς δὲ πᾶσα αἵματος ἐκκριτική. συνόδους καὶ χάραξ τοῦ μὲν αὐτοῦ γένους εἰσί, διαφέρει δ' ὁ χάραξ. φάγρος γίνεται μὲν καὶ ποτάμιος, καλλίων δ' f ἐστὶν ὁ θαλάττιος. καπρίσκος καλεῖται μὲν καὶ μῦς, βρωμώδης δ' ἐστὶ καὶ σκληρός, κιθάρου δ' ἐστὶ δυσπεπτότερος· δέρμα δὲ ἔχει εὔστομον. ῥαφὶς ἢ βελόνη, καλεῖται δὲ καὶ ἀβλεννής, δύσπεπτος ὑγρὸς εὐκοίλιος. θρίσσα καὶ τὰ ὁμογενῆ, χαλκὶς καὶ ἐρίτιμος, εὐανάδοτος. κεστρεὺς δὲ γίνεται μὲν καὶ θαλάσσιος καὶ λιμναῖος καὶ ποτάμιος. οὗτος δέ, φησί, καλεῖται καὶ ὀξύρυγχος· κορακῖνος δ' ὁ ἐκ τοῦ Νείλου. ἧττων 356 δ' ὁ μέλας τοῦ λευκοῦ καὶ ὁ ἑφθὸς τοῦ ὀπτοῦ· οὗτος γὰρ καὶ εὐστόμαχος καὶ εὐκοίλιος. σάλπη σκληρὰ ἄστομος. κρείσσων δὲ ἐν Ἀλεξανδρείᾳ καὶ ἡ ἐν τῷ φθινοπώρῳ γινομένη· ὑγρόν τι γὰρ καὶ λευκόν, ἔτι δὲ καὶ ἄβρωμον ἀνίησιν. ὁ γρύλλος ὅμοιος μέν ἐστιν ἐγχέλει, ἄστομος δέ. ὁ δὲ ἱέραξ σκληροσαρκότερος μὲν κόκκυγος, τοῖς δ' ἄλλοις ὅμοιος· καὶ ὁ κόραξ ἱέρακος σκληρότερος. οὐρανοσκόπος δὲ καὶ ὁ ἅγνος καλούμενος ἢ καὶ καλλιώνυμος, βαρεῖς. βῶξ b δὲ ἑφθὸς εὔπεπτος, εὐανάδοτον ὑγρὸν ἀνιείς, εὐκοίλιος· ὁ δ' ἀπ' ἀνθράκων γλυκύτερος καὶ ἁπαλώτερος. βάκχος εὔχυλος πολύχυλος εὔτροφος. τράγος οὐκ εὔχυλος ἄπεπτος βρωμώδης. ψῆτται βούγλωσσοι εὔτροφοι καὶ ἡδεῖαι. τούτοις ἀναλογεῖ καὶ ὁ ῥόμβος. λευκίσκοι κέφαλοι κεστρεῖς μυξῖνοι χελλῶνες ὅμοιοί εἰσι κατὰ τὴν προσφοράν, τοῦ δὲ κεφάλου κατα-

δεέστερός ἐστιν ὁ κεστρεύς, ἥσσων δὲ ὁ μυξῖνος, τελευταῖος ὁ χελλών.'

53. 'θυννὶς δὲ καὶ θύννος βαρεῖς καὶ πολύτροφοι. ὁ δὲ καλούμενος ἀκαρνὰν γλυκύς ἐστι καὶ παρα- c στύφων, τρόφιμος δὲ καὶ εὐέκκριτος. ἡ δὲ ἀφύη βαρεῖά ἐστι καὶ δύσπεπτος· ὧν ἡ λευκὴ καλεῖται κωβῖτις. καὶ ὁ ἑψητὸς δέ, τὸ μικρὸν ἰχθύδιον, τοῦ αὐτοῦ γένους ἐστί. τῶν δὲ σελαχίων ὁ μὲν βοῦς κρεώδης, ὁ δὲ γαλεὸς κρείσσων ὁ ἀστερίας λεγόμενος· ὁ δὲ ἀλωπεκίας ὅμοιός ἐστι τῇ γεύσει τῷ χερσαίῳ ζῴῳ, διὸ καὶ τοὐνόματος ἔτυχε. καὶ ἡ βατὶς δὲ εὔστομος, ἡ δὲ ἀστερία βατὶς ἁπαλωτέρα καὶ εὔχυλος· ὁ δὲ λειόβατος δυσκοιλιώτερος καὶ βρωμώδης. ἡ δὲ νάρκη δύσ- d πεπτος οὖσα τὰ μὲν κατὰ τὴν κεφαλὴν ἁπαλά τε καὶ εὐστόμαχα ἔχει ἔτι δὲ εὔπεπτα, τὰ δ' ἄλλα οὔ. κρείττονες δέ εἰσιν αἱ μικραί, καὶ μάλιστα αἱ λιτῶς ἑψόμεναι. ἡ δὲ ῥίνη καὶ αὐτὴ τῶν σελαχίων οὖσα εὔπεπτός ἐστι καὶ κούφη· ἡ δὲ μείζων καὶ τροφιμωτέρα. κοινῶς δὲ πάντα τὰ σελάχια φυσώδη ἐστὶ καὶ κρεώδη καὶ δυσκατέργαστα, πλεοναζόμενά τε τὰς ὄψεις ἀμβλύνει. ἡ δὲ σηπία καὶ ἑψομένη μὲν ἁπαλὴ καὶ εὔστομος καὶ εὔπεπτος, ἔτι δ' εὐκοίλιος· ὁ δ' ἀπ' αὐτῆς χυλὸς λεπτυντικός ἐστιν αἵματος καὶ κινητικὸς τῆς δι' αἱμορ- e ροΐδων ἐκκρίσεως. τευθὶς δὲ εὐπεπτοτέρα καὶ τρόφιμος, καὶ μᾶλλον ἡ μικρά· ἡ δὲ ἑφθὴ σκληροτέρα ἐστὶ καὶ οὐκ εὔστομος. ὁ δὲ πῶλυψ συνεργεῖ μὲν ἀφροδισίοις, σκληρὸς δέ ἐστι καὶ δύσπεπτος, ὁ δὲ μείζων τροφιμώτερος. παρυγραίνει δὲ καὶ κοιλίαν ἑψόμενος ἐπὶ πλεῖον καὶ τὸν στόμαχον ἵστησιν. ἐμφανίζει δὲ καὶ Ἄλεξις ἐν Παμφίλῃ τοῦ πουλύποδος τὸ χρήσιμον λέγων ὧδε

ἐρῶντι δέ, Κτήσων, τί μᾶλλον συμφέρει

ὧν νῦν φέρων πάρειμι, κήρυκας κτένας
βολβοὺς μέγαν τε πουλύπουν ἰχθῦς θ' ἁδρούς. f

'ἡ δὲ πηλαμὺς πολύτροφος μέν ἐστι καὶ βαρεῖα, οὐρητικὴ δὲ καὶ δύσπεπτος· ταριχευθεῖσα δὲ κυβίῳ ὁμοίως εὐκοίλιος καὶ λεπτυντική. ἡ δὲ μείζων συνοδοντὶς καλεῖται. ἀναλογῶν μέντοι ὁ χελιδονίας τῇ πηλαμύδι σκληρότερός ἐστιν. ἡ δὲ χελιδὼν ἡ τῷ πουλύπῳ ἐοικυῖα ἔχει τὸ ἀφ' αὑτῆς ὑγρὸν εὔχροιαν ποιοῦν καὶ κινοῦν αἷμα. ὁ δὲ ὄρκυνος βορβορώδης· 357 καὶ ὁ μείζων προσέοικε τῷ χελιδονίᾳ κατὰ τὴν σκληρότητα· τὰ δὲ ὑπογάστρια αὐτοῦ καὶ ἡ κλεὶς εὔστομα καὶ ἁπαλά. οἱ δὲ κοσταὶ λεγόμενοι ταριχευθέντες εἰσὶ μέσοι. ξανθίας δ' ἐπὶ ποσὸν βρωμώδης ἐστὶ καὶ ἁπαλώτερος τοῦ ὀρκύνου.' ταῦτα μὲν οὖν ὁ Δίφιλος εἴρηκεν.

54. ὁ δὲ Ἀθηναῖος Μνησίθεος ἐν τῷ περὶ ἐδεστῶν τῶν μειζόνων φησὶν ἰχθύων γένος ὑφ' ὧν μὲν καλεῖσθαι τμητόν, ὑπ' ἄλλων δὲ πελάγιον, οἷον χρυσόφρυς καὶ γλαύκους καὶ φάγρους. 'εἰσὶ δὲ δυσκατέρ- b γαστοι· κατεργασθέντες δὲ πολλαπλασίαν τροφὴν παρέχουσι. τὸ δὲ τῶν λεπιδωτῶν γένος, οἷον θύννων σκόμβρων θυννίδων γόγγρων καὶ τῶν τοιούτων συμβαίνει τούτοις καὶ ἀγελαίοις εἶναι. τὰ μὲν οὖν μήτε καθ' αὑτὰ φαινόμενα μήτ' ἐν ταῖς ἀγέλαις ἐκφερόμενα μᾶλλόν ἐστιν εὔπεπτα, οἷον γόγγροι καὶ καρχαρίαι καὶ τὰ τοιαῦτα. τὰ δὲ ἀγελαῖα γένη τῶν ἰχθύων τούτων τὴν μὲν ἐδωδὴν ἡδεῖαν ἔχει (πίονα γάρ ἐστι) βαρεῖαν δὲ καὶ δυσκατέργαστον. διὸ καὶ ταριχεύεσθαι δύναται μάλιστα καὶ ἔστι τῶν ταριχηρῶν βέλτιστα γένη ταῦτα. χρήσιμοι δ' εἰσὶν ὀπτοί· c τήκεται γὰρ τὸ πιμελῶδες αὐτῶν. τὰ δὲ καλούμενα δαρτὰ τὸ μὲν ὅλον ἐστὶν ὅσα τραχεῖαν ἔχει τὴν ἐπί-

φυσιν τοῦ δέρματος, οὐ λεπίσιν, ἀλλ' οἷον ἔχουσιν αἱ βατίδες καὶ ῥῖναι. ταῦτα δὲ πάντα ἐστὶ μὲν εὔθρυπτα, οὐκ εὐώδη δέ, καὶ τροφὰς ἐμποιεῖ τοῖς σώμασιν ὑγράς, ὑπάγει δὲ καὶ τὰς κοιλίας μάλιστα πάντων τῶν ἑψομένων ἰχθύων. τὰ δὲ ὀπτώμενα χείρονα. τὸ δὲ τῶν μαλακίων γένος, οἷα πουλυπόδων τε καὶ σηπιῶν καὶ τῶν τοιούτων, τὴν μὲν σάρκα δύσπεπτον
d ἔχει· διὸ καὶ πρὸς ἀφροδισιασμοὺς ἁρμόττουσιν. αὐτοὶ μὲν γάρ εἰσι πνευματώδεις, ὁ δὲ τῶν ἀφροδισιασμῶν καιρὸς πνευματώδους προσδεῖται διαθέσεως. βελτίω δὲ ταῦτα γίνεται ἑψηθέντα. τὰς γὰρ ὑγρότητας ἔχει πονηράς· ἰδεῖν γοῦν ἔστιν οἵας ἀφίησι πλυνόμενα. ταύτας οὖν ἡ ἕψησις ἐκκαλεῖται τῆς σαρκός. μαλακῆς γὰρ τῆς πυρώσεως καὶ μεθ' ὑγροῦ διδομένης οἱονεὶ πλύσις τις αὐτῶν γίνεται. τὰ δ' ὀπτώμενα καταξηραίνει τὰς ὑγρότητας· ἔτι δὲ καὶ τῆς σαρκὸς
e αὐτῶν φύσει σκληρᾶς οὔσης κατὰ λόγον οὕτως ἔχει γίγνεσθαι αὐτά.'

55. 'ἀφύαι δὲ καὶ μεμβράδες καὶ τριχίδες καὶ τἆλλα ὅσων συγκατεσθίομεν τὰς ἀκάνθας, ταῦτα πάντα τὴν πέψιν φυσώδη ποιεῖ, τὴν δὲ τροφὴν δίδωσιν ὑγράν. τῆς οὖν πέψεως οὐχ ὁμαλιζούσης, ἀλλὰ τῶν μὲν σαρκῶν ἄγαν ταχὺ πεττομένων, τῆς δὲ ἀκάνθης σχολῇ διαλυομένης· καὶ γὰρ ἅμα αἱ ἀφύαι καθ' αὑτὰς ἀκανθώδεις· ἐμποδισμὸς αὐτῶν ἑκατέρου γίνεται περὶ τὴν κατεργασίαν, εἶτα φῦσαι μὲν ἀπὸ τῆς πέψεως, ὑγρασίαι δὲ ἀπὸ τῆς τροφῆς συμβαίνουσι.
f βελτίω δ' ἐστὶν ἑψόμενα, τῆς δὲ κοιλίας ἐστὶν ἀνωμάλως ὑπακτικά. τὰ δὲ καλούμενα πετραῖα, κωβιοὶ καὶ σκορπίοι καὶ ψῆτται καὶ τὰ ὅμοια, τοῖς τε σώμασιν ἡμῶν ξηράν τε δίδωσι τροφήν, εὔογκα δ' ἐστὶ καὶ τρόφιμα καὶ πέττεται ταχέως καὶ οὐκ ἐγκαταλεί-

πει περιττώματα πολλά, πνευμάτων τε οὐκ ἔστι περιποιητικά. γίνεται δ' εὐπεπτότερον ἅπαν ὄψον ταῖς σκευασίαις ἁπλῶς ἀρτυθέν· τὰ δὲ πετραῖα καὶ τῇ ἡδονῇ [διαφέρει] ἁπλῶς σκευασθέντα. τούτοις δ' ὅμοιόν ἐστι γένος τὸ καλούμενον μαλακόσαρκον, κίχλαι καὶ κόσσυφοι καὶ τὰ ὅμοια. ἔστι δὲ ὑγρότερα μὲν ταῦτα ἐκείνων, πρὸς δὲ τὰς ἀναλήψεις ἀπόλαυσιν 358 ἔχει πλείω. τῆς μὲν κοιλίας καὶ τῆς οὐρήσεως ὑπακτικώτερα ταῦτ' ἐστὶν ἐκείνων, διὰ τὸ καὶ τὰς σάρκας ὑγροτέρας καὶ πλείους ἔχειν τῶν προειρημένων. χρὴ δὲ ἐὰν μὲν τὴν κοιλίαν βούληταί τις ὑπάγειν, ἕψοντα διδόναι· μετρίως δὲ ἐχούσης, ὀπτηθέντα γίνεται τρόφιμα. πρὸς δὲ τὰς οὐρήσεις ἀμφοτέρως σκευασθέντα χρήσιμα.'

56. 'οἱ δὲ τόποι τῆς θαλάσσης, ὅπου ποταμοὶ καὶ λίμναι συμβάλλουσιν, ἔτι δὲ τενάγη μεγάλα καὶ κόλποι θαλάττης εἰσίν, ἐνταῦθα μὲν πάντες οἱ ἰχθύες εἰσὶν ὑγρότεροι καὶ μᾶλλον πίονες ὑπάρχουσι· καὶ b ἐσθίεσθαι μέν εἰσιν ἡδίους, πρὸς δὲ τὴν πέψιν καὶ τροφὴν γίνονται χείρους. ἐν δὲ τοῖς αἰγιαλοῖς τοῖς κειμένοις πρὸς τὰ πελάγη καὶ λίαν ἀναπεπταμένοις σκληροὶ καὶ λεπτοὶ καὶ κυματοπλῆγές εἰσιν οἱ πλείους. περὶ δὲ τοὺς ἀγχιβαθεῖς, ἐν οἷς μὴ λίαν ἔγκειται μεγάλα πνεύματα, πρὸς δὲ τούτοις εἴ που καὶ πόλεις σύνεγγύς εἰσιν, ἐνταῦθα δ' ἐστὶ τὰ πλεῖστα γένη τῶν ἰχθύων ὁμαλῶς ἄριστα καὶ πρὸς ἡδονὴν καὶ πρὸς εὐπεψίαν καὶ πρὸς τὴν τροφὴν τοῦ σώματος. δύσπε- c πτοι δὲ καὶ βαρύτατοι τῶν θαλασσίων εἰσὶν οἱ μετεκβαίνοντες ἐκ τῆς θαλάσσης εἴς τε ποταμοὺς καὶ λίμνας, οἷον κεστρεὺς καὶ συλλήβδην τῶν ἰχθύων ὅσοι δύνανται βιοτεύειν ἐν ἀμφοτέροις τοῖς ὕδασι. τῶν δὲ τελείως ἐν τοῖς ποταμοῖς καὶ λίμναις βιοτευ-

όντων ἀμείνους εἰσὶν οἱ ποτάμιοι· σῆψις γὰρ ὕδατος τὸ λιμναῖόν ἐστι. καὶ τῶν ποταμίων δὲ αὐτῶν βέλτιστοί εἰσιν οἱ ἐν τοῖς ὀξυτάτοις τῶν ποταμῶν ὄντες, οἵ τε πυροῦντες· οὗτοι γὰρ οὐ γίνονται, ἐὰν μὴ ποταμὸς ὀξὺς ᾖ καὶ ψυχρός, διαφέρουσι δὲ τῶν ποταμίων ἰχθύων εὐπεψίᾳ.'

d 57. ταῦτα καὶ παρ' ἡμῶν ἔχετε, ἄνδρες φίλοι, ὀψωνησάντων κατὰ δύναμιν τὴν ἑαυτῶν ὑγιεινῶς. κατὰ γὰρ τὸν Ἀντιφάνους Παράσιτον

ἐγὼ περὶ τὴν ὀψωνίαν μὲν οὐ πάνυ
ἐσπούδακ', οὐδ' αὖ συνέτεμον λίαν πάνυ,
ὡς ἄν τις ἄλλως ἐξενεχθεῖσιν ὅπου
τοῦ διαλάβοι κραιπάλην ἑλληνικῶς.

ἀλλὰ μὴν οὐδὲ οὕτως εἰμὶ φίλιχθυς ὡς ὁ παρὰ τῷ αὐτῷ ποιητῇ ἐν Βουταλίωνι, ὅπερ δρᾶμα τῶν Ἀγροίκων ἐστὶν [ἑνὸς] διασκευή. φησὶ γάρ

e Α. καὶ μὴν ἑστιάσω τήμερον
ὑμᾶς ἐγώ· σὺ δ' ἀγοράσεις ἡμῖν λαβών,
Πίστ', ἀργύριον. Π. ἄλλως γὰρ οὐκ ἐπίσταμαι
χρηστῶς ἀγοράζειν. Α. φράζε δή, Φιλούμενον,
ὄψῳ τίνι χαίρεις; Φ. πᾶσι. Α. καθ' ἕκαστον λέγε,
ἰχθὺν τίν' ἡδέως φάγοις ἄν; Φ. εἰς ἀγρὸν
ἦλθεν φέρων ποτ' ἰχθυοπώλης μαινίδας
καὶ τριγλίδας, καὶ νὴ Δί' ἤρεσαν σφόδρα
ἡμῖν ἅπασιν. Α. εἶτα καὶ νῦν, εἰπέ μοι,
τούτων φάγοις ἄν; Φ. κἄν τις ἄλλος μικρὸς ᾖ.
f τοὺς γὰρ μεγάλους τούτους ἅπαντας νενόμικα
ἀνθρωποφάγους ἰχθῦς. Α. τί φῂς ὦ φίλτατε;
ἀνθρωποφάγους; πῶς; Π. ὧν ἂν ἄνθρωπος φάγοι
δῆλον ὅτι· ταῦτα δ' ἐστὶν Ἑλένης βρώματα,
ἅ φησιν οὗτος, μαινίδας καὶ τριγλίδας.

ἐν δὲ τῷ Ἀγροίκῳ Ἑκάτης βρώματα ἔφη τὰς μαινίδας εἶναι καὶ τὰς τριγλίδας. ἐκφαυλίζων δὲ καὶ Ἔφιππος τοὺς μικροὺς τῶν ἰχθύων ἐν Φιλύρᾳ φησί

παππία, βούλει δραμὼν
εἰς τὴν ἀγορὰν κᾆτ' ἀγοράσαι μοι; Β. φράζε τί. 359
Α. ἰχθῦς φρονοῦντας, ὦ πάτερ, μή μοι βρέφη.
Β. οὐκ οἶσθ' ὁτιὴ τἀργύριόν ἐστ' ἰσάργυρον;

58. ἥδιστος δ' ἐστὶ καὶ ὁ παρὰ τῷ αὐτῷ ποιητῇ ἐν τοῖς Ὀβελιαφόροις νεανίσκος κατασμικρύνων ἅπαντα τὰ περὶ τὴν ὀψωνίαν καὶ λέγων ὧδε

ἀλλ' ἀγόρασον εὐτελῶς·
ἅπαν γὰρ ἱκανόν ἐστι. Β. φράζε δέσποτα.
Α. μὴ πολυτελῶς ἀλλὰ καθαρείως, ὅ τι ἂν ᾖ,
ὁσίας ἕνεκ' ἀρκεῖ· τευθίδια, σηπίδια· b
κἂν κάραβός τις ᾖ λαβεῖν, εἷς ἀρκέσει
ἢ δύ' ἐπὶ τὴν τράπεζαν· ἐγχελύδια
Θήβηθεν ἐνίοτ' ἔρχεται. τούτων λαβέ.
ἀλεκτρυόνιον, φάττιον, περδίκιον,
τοιαῦτα. δασύπους ἂν ἐσέλθῃ τις, φέρε.
Β. ὡς μικρολόγος εἶ. Α. σὺ δέ γε λίαν πολυτελής.
πάντως κρέ' ἡμῖν ἔστι. Β. πότερ' ἔπεμψέ τις;
Α. οὐκ ἀλλ' ἔθυσεν ἡ γυνή. Β. τὸ μοσχίον
τὸ τῆς κορώνης αὔριον δειπνήσομεν.

ὁ δὲ παρὰ Μνησιμάχῳ ἐν τῷ ὁμωνύμῳ δράματι Δύσκολος φιλάργυρος ὢν σφόδρα πρὸς τὸν ἀσωτευόμενον νεανίσκον φησίν c

ἀλλ' ἀντιβολῶ σ' ἐπίταττέ μοι μὴ πόλλ' ἄγαν,
μηδ' ἄγρια λίαν μηδ' ἐπηργυρωμένα,
μέτρια δέ, τῷ θείῳ σεαυτοῦ. Β. πῶς ἔτι
μετριώτερ', ὦ δαιμόνι'; Α. ὅπως; σύντεμνε καὶ
ἐπεξαπάτα με. τοὺς μὲν ἰχθῦς μοι κάλει
ἰχθύδι'· ὄψον δ' ἂν λέγῃς ἕτερον, κάλει d

ὀψάριον. ἥδιον γὰρ ἀπολοῦμαι πολύ.

59. ἐπεὶ δὲ κατὰ θεὸν ἐν τοῖς προκειμένοις, φίλτατε Οὐλπιανέ, ἢ ὑμεῖς γραμματικῶν παῖδες, εἴπατέ μοι τίνι ἐννοίᾳ ὁ Ἔφιππος ἐν τοῖς προειρημένοις ἔφη

τὸ μοσχίον
τὸ τῆς κορώνης αὔριον δειπνήσομεν.

ἐγὼ γὰρ οἴομαι ἱστορίαν τινὰ εἶναι καὶ ποθῶ μαθεῖν. καὶ ὁ Πλούταρχος ἔφη ῥοδιακὴν εἶναι λεγομένην ἱστορίαν, ἣν ἐπὶ τοῦ παρόντος ἀποστοματίζειν οὐ e δύνασθαι τῷ πάνυ πρὸ πολλοῦ ἐντετυχηκέναι τῷ ταῦτα περιέχοντι βιβλίῳ. οἶδα δὲ Φοίνικα τὸν Κολοφώνιον ἰαμβοποιὸν μνημονεύοντά τινων ἀνδρῶν ὡς ἀγειρόντων τῇ κορώνῃ καὶ λέγοντα ταῦτα

ἐσθλοὶ κορώνῃ χῖδρα πρόσδοτε κριθέων
τῇ παιδὶ τἀπόλλωνος, ἢ λέκος πυρῶν,
ἤτ' ἄρτον, ἤτ' ἥμαιθον, ἢ ὅ τι τις χρῄζει·
δότ' ὦγαθοί τι τῶν ἕκαστος ἐν χερσὶν
ἔχει κορώνῃ· χἄλα λήψεται χόνδρον.
f φιλεῖ γὰρ αὕτη πάγχυ πάντα δαίνυσθαι.
ὁ νῦν ἅλας δοὺς αὖθι κηρίον δώσει.
ὦ παῖ, θύρην ἄγκλινε. πλοῦτος ἤκουσεν . . .
καὶ τῇ κορώνῃ παρθένος φέροι σῦκα.
θεοί, γένοιτο πάντ' ἄμεμπτος ἡ κούρη,
κἀφνειὸν ἄνδρα κὠνομαστὸν ἐξεύροι·
καὶ τῷ γέροντι πατρὶ κοῦρον ἐς χεῖρας,
καὶ μητρὶ κούρην ἐς τὰ γοῦνα κατθείη,
360 θάλος τρέφειν γυναῖκα τοῖς κασιγνήτοις.
ἐγὼ δ', ὅκοι πόδες φέρουσιν, ἰφθίμους
ἀμείβομαι μούσαισι, πρὸς θύραις ᾄδων
καὶ δόντι καὶ μὴ δόντι πλεῦνα τῶν αἰτέω.

καὶ ἐπὶ τέλει δὲ τοῦ ἰάμβου φησίν

ἀλλ' ὦγαθοὶ 'πορέξαθ' ὧν μυχὸς πλουτεῖ.

δὸς ὦνα δός τι καὶ σὺ πότνα μοι νύμφη.
νόμος κορώνῃ χεῖρα δοῦν ἐπαιτούσῃ.
τοσαῦτ᾽ ἀείδω. δός τι καὶ καταχρήσει.

κορωνισταὶ δὲ ἐκαλοῦντο οἱ τῇ κορώνῃ ἀγείροντες, b
ὥς φησι Πάμφιλος ὁ Ἀλεξανδρεὺς ἐν τοῖς περὶ ὀνο-
μάτων· καὶ τὰ ᾀδόμενα δὲ ὑπ᾽ αὐτῶν κορωνίσματα
καλεῖται, ὡς ἱστορεῖ Ἁγνοκλῆς ὁ Ῥόδιος ἐν Κορω-
νισταῖς.

60. καὶ χελιδονίζειν δὲ καλεῖται παρὰ Ῥοδίοις
ἀγερμός τις ἄλλος, περὶ οὗ Θέογνίς φησιν ἐν δευτέρῳ
περὶ τῶν ἐν Ῥόδῳ θυσιῶν γράφων οὕτως· εἶδος δέ τι
τοῦ ἀγείρειν χελιδονίζειν οἱ Ῥόδιοι καλοῦσιν, ὃ γίνε-
ται τῷ βοηδρομιῶνι μηνί. χελιδονίζειν δὲ λέγεται διὰ c
τὸ εἰωθὸς ἐπιφωνεῖσθαι

ἦλθ᾽ ἦλθε χελιδών,
καλὰς ὥρας ἄγουσα,
καλοὺς ἐνιαυτούς,
ἐπὶ γαστέρα λευκά,
ἐπὶ νῶτα μέλαινα.
παλάθαν σὺ προκύκλει
ἐκ πίονος οἴκου,
οἴνου τε δέπαστρον,
τυρῶν τε κάνυστρον·
καὶ πυρῶν ἁ χελιδὼν
καὶ λεκιθίταν
οὐκ ἀπωθεῖται. πότερ᾽ ἀπίωμες, ἢ λαβώμεθα;
εἰ μέν τι δώσεις· εἰ δὲ μή, οὐκ ἐάσομες.
ἢ τὰν θύραν φέρωμες ἢ θὐπέρθυρον,
ἢ τὰν γυναῖκα τὰν ἔσω καθημέναν·
μικρὰ μέν ἐστι, ῥᾳδίως νιν οἴσομες. d
ἂν δὴ φέρῃς τι, μέγα δή τι φέροις.

ἄνοιγ' ἄνοιγε τὰν θύραν χελιδόνι.
οὐ γὰρ γέροντές ἐσμεν, ἀλλὰ παιδία.

τὸν δὲ ἀγερμὸν τοῦτον κατέδειξε πρῶτος Κλεόβουλος ὁ Λίνδιος ἐν Λίνδῳ χρείας γενομένης συλλογῆς χρημάτων.

61. ἐπεὶ δὲ ῥοδιακῶν ἱστοριῶν ἐμνήσθημεν, ἰχθυολογήσων καὶ αὐτὸς ὑμῖν ἔρχομαι περὶ τῆς καλῆς Ῥόδου, ἣν εὔιχθυν εἶναί φησιν ὁ ἥδιστος Λυγκεύς.
e Ἐρξίας οὖν ὁ Ῥόδιος ἐν τοῖς περὶ τῆς πατρίδος προειπών τινα περὶ τῶν κατοικησάντων τὴν νῆσον Φοινίκων φησὶν ὡς οἱ περὶ Φάλανθον ἐν τῇ Ἰαλυσῷ πόλιν ἔχοντες ἰσχυροτάτην τὴν Ἀχαΐαν καλουμένην, καὶ λιμένος ἐγκρατεῖς ὄντες χρόνον πολὺν ἀντεῖχον Ἰφίκλῳ πολιορκοῦντι. ἦν γὰρ αὐτοῖς καὶ θέσφατον ἐν χρησμῷ τινι λελεγμένον ἕξειν τὴν χώραν, ἕως ἂν κόρακες λευκοὶ γένωνται καὶ ἐν τοῖς κρατῆρσιν ἰχθύες φανῶσιν. ἐλπίζοντες οὖν τοῦτ' οὐδέποτ' ἔσεσθαι καὶ τὰ πρὸς τὸν πόλεμον ῥαθυμοτέρως διεῖπον. ὁ δ' Ἴφι-
f κλος πυθόμενος παρά τινος τὰ τῶν Φοινίκων λόγια καὶ ἐνεδρεύσας τοῦ Φαλάνθου πιστόν τινα πορευόμενον ἐφ' ὕδωρ, ᾧ ὄνομα ἦν Λάρκας, καὶ πίστεις πρὸς αὐτὸν ποιησάμενος, θηρεύσας ἰχθύδια ἐκ τῆς κρήνης καὶ ἐμβαλὼν εἰς ὑδρεῖον ἔδωκε τῷ Λάρκᾳ καὶ ἐκέλευσε φέροντα τὸ ὕδωρ τοῦτο ἐκχέαι εἰς τὸν κρατῆρα ὅθεν τῷ Φαλάνθῳ ᾠνοχοεῖτο. καὶ ὃ μὲν ἐποίησε ταῦτα· ὁ δὲ Ἴφικλος κόρακας θηρεύσας καὶ ἀλείψας
361 γύψῳ ἀφῆκε. Φάλανθος δ' ἰδὼν τοὺς κόρακας ἐπορεύετο καὶ ἐπὶ τὸν κρατῆρα. ὡς δὲ καὶ τοὺς ἰχθῦς εἶδεν, ὑπέλαβε τὴν χώραν οὐκ ἔτι αὐτῶν εἶναι, καὶ ἐπεκηρυκεύσατο πρὸς τὸν Ἴφικλον ὑπόσπονδος ὑπεξελθεῖν ἀξιῶν μετὰ τῶν σὺν αὐτῷ. συγκαταθεμένου δὲ τοῦ Ἰφίκλου ἐπιτεχνᾶται ὁ Φάλανθος τοιόνδε τι.

καταβαλὼν ἱερεῖα καὶ τὰς κοιλίας ἐκκαθάρας ἐν ταύταις ἐπειρᾶτο ἐξάγειν χρυσίον καὶ ἀργύριον. αἰσθόμενος δὲ ὁ Ἴφικλος διεκώλυσε. προσφέροντός τε τοῦ Φαλάνθου τὸν ὅρκον ὃν ὤμοσεν, ἐάσειν ἐξάγεσθαι ὅ b τι κατὰ γαστρὸς αἴρωνται, ἀντισοφίζεται, πλοῖα αὐτοῖς διδοὺς ἵνα ἀποκομισθῶσι, παραλύσας τὰ πηδάλια καὶ τὰς κώπας καὶ τὰ ἱστία, ὀμόσαι φήσας πλοῖα παρέξειν, ἄλλο δὲ οὐδέν. ἐν ἀπορίᾳ δὲ οἱ Φοίνικες ἐχόμενοι πολλὰ μὲν τῶν χρημάτων κατώρυσσον, ἐπισημαινόμενοι τοὺς τόπους, ἵν' ὕστερόν ποτε ἀνέλωνται ἀφικόμενοι, πολλὰ δὲ τῷ Ἰφίκλῳ κατέλειπον. ἀπαλλαγέντων οὖν τούτῳ τῷ τρόπῳ ἐκ τῆς χώρας τῶν Φοινίκων κατέσχον τὰ πράγματα οἱ Ἕλληνες.' c τὰ δ' αὐτὰ ἱστορήσας καὶ Πολύζηλος ἐν τοῖς Ῥοδιακοῖς 'τὰ περὶ ἰχθύων (φησὶ) καὶ τῶν κοράκων μόνοι ᾔδεσαν ὁ Φάκας καὶ ἡ θυγάτηρ αὐτοῦ Δορκία. αὕτη δ' ἐρασθεῖσα τοῦ Ἰφίκλου καὶ συνθεμένη περὶ γάμου διὰ τῆς τροφοῦ, ἔπεισε τὸν φέροντα τὸ ὕδωρ ἰχθῦς ἀγαγεῖν καὶ ἐμβαλεῖν εἰς τὸν κρατῆρα, καὶ αὐτὴ δὲ τοὺς κόρακας λευκάνασα ἀφῆκεν.'

62. Κρεόφυλος δ' ἐν τοῖς Ἐφεσίων Ὥροις 'οἱ τὴν Ἔφεσον (φησὶ) κτίζοντες· πολλὰ ταλαιπωρηθέντες ἀπορίῃ τόπου τὸ τελευταῖον πέμψαντες ἐς θεοῦ ἠρώ- d τευν ὅκου τὸ πόλισμα θέωνται. ὃ δ' αὐτοῖσι ἔχρησε ἐνταῦθα οἰκίζειν πόλιν τῇ ἂν ἰχθὺς δείξῃ καὶ ὗς ἄγριος ὑπηγήσηται. λέγεται ὦν ὅκου νῦν ἡ κρήνη ἐστὶ ἡ Ὑπέλαιος καλουμένη καὶ ὁ ἱερὸς λιμὴν ἁλιέας ἀριστοποιέεσθαι, καὶ τῶν ἰχθύων τινὰ ἀποθορόντα σὺν ἀνθρακιῇ ἐσπεσέειν ἐς φορυτόν, καὶ ἁφθῆναι ὑπ' αὐτοῦ λόχμην ἐν τῇ ἔτυχε ὗς ἄγριος ἐών· ὃς ὑπὸ τοῦ πυρὸς θορυβηθεὶς ἐπέδραμε τοῦ ὄρεος ἐπὶ πολύ, τὸ δὴ καλέεται Τρηχεῖα, καὶ πίπτει ἀκοντισθεὶς ὅκου e

καὶ νῦν ἔστι ὁ τῆς Ἀθηναίης ναός. καὶ διαβάντες οἱ Ἐφέσιοι ἐκ τῆς νήσου, ἔτεα εἴκοσι ἓν οἰκήσαντες τῷ εἰκοστῷ δευτέρῳ κτίζουσι Τρηχεῖαν καὶ τὰ ἐπὶ Κόρησσον, καὶ ἱερὸν Ἀρτέμιδος ἐπὶ τῇ ἀγορῇ ἱδρύσαντο Ἀπόλλωνός τε τοῦ Πυθίου ἐπὶ τῷ λιμένι.'

63. τοιούτων οὖν ἔτι πολλῶν λεγομένων, τότ' ἐξάκουστος ἐγένετο κατὰ πᾶσαν τὴν πόλιν αὐλῶν τε βόμβος καὶ κυμβάλων ἦχος ἔτι τε τυμπάνων κτύπος
f μετὰ ᾠδῆς ἅμα γινόμενος. ἔτυχε δὲ οὖσα ἑορτὴ τὰ παρίλια μὲν πάλαι καλούμενα νῦν δὲ ῥωμαῖα, τῇ τῆς πόλεως Τύχῃ ναοῦ καθιδρυμένου ὑπὸ τοῦ πάντ' ἀρίστου καὶ μουσικωτάτου βασιλέως Ἁδριανοῦ. ἐκείνην τὴν ἡμέραν κατ' ἐνιαυτὸν ἐπίσημον ἄγουσι πάντες οἱ τὴν Ῥώμην κατοικοῦντες καὶ οἱ ἐνεπιδημοῦντες τῇ πόλει. ὁ οὖν Οὐλπιανός, ἄνδρες, ἔφη, τί τοῦτο;
362 εἰλαπίνη ἠὲ γάμος; ἐπεὶ οὐκ ἔρανος τάδε γ' ἐστί. καί τινος εἰπόντος ὅτι βαλλίζουσιν οἱ κατὰ τὴν πόλιν ἅπαντες τῇ θεῷ, ὦ λῷστε, ὁ Οὐλπιανὸς γελάσας ἔφη, καὶ τίς Ἑλλήνων τοῦτο βαλλισμὸν ἐκάλεσε; δέον εἰρηκέναι κωμάζουσιν, ἢ χορεύουσιν, ἤ τι ἄλλο τῶν εἰρημένων. σὺ δὲ ἡμῖν ἐκ τῆς Συβούρας ὄνομα πριάμενος

ἀπώλεσας τὸν οἶνον ἐπιχέας ὕδωρ.

καὶ ὁ Μυρτίλος ἔφη, ἀλλὰ μὴν καὶ ἑλληνικώτερον
b ἀποδείξω σοὶ τὸ ὄνομα, ὦ φιλεπιτιμητά. πάντας γὰρ ἐπιστομίζειν πειρώμενος οὐδενὸς μὲν ἀμαθίαν κατέγνως, σαυτὸν δ' ἀποφαίνεις κενώτερον λεβηρίδος. Ἐπίχαρμος, ὦ θαυμασιώτατε, ἐν τοῖς Θεαροῖς μέμνηται τοῦ βαλλισμοῦ, καὶ οὐ μακράν ἐστι τῆς Σικελίας ἡ Ἰταλία. ἐν οὖν τῷ δράματι οἱ θεωροὶ καθορῶντες τὰ ἐν Πυθοῖ ἀναθήματα καὶ περὶ ἑκάστου λέγοντες φασὶ καὶ τάδε

λέβητες χάλκεοι,
κρατῆρες, ὀδελοί. B. τοῖς γα μὰν ὑπωδέλοις
καὶ λωτε βαλλιζόντεσσι οσσον χρῆμα εἴη.

καὶ Σώφρων δ' ἐν τῇ ἐπιγραφομένῃ Νυμφοπόνῳ c φησί 'κἤπειτα λαβὼν προῆχε, τοὶ δ' ἐβάλλιζον.' καὶ πάλιν 'βαλλίζοντες τὸν θάλαμον σκάτους ἐνέπλησαν.' ἀλλὰ μὴν καὶ Ἄλεξις ἐν Κουρίδι φησί

καὶ γὰρ ἐπὶ κῶμον . . ἀνθρώπων ὁρῶ
πλῆθος προσιὸν ὡς τῶν καλῶν τε κἀγαθῶν
ἐνθάδε συνόντων. B. μὴ γένοιτό μοι μόνῳ
νύκτωρ ἀπαντῆσαι καλῶς πεπραγόσιν
ὑμῖν περὶ τὸν βαλλισμόν· οὐ γὰρ ἄν ποτε
θοἰμάτιον ἀπενέγκαιμι μὴ φύσας πτερά. d

οἶδα δὲ καὶ ἀλλαχόθι τοὔνομα καὶ ἀναπεμπασάμενος ἐξοίσω.

64. σὺ δὲ ἡμῖν δίκαιος εἶ λέγειν, ὁ καὶ τῶν ὁμηρικῶν μεμνημένος τούτων

τίς δαίς, τίς δὲ ὅμιλος ὅδ' ἔπλετο; τίπτε δέ σε χρεών;
εἰλαπίνη ἠὲ γάμος; ἐπεὶ οὐκ ἔρανος τάδε γ' ἐστίν·

τίνι διαφέρει ἀλλήλων. ἐπεὶ δὲ σιγᾷς, ἐγὼ ἐρῶ. κατὰ γὰρ τὸν Συρακόσιον ποιητήν

τὰ πρὸ τοῦ δύ' ἄνδρες ἔλεγον, εἷς ἐγὼν ἀποχρέω.

τὰς θυσίας καὶ τὰς λαμπροτέρας παρασκευὰς ἐκάλουν e οἱ παλαιοὶ εἰλαπίνας καὶ τοὺς τούτων μετέχοντας εἰλαπιναστάς. ἔρανοι δέ εἰσιν αἱ ἀπὸ τῶν συμβαλλομένων συναγωγαί, ἀπὸ τοῦ συνερᾶν καὶ συμφέρειν ἕκαστον. καλεῖται δὲ ὁ αὐτὸς καὶ ἔρανος καὶ θίασος καὶ οἱ συνιόντες ἐρανισταὶ καὶ συνθιασῶται. καλεῖ-

ται δὲ καὶ ὁ τῷ Διονύσῳ παρεπόμενος ὄχλος θίασος,
ὡς Εὐριπίδης φησίν

ὁρῶ δὲ θιάσους τρεῖς γυναικείων χορῶν.

τοὺς μὲν οὖν θιάσους ἀπὸ τοῦ θεοῦ προσηγόρευον.
f καὶ γὰρ αὐτοὺς τοὺς θεοὺς οἱ Λάκωνες σιοὺς φασί.
τὰς δ᾽ εἰλαπίνας ἀπὸ τῆς ἐν αὐταῖς παρασκευῆς γινο-
μένης καὶ δαπάνης. λαφύττειν γὰρ καὶ λαπάξειν τὸ
ἐκκενοῦν καὶ ἀναλίσκειν. ὅθεν καὶ ἐπὶ τοῦ πορθεῖν
τὸ ἀλαπάζειν οἱ ποιηταὶ τάττουσι, καὶ τὰ διαρπαζό-
μενα κατὰ τὴν λάφυξιν λάφυρα. τὰς δὲ τοιαύτας
εὐωχίας Αἰσχύλος καὶ Εὐριπίδης εἰλαπίνας ἀπὸ τοῦ
363 λελαπάχθαι. λάπτειν δὲ τὸ τὴν τροφὴν ἐκπέττειν
καὶ κενούμενον λαγαρὸν γίγνεσθαι. ὅθεν ἀπὸ μὲν
τοῦ λαγαροῦ ἡ λαγών, ὥσπερ καὶ λάγανον, ἀπὸ δὲ
τοῦ λαπάττειν λαπάρα. λαφύττειν δέ ἐστι τὸ δαψι-
λῶς καὶ ἐπὶ πολὺ λαπάττειν καὶ ἐκκενοῦν. τὸ δὲ δα-
πανᾶν ἀπὸ τοῦ δάπτειν λέγεται. καὶ τοῦτο δὲ τοῦ
δαψιλοῦς ἔχεται· διόπερ ἐπὶ τῶν ἀπλήστως καὶ θη-
ριωδῶς ἐσθιόντων τὸ δάψαι καὶ δαρδάψαι. Ὅμηρος

ἀλλ᾽ ἄρα τόν γε κύνες τε καὶ οἰωνοὶ κατέδαψαν.

b τὰς δ᾽ εὐωχίας ἐκάλουν οὐκ ἀπὸ τῆς ὀχῆς, ἥ ἐστι
τροφή, ἀλλ᾽ ἀπὸ τοῦ κατὰ ταῦτα εὖ ἔχειν. εἰς ἃς δὴ
συνιόντες οἱ τὸ θεῖον τιμῶντες καὶ εἰς εὐφροσύνην
καὶ ἄνεσιν αὐτοὺς μεθιέντες τὸ μὲν ποτὸν μέθυ, τὸν
δὲ τοῦτο δωρησάμενον θεὸν μεθυμναῖον καὶ λυαῖον
καὶ εὔιον καὶ ἰήιον προσηγόρευον, ὥσπερ καὶ τὸν μὴ
σκυθρωπὸν καὶ σύννουν ἱλαρόν. διὸ καὶ τὸ δαιμό-
νιον ἵλεων ἠξίουν γίνεσθαι ἐπιφωνοῦντες ἰὴ ἰή. ὅθεν
καὶ τὸν τόπον ἐν ᾧ τοῦτο ἔπραττον ἱερὸν ὠνόμαζον.
c ὅτι δὲ τὸν αὐτὸν ἵλεων καὶ ἱλαρὸν ἔλεγον δηλοῖ
Ἔφιππος ἐν τῷ ἐπιγραφομένῳ δράματι Ἐμπολή· περὶ
ἑταίρας δέ τινος λέγει

*ἔπειτα δ' εἰσιόντ', ἐὰν λυπούμενος*
*τύχῃ τις ἡμῶν, ἐκολάκευσεν ἡδέως,*
*ἐφίλησεν, οὐχὶ συμπιέσασα τὸ στόμα*
*ὥσπερ πολέμιος ἀλλὰ τοῖσι στρουθίοις*
*χανοῦσ' ὁμοίως· ᾖσε, παρεμυθήσατο,*
*ἐποίησέ θ' ἱλαρόν, εὐθέως τ' ἀφεῖλε πᾶν*
*αὐτοῦ τὸ λυποῦν κἀπέδειξεν ἵλεων.*

65. *οἱ δ' ἀρχαῖοι καὶ τοὺς θεοὺς ἀνθρωποειδεῖς* d *ὑποστησάμενοι καὶ τὰ περὶ τὰς ἑορτὰς διέταξαν. ὁρῶντες γὰρ ὡς τῆς μὲν ἐπὶ τὰς ἀπολαύσεις ὁρμῆς οὐχ οἷόν τε τοὺς ἀνθρώπους ἀποστῆσαι, χρήσιμον δὲ καὶ συμφέρον τοῖς τοιούτοις εὐτάκτως καὶ κοσμίως ἐθίζειν χρῆσθαι, χρόνον ἀφορίσαντες καὶ τοῖς θεοῖς προθύσαντες οὕτω μεθῆκαν αὐτοὺς εἰς ἄνεσιν, ἵν' ἕκαστος ἡγούμενος ἥκειν τοὺς θεοὺς ἐπὶ τὰς ἀπαρχὰς καὶ τὰς σπονδὰς μετὰ αἰδοῦς τὴν συνουσίαν ποιῆται. Ὅμηρος γοῦν φησίν 'ἦλθε δ' Ἀθήνη ἱρῶν ἀντήσουσα.'* e *καὶ ὁ Ποσειδῶν*

*Αἰθίοπας μετεκίαθε τηλόθ' ἐόντας*
*ἀντιόων ταύρων τε καὶ ἀρνειῶν ἑκατόμβης.*

*καὶ ὁ Ζεύς*

*χθιζὸς ἔβη μετὰ δαῖτα θεοί θ' ἅμα πάντες ἕποντο.*

*κἂν ἄνθρωπος δέ που παρῇ πρεσβύτερος καὶ τῇ προαιρέσει σπουδαῖος, αἰδοῦνται λέγειν τι τῶν ἀσχημόνων ἢ καὶ πράττειν, ὡς καὶ Ἐπίχαρμός πού φησιν*

*ἀλλὰ καὶ σιγῆν ἀγαθὸν ὄκα παρέοντι κάρρονες.* f

*ὑπολαμβάνοντες οὖν τοὺς θεοὺς πλησίον αὐτῶν εἶναι τὰς ἑορτὰς κοσμίως καὶ σωφρόνως διῆγον. ὅθεν οὔτε κατακλίνεσθαι παρὰ τοῖς ἀρχαίοις ἔθος, ἀλλὰ δαίνυνθ' ἑζόμενοι, οὔτ' εἰς μέθην πίνειν, ἀλλ' ἐπεὶ ἔσπεισάν τ' ἔπιόν θ' ὅσον ἤθελε θυμός, ἔβαν οἶκόνδε ἕκαστος.*

66. οἱ δὲ νῦν προσποιούμενοι θεοῖς θύειν καὶ συγκαλοῦντες ἐπὶ τὴν θυσίαν τοὺς φίλους καὶ τοὺς
364 οἰκειοτάτους καταρῶνται μὲν τοῖς τέκνοις, λοιδοροῦνται δὲ ταῖς γυναιξί, καλαβρίζουσι τοὺς οἰκέτας, ἀπειλοῦσι τοῖς πολλοῖς, μονονουχὶ τὸ τοῦ Ὁμήρου λέγοντες

νῦν δ' ἔρχεσθ' ἐπὶ δεῖπνον, ἵνα ξυνάγωμεν Ἄρηα,

ἐπὶ νοῦν οὐ λαμβάνοντες τὰ εἰρημένα ὑπὸ τοῦ τὸν Χείρωνα πεποιηκότος, εἴτε Φερεκράτης ἐστὶν εἴτε Νικόμαχος ὁ ῥυθμικὸς ἢ ὅστις δή ποτε,

μηδὲ σύ γ' ἄνδρα φίλον καλέσας ἐπὶ δαῖτα θάλειαν
b ἄχθου ὁρῶν παρεόντα· κακὸς γὰρ ἀνὴρ τόδε ῥέζει.
ἀλλὰ μάλ' εὔκηλος τέρπου φρένα τέρπε τ' ἐκεῖνον.

νῦν δὲ τούτων μὲν οὐδ' ὅλως μέμνηνται, τὰ δὲ ἑξῆς αὐτῶν ἐκμανθάνουσιν, ἅπερ πάντα ἐκ τῶν εἰς Ἡσίοδον ἀναφερομένων μεγάλων Ἠοίων [καὶ μεγάλων Ἔργων] πεπαρῴδηται

ἡμῶν δ' ἤν τινά τις καλέσῃ θύων ἐπὶ δεῖπνον,
ἀχθόμεθ' ἢν ἔλθῃ καὶ ὑποβλέπομεν παρεόντα,
χὤτι τάχιστα θύραζ' ἐξελθεῖν βουλόμεθ' αὐτόν.
c εἶτα γνούς πως τοῦθ' ὑποδεῖται, κᾆτά τις εἶπε
τῶν ξυμπινόντων 'ἤδη σύ; τί οὐχ ὑποπίνεις;
οὐχ ὑπολύσεις αὐτόν;' ὃ δ' ἄχθεται αὐτὸς ὁ θύων
τῷ κατακωλύοντι καὶ εὐθὺς ἔλεξ' ἐλεγεῖα
'μηδένα μήτ' ἀέκοντα μένειν κατέρυκε παρ' ἡμῖν
μήθ' εὕδοντ' ἐπέγειρε Σιμωνίδη'. οὐ γὰρ ἐπ' οἴνοις

τοιαυτὶ λέγομεν δειπνίζοντες φίλον ἄνδρα;
ἔτι δὲ καὶ ταῦτα προστίθεμεν
μηδὲ πολυξείνου δαιτὸς δυσπέμφελον εἶναι d
ἐκ κοινοῦ· πλείστη τε χάρις δαπάνη τ' ὀλιγίστη.

67. καὶ θύοντες μὲν τοῖς θεοῖς ὀλίγιστα εἰς τὰς θυσίας καὶ τὰ τυχόντα δαπανῶμεν, ὥσπερ ὁ καλὸς Μένανδρος ἐν τῇ Μέθῃ παρίστησιν

εἶτ' οὐχ ὅμοια πράττομεν καὶ θύομεν;
ὅπου γε τοῖς θεοῖς μὲν ἠγορασμένον
δραχμῶν ἄγω προβάτιον ἀγαπητὸν δέκα,
αὐλητρίδας δὲ καὶ μύρον καὶ ψαλτρίας
μενδαῖον ἐγχέλεις θασον τυρὸν μέλι
μικροῦ ταλάντου, γίγνεται τὸ κατὰ λόγον, e
δραχμῶν μὲν ἀγαθὸν ἄξιον λαβεῖν δέκα
ἡμᾶς, ἐὰν καὶ καλλιερηθῇ τοῖς θεοῖς,
τούτων δὲ πρὸς ταῦτ' ἀντανελεῖν τὴν ζημίαν.
πῶς οὐχὶ τὸ κακὸν τῶν ἱερῶν διπλάζεται;
ἐγὼ μὲν οὖν ὤν γε θεὸς οὐκ εἴασα τὴν
ὀσφὺν ἂν ἐπὶ τὸν βωμὸν ἐπιθεῖναί ποτε,
εἰ μὴ καθήγιζέν τις ἅμα τὴν ἔγχελυν,
ἵνα Καλλιμέδων ἀπέθανεν εἷς τῶν συγγενῶν.

68. ὀνομάζουσι δ' οἱ ἀρχαῖοι καὶ ἐπιδόσιμά τινα f
δεῖπνα, ἅπερ Ἀλεξανδρεῖς λέγουσιν ἐξ ἐπιδομάτων. Ἄλεξις γοῦν ἐν τῇ εἰς τὸ φρέαρ φησί

νυνί τέ μοι
ὁ δεσπότης προὔπεμψεν οἴνου κεράμιον
τῶν ἔνδοθεν κομιοῦντ' ἐκεῖθεν. Β. μανθάνω.
ἐπιδόσιμον παρὰ τἄλλα τοῦτ' ἔσται. Α. φιλῶ
αἰσθητικὴν γραῦν.

καὶ Κρώβυλος ἐν Ψευδυποβολιμαίῳ 365

Λάχης. Β. ἐγὼ δὲ πρὸς σέ. Α. πρόαγε. Β. ποῖ;
Α. ὅποι μ' ἐρωτᾷς; ὡς Φιλουμένην, παρ' ᾗ

τἀπιδόσιμ' ἡμῖν ἐστίν. Β. ἧς ἐχθὲς πιεῖν
κυάθους ἀκράτου μ' ἐβιάσω σὺ δώδεκα;

οἴδασι δὲ οἱ ἀρχαῖοι καὶ τὰ νῦν καλούμενα ἀπὸ σπυρίδος δεῖπνα. ἐμφανίζει δὲ Φερεκράτης περὶ τούτων ἐν Ἐπιλήσμονι ἢ Θαλάττῃ οὕτως

συσκευασάμενος δεῖπνον ἐς τὸ σπυρίδιον
ἐβάδιζεν ὡς πρὸς Ὠφελίαν.

τοῦτο δὲ σαφῶς δηλοῖ τὸ ἀπὸ σπυρίδος δεῖπνον, ὅταν b τις αὐτὸς αὑτῷ σκευάσας δεῖπνον καὶ συνθεὶς εἰς σπυρίδα παρά τινα δειπνήσων ἴῃ. σύνδειπνον εἴρηκεν ἐπὶ συμποσίου Λυσίας ἐν τῷ κατὰ Μικίνου φόνου. φησὶ γὰρ ἐκεῖνον ἐπὶ τὸ σύνδειπνον κεκλημένον. καὶ Πλάτων δέ φησι 'τοῖς τὸ σύνδειπνον ποιησαμένοις' καὶ Ἀριστοφάνης Γηρυτάδῃ

ἐν τοῖσι συνδείπνοις ἐπαινῶν Αἰσχύλον.

διόπερ τινὲς καὶ τὸ Σοφοκλέους δρᾶμα κατὰ τὸ οὐδέτερον ἐπιγράφειν ἀξιοῦσι Σύνδειπνον. καλοῦσι δέ τινα καὶ συναγώγιμα δεῖπνα, ὡς Ἄλεξις ἐν Φιλοκάλῳ ἢ Νύμφαις

c κατάκεισο, κἀκείνας κάλει.
συναγώγιμον ποιῶμεν. ἀλλ' εὖ οἶδ' ὅτι
κυμινοπρίστης ὁ τρόπος ἐστί σου πάλαι.

καὶ Ἔφιππος ἐν Γηρυόνῃ

καὶ συναγώγιμον
συμπόσιον ἐπιπληροῦσιν.

ἔλεγον δὲ συνάγειν καὶ τὸ μετ' ἀλλήλων πίνειν καὶ συναγώγιον τὸ συμπόσιον. Μένανδρος ἐν Ἐμπιμπραμένῃ

καὶ νῦν ὑπὲρ τούτων συνάγουσι κατὰ μόνας.

εἶθ' ἑξῆς ἔφη

d ἐπλήρωσέν τε τὸ συναγώγιον.

μήποτε δὲ τοῦτ' ἔστι τὸ ἀπὸ συμβολῶν καλούμενον.

*τίνες δ' εἰσὶν αἱ συμβολαὶ αὐτὸς Ἄλεξις ἐν Μανδραγοριζομένῃ σημαίνει διὰ τούτων*

*ἥξω φέρουσα συμβολὰς τοίνυν ἅμα.*
*Β. πῶς συμβολάς; Α. τὰς ταινίας οἱ Χαλκιδεῖς*
*καὶ τοὺς ἀλαβάστους συμβολὰς καλοῦσι, γραῦ.*

*Ἀργεῖοι δ', ὡς ἐν τοῖς ὑπομνήμασί φησιν Ἡγήσανδρος, γράφει δ' οὕτως 'τὴν συμβολὴν τὴν εἰς τὰ συμπόσια ὑπὸ τῶν πινόντων εἰσφερομένην Ἀργεῖοι χῶν καλοῦσι, τὴν δὲ μερίδα αἶσαν.'* e

69. *οὐκ ἀνάρμοστον δὲ καὶ τούτου τοῦ συγγράμματος τέλος εἰληφότος, ἑταῖρε Τιμόκρατες, αὐτοῦ καταπαῦσαι τὸν λόγον, μὴ καὶ ἡμᾶς τις οἰηθῇ κατὰ τὸν Ἐμπεδοκλέα ἰχθῦς ποτὲ γεγονέναι. φησὶ γὰρ ὁ φυσικός*

*ἤδη γάρ ποτ' ἐγὼ γενόμην κούρη τε κόρος τε,*
*ἀμνός τ' οἰωνός τε καὶ ἐξ ἁλὸς ἔμπορος ἰχθύς.*

---

# Θ

*Δόρπου δ' ἐξαῦτις μνησώμεθα, χερσὶ δ' ἐφ' ὕδωρ* 366
*χευάντων· μῦθοι δὲ καὶ ἠῶθέν περ ἔσονται*

*ἐμοί τε καὶ σοί, ὦ Τιμόκρατες. περιενεχθέντων γὰρ κωλήνων καί τινος εἰπόντος εἰ τακεροί εἰσι, παρὰ τίνι κεῖται τὸ τακερόν; ὁ Οὐλπιανὸς ἔφη. καὶ σίναπυ δὲ τίς εἴρηκε τὸ νᾶπυ; ὁρῶ γὰρ ἐν παροψίσι περιφερόμενον μετὰ τῶν κωλεῶν. οἶδα γὰρ καὶ οὕτως λεγόμενον κωλεόν ἀρσενικῶς, καὶ οὐχ ὡς οἱ ἡμεδαποὶ*

Ἀθηναῖοι μόνως θηλυκῶς. Ἐπίχαρμος γοῦν ἐν Με-
b γαρίδι φησίν 'ὀρύα, τυρίδιον, κωλεοί, σφονδύλοι, τῶν δὲ βρωμάτων οὐδὲ ἕν.' καὶ ἐν Κύκλωπι

χορδαί τε ἁδὺ ναὶ μὰ Δία χὠ κωλεός.

μάθετε δὲ καὶ τοῦτο παρ' ἐμοῦ, ὦ σοφώτατοι, ὅτι νῦν ὁ Ἐπίχαρμος καὶ χορδὴν ὠνόμασεν, ἀεί ποτε ὀρύαν καλῶν. καὶ ἅλας δὲ ἡδυσμένους ὁρῶ ἐν ἄλλαις παροψίσιν. ἀνηδύντων δὲ ἁλῶν πλήρεις οἱ κυνικοί, παρ' οἷς κατὰ τὸν Ἀντιφάνην, λέγει δ' ἐν Κωρύκῳ τὶς ἄλλος κύων,

τῶν θαλαττίων δ' ἀεὶ
c ὄψων ἓν ἔχομεν, διὰ τέλους δὲ τοῦθ', ἅλας.
. . . ἐπὶ δὲ τούτοις πίνομεν
οἰνάριον, εἶδος νὴ Δία σκιᾶς τρόπον.
Β. πῶς εἶδος; Α. οἷον τοῖς παροῦσι συμφέρει
ἀπαξάπασιν ὀξυβάφῳ ποτηρίῳ.

ὁρῶ δὲ καὶ μετ' ὄξους ἀναμεμιγμένον γάρον. οἶδα δὲ ὅτι νῦν τινὲς τῶν Ποντικῶν ἰδίᾳ καθ' αὑτὸ κατασκευάζονται ὀξύγαρον.

2. πρὸς ταῦτα ἀπαντήσας ὁ Ζωίλος ἔφη, Ἀριστοφάνης, ὦ οὗτος, ἐν Λημνίαις τὸ τακερὸν ἔταξεν ἐπὶ τοῦ τρυφεροῦ λέγων οὕτως

d Λῆμνος κυάμους τρέφουσα τακεροὺς καὶ καλούς.

καὶ Φερεκράτης Κραπατάλοις

τακεροὺς ποιῆσαι τοὺς ἐρεβίνθους αὐτόθι.

σίνηπυ δ' ὠνόμασε Νίκανδρος ὁ Κολοφώνιος ἐν μὲν Θηριακοῖς οὕτως

ἢ μὴν καὶ σικύην χαλκήρεα ἠὲ σίνηπυ.

ἐν δὲ τοῖς Γεωργικοῖς

σπέρματά τ' ἐνδάκνοντα σινήπυος.

καὶ πάλιν

κάρδαμ' ἀνάρρινόν τε μελάμφυλλόν τε σίνηπυ.

*Κράτης δ' ἐν τοῖς περὶ τῆς ἀττικῆς λέξεως Ἀριστοφάνη παριστᾷ λέγοντα*

*κἄβλεπε σίναπυ καὶ τὰ πρόσωπ' ἀνέσπασεν,* 367

*καθά φησι Σέλευκος ἐν τοῖς περὶ ἑλληνισμοῦ. ἔστι δ' ὁ στίχος ἐξ Ἱππέων καὶ ἔχει οὕτως 'κἄβλεψε νᾶπυ.' οὐδεὶς δ' Ἀττικῶν σίναπυ ἔφη. ἔχει δὲ ἑκάτερον λόγον. νᾶπυ μὲν γὰρ οἷον νᾶφυ, ὅτι ἐστέρηται φύσεως. ἀφυὲς γὰρ καὶ μικρόν, ὥσπερ καὶ ἡ ἀφύη. σίναπυ δὲ ὅτι σίνεται τοὺς ὦπας ἐν τῇ ὀδμῇ, ὡς καὶ τὸ κρόμμυον ὅτι τὰς κόρας μύομεν. Ξέναρχος δὲ ὁ κωμῳδιοποιὸς ἐν Σκύθαις ἔφη*

*τουτὶ τὸ κακὸν οὐκ ἔστ' ἔτι*
*κακόν· τὸ θυγάτριον δέ μου σεσινάπικεν* b
*διὰ τῆς ξένης.*

*ἁλῶν δὲ καὶ ὄξους μέμνηται ὁ καλὸς Ἀριστοφάνης ἐν τοῖς περὶ Σθενέλου τοῦ τραγικοῦ λέγων*

*καὶ πῶς ἐγὼ Σθενέλου φάγοιμ' ἂν ῥήματα;*
*Β. εἰς ὄξος ἐμβαπτόμενος ἢ λεπτοὺς ἅλας.*

3. *ἡμεῖς μὲν οὖν σοι τοσαῦτα, καλὲ ἄνθρωπε, ζητοῦντι συνεισευπορήσαμεν. σὺ δ' ἡμῖν ἀποκρίνασθαι δίκαιος εἶ παρὰ τίνι ἐπὶ τοῦ ἀγγείου ἡ παροψὶς κεῖται. ἐπὶ μὲν γὰρ ὄψου παρεσκευασμένου ποικίλου καὶ εἴδους τινὸς τοιούτου Πλάτωνα οἶδα εἰρηκότα ἐν* c *Ἑορταῖς οὕτως*

*ὁπόθεν ἔσοιτο μᾶζα καὶ παροψίδες.*

*ἐν δὲ Εὐρώπῃ πάλιν ἐπὶ παροψήματος διὰ πλειόνων εἴρηκεν, ἐν οἷς ἔστι καὶ τάδε*

*γυνὴ καθεύδουσ' ἐστὶν ἀργόν. Β. μανθάνω.*
*Α. ἐγρηγορυίας δ' εἰσὶν αἱ παροψίδες*
*αὗται μόνον κρείττους πολὺ χρῆμ' εἰς ἡδονὴν*
*ηταλλαβεῖν. οὐ γάρ τινες παροψίδες*
*εἰσ' ἀντιβολῶ σε;* d

κἀν τοῖς δ' ἑξῆς δίεισιν ὥσπερ ἐπὶ παροψήματος λέγων τῶν παροψίδων. ἐν δὲ Φάωνι

τὰ δ' ἀλλότρι' ἔσθ' ὅμοια ταῖς παροψίσιν·
βραχὺ γάρ τι τέρψαντ' ἐξανάλωται ταχύ.

Ἀριστοφάνης Δαιδάλῳ

πάσαις γυναιξὶν ἐξ ἑνός γέ του τρόπου
ὥσπερ παροψὶς μοιχὸς ἐσκευασμένος.

4. σιωπῶντος οὖν τοῦ Οὐλπιανοῦ, ἀλλ' ἐγώ, φησὶν ὁ Λεωνίδης, εἰπεῖν εἰμὶ δίκαιος, πολλὰ ἤδη σιωπήσας·

e πολλοῖς δ' ἀντιλέγειν μὲν

(κατὰ τὸν Πάριον Εὔηνον)

ἔθος περὶ παντὸς ὁμοίως,
ὀρθῶς δ' ἀντιλέγειν οὐκ ἔτι τοῦτ' ἐν ἔθει.
καὶ πρὸς μὲν τούτους ἀρκεῖ λόγος εἷς ὁ παλαιός,
σοὶ μὲν ταῦτα δοκοῦντ' ἔστω ἐμοὶ δὲ τάδε.
τοὺς ξυνετοὺς δ' ἄν τις πείσειε τάχιστα λέγων εὖ,
οἵπερ καὶ ῥᾴστης εἰσὶ διδασκαλίας.

5. ἐπὶ τοῦ σκεύους οὖν εἴρηκεν, ὦ φιλότης
f Μυρτίλε, προήρπασα γάρ σου τὸν λόγον, Ἀντιφάνης Βοιωτίῳ

καλέσας τε παρατίθησιν ἐν παροψίδι.

καὶ Ἄλεξις ἐν Ἡσιόνῃ

ὡς εἶδε τὴν τράπεζαν ἀνθρώπους δύο
φέροντας εἴσω ποικίλων παροψίδων
κόσμου βρύουσαν, οὐκ ἔτ' εἰς ἐμὲ βλέπων.

καὶ ὁ τὰ εἰς Μάγνητα ἀναφερόμενα ποιήσας ἐν Διονύσῳ πρώτῳ

καὶ ταῦτα μέν μοι τῶν κακῶν παροψίδες.

368 Ἀχαιὸς δ' ἐν Αἴθωνι σατυρικῷ

κεκερματίσθω δ' ἄλλα μοι παροψίδων
κάθεφθα καὶ κνισηρὰ παραφλογίσματα.

Σωτάδης δ' ὁ κωμικὸς Παραλυτρουμένῳ

παροψὶς εἶναι φαίνομαι τῷ Κρωβύλῳ·
τοὖψον μασᾶται, παρακατεσθίει δ' ἐμέ.

ἀμφιβόλως δ' εἴρηται τὸ παρὰ τῷ Ξενοφῶντι ἐν πρώτῳ Παιδείας. φησὶ γὰρ ὁ φιλόσοφος 'προσῆγεν αὐτῷ παροψίδας καὶ παντοδαπὰ ἐμβάμματα καὶ βρώματα.' καὶ παρὰ τῷ τὸν Χείρωνα δὲ πεποιηκότι τὸν b εἰς Φερεκράτην ἀναφερόμενον ἐπὶ ἡδύσματος ἡ παροψὶς κεῖται, καὶ οὐχ, ὡς Δίδυμος ἐν τῷ περὶ παρεφθορυίας λέξεως, ἐπὶ τοῦ ἀγγείου. φησὶ γάρ

νὴ τὸν Δί' . . . ὥσπερ αἱ παροψίδες
τὴν αἰτίαν ἔχουσ' ἀπὸ τῶν ἡδυσμάτων,
οὓς ὁ καλὸς οὗτος ἀξιοῖ τοῦ μηδενός.

Νικοφῶν Σειρῆσιν

ἄλλος μαχέσθω περὶ ἕδρας παροψίδι.

Ἀριστοφάνης Δαιδάλῳ

πάσαις γυναιξὶν ἐξ ἑνός γέ του τρόπου c
ὥσπερ παροψὶς μοιχὸς ἐσκευασμένος.

Πλάτων Ἑορταῖς

ὁπόθεν ἔσοιτο μᾶζα καὶ παροψίδες.

περὶ βολβῶν δ' ἀρτύσεως καὶ σκευασίας τὸν λόγον ποιεῖται. οἱ δ' Ἀττικοί, ὦ Συραττικὲ Οὐλπιανέ, καὶ ἔμβαμμα λέγουσιν. ὡς Θεόπομπος ἐν Εἰρήνῃ

ὁ μὲν ἄρτος ἡδύ, τὸ δὲ φενακίζειν προσὸν
ἔμβαμμα τοῖς ἄρτοις πονηρὸν γίγνεται. d

6. καὶ κωλῆνα δὲ λέγουσι καὶ κωλῆν. Εὔπολις Αὐτολύκῳ

σκέλη δὲ καὶ κωλῆνες εὐθύτου 'ρίφου.

Εὐριπίδης Σκίρωνι 'οὐδὲ κωλῆνες νεβρῶν.' ἀπὸ δὲ τοῦ κωλέα συνῃρημένον ἐστίν, ὡς συκέα συκῆ, λεοντέα λεοντῆ, κωλέα κωλῆ. Ἀριστοφάνης Πλούτῳ δευτέρῳ

οἴμοι δὲ κωλῆς, ἣν ἐγὼ κατήσθιον.

καὶ ἐν Δαιταλεῦσιν

e καὶ δελφακίων ἁπαλῶν κωλαῖ καὶ χναυμάτια
πτερόεντα.

ἐν δὲ Πελαργοῖς

κεφαλάς τ' ἀρνῶν, κωλᾶς ἐρίφων.

Πλάτων Γρυψίν 'ἰχθῦς κωλᾶς φύσκας.' Ἀμειψίας Κόννῳ

δίδοται μάλισθ' ἱερώσυνα,
κωλῆ, τὸ πλευρόν, ἡμίκραιρ' ἀριστερά.

Ξενοφῶν Κυνηγετικῷ 'κωλῆν σαρκώδη, λαγόνας ὑγράς.' καὶ Ξενοφάνης δ' ὁ Κολοφώνιος ἐν τοῖς ἐλεγείοις φησί

πέμψας γὰρ κωλῆν ἐρίφου σκέλος ἤραο πῖον
f ταύρου λαρινοῦ, τίμιον ἀνδρὶ λαχεῖν,
τοῦ κλέος Ἑλλάδα πᾶσαν ἐφίξεται οὐδ' ἀπολήξει,
ἔς τ' ἂν ἀοιδάων ᾖ κλέος ἑλλαδικῶν.

7. ἑξῆς δὲ τούτων πολλῶν καὶ παντοδαπῶν ἐπιφερομένων ἡμεῖς ἐπισημανούμεθα τὰ μνήμης ἄξια. καὶ γὰρ ὀρνίθων πλῆθος ἦν ἀεὶ καὶ χηνῶν, ἔτι δὲ τῶν νεοσσῶν ὀρνίθων, οὓς πίπους τινὲς καλοῦσι, καὶ χοίρων καὶ τῶν περισπουδάστων φασιανικῶν ὀρνί-
369 θων. περὶ λαχάνων οὖν πρότερον ἐκθέμενός σοι καὶ περὶ τῶν ἄλλων μετὰ ταῦτα διηγήσομαι.

8. ΓΟΓΓΥΛΙΔΕΣ. ταύτας Ἀπόλλας ἐν τῷ περὶ τῶν ἐν Πελοποννήσῳ πόλεων ὑπὸ Λακεδαιμονίων γαστέρας φησὶ καλεῖσθαι. Νίκανδρος δ' ὁ Κολοφώνιος ἐν ταῖς Γλώσσαις παρὰ Βοιωτοῖς γάστρας ὀνομάζεσθαι τὰς κράμβας, τὰς δὲ γογγυλίδας ζακελτίδας· Ἀμερίας δὲ καὶ Τιμαχίδας τὰς κολοκύντας ζακελτίδας καλεῖσθαι. Σπεύσιππος δ' ἐν δευτέρῳ Ὁμοίων 'ῥα-
b φανὶς (φησὶ) γογγυλὶς ῥάφυς ἀνάρρινον ὅμοια.' τὴν

δὲ ῥάφυν Γλαῦκος ἐν Ὀψαρτυτικῷ διὰ τοῦ π ψιλῶς καλεῖ ῥάπυν. τούτοις δ' οὐδὲν ἄλλο ἐστὶν ὅμοιον εἰ μὴ ἡ νῦν προσαγορευομένη βουνιάς. Θεόφραστος δὲ βουνιάδα μὲν οὐκ ὀνομάζει, ἄρρενα δὲ καλεῖ τινα γογγυλίδα, καὶ ἴσως αὕτη ἐστὶν ἡ βουνιάς. Νίκανδρος δ' ἐν τοῖς Γεωργικοῖς τῆς βουνιάδος μνημονεύει

γογγυλίδας· σπείροις δὲ κυλινδρωτῆς ἐφ' ἅλωος,
ὄφρ' ἂν ἴσαι πλαθάνοισι χαμηλότεραι θαλέθωσι· c
βουνιὰς ἀλλ' εἴσω ῥάφανος κείσθω λαθαρωκοί.
γογγυλίδος δισσὴ γὰρ ἰδ' ἐκ ῥαφάνοιο γενέθλη
μακρή τε στιφρή τε φαείνεται ἐν πρασιῇσιν.

κηφισιακῶν δὲ γογγυλίδων μνημονεύει Κράτης ἐν Ῥήτορσιν οὕτως

κηφισιακαῖσι γογγυλίσιν ὅμοια πάνυ.

Θεόφραστος δὲ γογγυλίδων φησὶν εἶναι γένη δύο, ἄρρεν καὶ θῆλυ. γίνεσθαι δ' ἄμφω ἐκ τοῦ αὐτοῦ σπέρματος. Ποσειδώνιος δ' ὁ ἀπὸ τῆς στοᾶς ἐν τῇ εἰκοστῇ ἑβδόμῃ τῶν ἱστοριῶν περὶ τὴν Δαλματίαν d φησὶ γίγνεσθαι γογγυλίδας ἀκηπεύτους καὶ ἀγρίους σταφυλίνους. Δίφιλος δ' ὁ Σίφνιος ἰατρός 'ἡ γογγυλὶς (φησὶ) λεπτυντική ἐστι καὶ δριμεῖα καὶ δύσπεπτος, ἔτι δὲ πνευματωτική. κρείττων δὲ ἡ βουνιὰς καθέστηκε· γλυκυτέρα γάρ ἐστι καὶ πεπτικωτέρα πρὸς τῷ εὐστόμαχος εἶναι καὶ τρόφιμος. ἡ δὲ ὀπτωμένη, φησί, γογγυλὶς μᾶλλον πέττεται, περιττότερον δὲ λεπτύνει.' ταύτης μνημονεύει Εὔβουλος ἐν Ἀγκυλίωνι οὕτως

ὀπτήσιμον γογγυλίδα ταυτηνὶ φέρω. e

καὶ Ἄλεξις ἐν Θεοφορήτῳ

λαλῶ Πτολεμαίῳ γογγυλίδος ὀπτῶν τόμους.

ἡ δὲ ταριχευομένη γογγυλὶς λεπτυντικωτέρα ἐστὶ τῆς

ἑφθῆς καὶ μάλιστα ἡ διὰ νάπυος γινομένη, ὥς φησιν ὁ *Δίφιλος*.

9. ΚΡΑΜΒΗ. *Εὔδημος ὁ Ἀθηναῖος ἐν τῷ περὶ λαχάνων κράμβης φησὶν εἶναι γένη τρία, τῆς τε καλουμένης ἁλμυρίδος καὶ λειοφύλλου καὶ σελινουσίης·*
f *τῇ δ' ἡδονῇ πρώτην κεκρίσθαι τὴν ἁλμυρίδα. φύεται δ' ἐν Ἐρετρίᾳ καὶ Κύμῃ καὶ Ῥόδῳ, ἔτι δὲ Κνίδῳ καὶ Ἐφέσῳ· ἡ δὲ λειόφυλλος ἀνὰ πᾶσαν, φησί, χώραν γίγνεται. ἡ δὲ σελινουσία τὴν ὀνομασίαν ἔχει διὰ τὴν οὐλότητα· ἐμφερὴς γάρ ἐστι σελίνῳ καὶ κατὰ τὴν ἄλλην πύκνωσιν. Θεόφραστος δὲ οὕτως γράφει 'τῆς δὲ ῥαφάνου (λέγω δὲ τὴν κράμβην) ἡ μέν ἐστιν οὐλόφυλλος ἡ δὲ ἀγρία.' Δίφιλος δ' ὁ Σίφνιός φησι 'κράμβη δὲ καλλίστη γίνεται καὶ γλυκεῖα ἐν Κύμῃ· ἐν δὲ Ἀλεξανδρείᾳ πικρά. τὸ δ' ἐκ Ῥόδου φερόμενον σπέρμα εἰς Ἀλεξάνδρειαν ἐπὶ ἐνιαυτὸν γλυκεῖαν ποιεῖ τὴν κράμβην, μεθ' ὃν χρόνον πάλιν ἐπιχωριάζει'. Νίκανδρος δ' ἐν Γεωργικοῖς*

370 *λείη μὲν κράμβη, ὁτὲ δ' ἀγριὰς ἐμπίπτουσα*
*σπειρομένη, πολύφυλλος ἐνήβησε πρασιῇσιν*
*ἡ οὔλη, καὶ τύριος ὁ θαμνῖτις πετάλοισιν,*
*ἢ ἐπιφοινίσσουσα καὶ αὐχμηρῇσιν ὁμοίη*
*βατραχέη κύμη τε κακόχροος, ἡ μὲν ἔοικε*
*πέλμασιν, οἷσι πέδιλα παλίμβολα κασσύουσιν·*
*ἣν μάντιν λαχάνοισι παλαιογόνοι ἐνέπουσιν.*

*μήποτε δὲ ὁ Νίκανδρος μάντιν κέκληκε τὴν κράμβην ἱερὰν οὖσαν, ἐπεὶ καὶ παρ' Ἱππώνακτι ἐν τοῖς ἰάμ-*
b *βοις ἐστί τι λεγόμενον τοιοῦτον*

*ὁ δ' ἐξολισθὼν ἱκέτευε τὴν κράμβην*
*τὴν ἑπτάφυλλον, ἣ θύεσκε Πανδώρῃ*
*θαργηλίοισιν ἔγχυτον πρὸ φαρμάκου.*

*καὶ Ἀνάνιος δέ φησι*

καὶ σὲ πολλὸν ἀνθρώπων
ἐγὼ φιλέω μάλιστα, ναὶ μὰ τὴν κράμβην.

καὶ Τηλεκλείδης Πρυτάνεσι 'ναὶ μὰ τὰς κράμβας' ἔφη. καὶ Ἐπίχαρμος ἐν Γᾷ καὶ Θαλάσσᾳ 'ναὶ μὰ τὰν κράμβαν.' Εὔπολις Βάπταις 'ναὶ μὰ τὴν κράμβην.' ἐδόκει δὲ ἰωνικὸς εἶναι ὁ ὅρκος. καὶ οὐ παράδοξον εἰ κατὰ τῆς κράμβης τινὲς ὤμνυον, ὁπότε καὶ Ζήνων c ὁ Κιτιεὺς ὁ τῆς στοᾶς κτίστωρ μιμούμενος τὸν κατὰ τῆς κυνὸς ὅρκον Σωκράτους καὶ αὐτὸς ὤμνυε τὴν κάππαριν, ὡς Ἔμπεδός φησιν ἐν Ἀπομνημονεύμασιν.

10. Ἀθήνησι δὲ καὶ ταῖς τετοκυίαις κράμβη παρεσκευάζετο ὥς τι ἀντιφάρμακον εἰς τροφήν. Ἔφιππος γοῦν ἐν Γηρυόνῃ φησίν

ἔπειτα πῶς
οὐ στέφανος οὐδείς ἐστι πρόσθε τῶν θυρῶν,
οὐ κνῖσα κρούει ῥινὸς ὑπεροχὰς ἄκρας d
ἀμφιδρομίων ὄντων; ἐν οἷς νομίζεται
ὀπτᾶν τε τυροῦ χερρονησίτου τόμους,
ἕψειν τ' ἐλαίῳ ῥάφανον ἠγλαϊσμένην,
πνίγειν τε παχέων ἀρνίων στηθύνια,
τίλλειν τε φάττας καὶ κίχλας ὁμοῦ σπίνοις,
χναύειν τε κοινῇ τευθίσιν σηπίδια,
πιλεῖν τε πολλὰς πλεκτάνας ἐπιστρόφως,
πίνειν τε πολλὰς κύλικας εὐζωρεστέρας.

Ἀντιφάνης δ' ἐν Παρασίτῳ ὡς εὐτελοῦς βρώματος τῆς κράμβης μέμνηται ἐν τούτοις e

οἶα δ' ἔστ' οἶσθ' ὦ γύναι,
[ἄρ]τοι σκόροδα τυρὸς πλακοῦντες, πράγματα
ἐλευθέρι', οὐ τάριχος οὐδ' ἡδύσμασιν
ἄρνεια καταπεπασμέν', οὐδὲ θρυμματὶς
τεταραγμένη καὶ λοπάδες ἀνθρώπων φθοραί.
καὶ μὴν ῥαφάνους γ' ἕψουσι λιπαράς, ὦ θεοί,

ἔτνος θ' ἅμ' αὐταῖς πίσινον.

Δίφιλος δ' ἐν Ἀπλήστῳ

ἥκει φερόμεν' αὐτόματα πάντα τἀγαθά,
f ῥάφανος λιπαρά, σπλαγχνίδια πολλά, σαρκία
ἁπαλώτατ', οὐδὲν μὰ Δία τοῖς ἐμοῖς βλίτοις
[καὶ τοῖσι σοῖς] ὅμοια πράγματ', οὐδὲ ταῖς
θλασταῖς ἐλάαις.

Ἀλκαῖος Παλαίστρᾳ 'ἤδη δ' ἧψε χύτραν ῥαφάνων.' Πολύζηλος δ' ἐν Μουσῶν γοναῖς κράμβας αὐτὰς ὀνομάζων φησίν 'ὑψιπέταλοί τε κράμβαι συχναί.'

11. ΣΕΥΤΛΑ. τούτων φησὶν ὁ Θεόφραστος εὐ-
371 χυλότερον εἶναι τὸ λευκὸν τοῦ μέλανος καὶ ὀλιγοσπερμότερον, καὶ καλεῖσθαι σικελικόν. ἡ δὲ σευτλὶς ἕτερον, φησί, τοῦ τεύτλου ἐστί. διὸ καὶ Δίφιλος ὁ κωμῳδιοποιὸς ἐν Ἥρῳ δράματι ἐπιτιμᾷ τινι ὡς κακῶς λέγοντι καὶ τὰ τεῦτλα τευτλίδας καλῶν. Εὔδημος δ' ἐν τῷ περὶ λαχάνων τέσσαρα γένη φησὶν εἶναι τεύτλων, σπαστὸν καυλωτὸν λευκὸν πάνδημον· τοῦτο δ' εἶναι τῇ χρόᾳ φαιόν. Δίφιλος δ' ὁ Σίφνιος τὸ σευτλίον φησὶν εὐχυλότερον εἶναι τῆς κράμβης καὶ θρεπτικώτερον μετρίως· ἐκζεστὸν δὲ καὶ λαμβα-
b νόμενον μετὰ νάπυος λεπτυντικώτερον εἶναι καὶ ἑλμίνθων φθαρτικόν. εὐκοιλιώτερον δὲ τὸ λευκόν, τὸ δὲ μέλαν οὐρητικώτερον. ὑπάρχειν δὲ αὐτῶν καὶ τὰς ῥίζας εὐστομωτέρας καὶ πολυτροφωτέρας.'

12. ΣΤΑΦΥΛΙΝΟΣ. 'οὗτος δριμύς ἐστι (φησὶν ὁ Δίφιλος) ἱκανῶς δὲ θρεπτικὸς καὶ εὐστόμαχος μέσως, διαχωρητικός τε καὶ πνευματώδης, δύσπεπτος, οὐρητικός, ἱκανῶς διεγερτικὸς πρὸς ἀφροδίσια· διὸ καὶ ὑπ' ἐνίων φίλτρον καλεῖται.' Νουμήνιος δ' ἐν Ἁλιευτικῷ φησί

φύλλων δ' ὅσσ' ἄσπαρτα τά τ' ἐρρίζωται ἀρούραις

χείματος ἠδ' ὁπόταν πολυάνθεμον εἶαρ ἵκηται, c
αὐχμηρὴν σκόλυμόν τε καὶ ἀγριάδα σταφυλῖνον,
ῥάφιν τ' ἔμπεδον καὶ καυλίδα δ' ἀγροιῶτιν.

Νίκανδρος δ' ἐν δευτέρῳ Γεωργικῶν φησίν

ἐν δέ τε καὶ μαράθου καυλὸς βαθύς, ἐν δέ τε ῥίζαι
πετραίου, σὺν δ' αὐτὸς ἐπαυχμήεις σταφυλῖνος,
σμυρνεῖον σόγκος τε κυνόγλωσσός τε σέρις τε·
σὺν καὶ ἄρου δριμεῖα καταψήχοιο πέτηλα,
ἠδ' ὅπερ ὄρνιθος κλέεται γάλα.

μνημονεύει τοῦ σταφυλίνου καὶ Θεόφραστος. Φανίας δ' ἐν πέμπτῳ περὶ φυτῶν γράφει οὕτως 'κατὰ δὲ τὴν d αὐτοῦ τοῦ σπέρματος φύσιν ὁ καλούμενος σὴψ καὶ τὸ τοῦ σταφυλίνου σπέρμα.' κἀν τῷ πρώτῳ δέ φησι 'πετασώδη τὴν τῶν σπερμάτων ἀπείληφε φύσιν ἄννησον μάραθον σταφυλῖνος καυκαλὶς κώνειον κόριον σκιάς, ἣν ἔνιοι μυηφόνον.' ἐπεὶ δὲ ἄρου ἐμνημόνευσεν ὁ Νίκανδρος, προσαποδοτέον ὅτι καὶ Φανίας ἐν τῷ προειρημένῳ βιβλίῳ γράφει οὕτως 'δρακόντιον, ὃ ἔνιοι ἄρον ἀρωνία.' τὸν δὲ σταφυλῖνον Διοκλῆς ἐν πρώτῳ Ὑγιεινῶν ἀσταφυλῖνον καλεῖ. τὸ δὲ καρωτὸν e καλούμενον, μέγας δ' ἐστὶ καὶ εὐαυξὴς σταφυλῖνος, εὐχυλότερόν ἐστι τοῦ σταφυλίνου, καὶ μᾶλλον θερμαντικώτερον, οὐρητικώτερον, εὐστόμαχον, εὐοικονόμητον, ὡς ὁ Δίφιλος ἱστορεῖ.

13. ΚΕΦΑΛΩΤΟΝ. τοῦτο καὶ πράσιον καλεῖσθαί φησιν ὁ αὐτὸς Δίφιλος καὶ εὐχυλότερον εἶναι τοῦ καρωτοῦ. εἶναι δὲ καὶ αὐτὸ μέσως λεπτυντικὸν θρεπτικόν τε καὶ πνευματῶδες. Ἐπαίνετος δ' ἐν Ὀψαρτυτικῷ τὰ κεφαλωτὰ καλεῖσθαί φησι γηθυλλίδας. τοῦτο δὲ τὸ ὄνομα μνήμης εὑρίσκω τετυχηκὸς παρὰ μὲν Εὐβούλῳ ἐν Πορνοβοσκῷ οὕτως f

οὐκ ἂν δυναίμην ἐμφαγεῖν ἄρτον τινά·
παρὰ Γναθαινίῳ γὰρ ἄρτι κατέφαγον,
ἕψουσαν αὐτὴν καταλαβὼν γηθυλλίδας.

οἳ δὲ τὸ γήθυον καλούμενον τοῦτό φασιν εἶναι, οὗ μνημονεύει Φρύνιχος ἐν Κρόνῳ. ὅπερ ἐξηγούμενος δρᾶμα Δίδυμος ὅμοιά φησιν εἶναι τὰ γήθυα τοῖς λεγομένοις ἀμπελοπράσοις, τὰ δ' αὐτὰ καὶ γηθυλλίδας λέγεσθαι. μνημονεύει τῶν γηθυλλίδων καὶ Ἐπίχαρμος ἐν Φιλοκτήτῃ οὕτως

372 ἓν δὲ σκορόδιον καὶ δύω γαθυλλίδες.

καὶ Ἀριστοφάνης Αἰολοσίκωνι δευτέρῳ

τῶν δὲ γηθύων
ῥίζας ἐχούσας σκοροδομίμητον φύσιν.

Πολέμων δ' ὁ περιηγητὴς ἐν τῷ περὶ Σαμοθράκης καὶ κιττῆσαί φησι τῆς γηθυλλίδος τὴν Λητώ, γράφων οὕτως ʽδιατέτακται παρὰ Δελφοῖς τῇ θυσίᾳ τῶν θεοξενίων, ὃς ἂν κομίσῃ γηθυλλίδα μεγίστην τῇ Λητοῖ, λαμβάνειν μοῖραν ἀπὸ τῆς τραπέζης. ἑόρακά τε καὶ αὐτὸς οὐκ ἐλάττω γηθυλλίδα γογγυλίδος καὶ τῆς
b στρογγύλης ῥαφανῖδος. ἱστοροῦσι δὲ τὴν Λητὼ κύουσαν τὸν Ἀπόλλωνα κιττῆσαι γηθυλλίδος· διὸ δὴ τῆς τιμῆς τετυχηκέναι ταύτης.'

14. ΚΟΛΟΚΥΝΤΗ. χειμῶνος δὲ ὥρᾳ ποτὲ κολοκυντῶν ἡμῖν περιενεχθεισῶν πάντες ἐθαυμάζομεν, νεαρὰς εἶναι νομίζοντες, καὶ ὑπεμιμνησκόμεθα ὧν ἐν Ὥραις ὁ χαρίεις Ἀριστοφάνης εἶπεν ἐπαινῶν τὰς καλὰς Ἀθήνας ἐν τούτοις

Α. ὄψει δὲ χειμῶνος μέσου σικυοὺς βότρυς ὀπώραν,
στεφάνους ἴων [κρίνων ῥόδων], κονιορτὸν ἐκτυφλοῦντα.
c αὐτὸς δ' ἀνὴρ πωλεῖ κίχλας ἀπίους σχαδόνας ἐλάας

πῦον χόρια χελιδόνια τέττιγας ἐμβρύεια.
ὑριχοὺς δ' ἴδοις ἂν νιφομένους σύκων ὁμοῦ τε μύρτων·
ἔπειτα κολοκύντας ὁμοῦ ταῖς γογγυλίσιν ἀροῦσιν.
ὥστ' οὐκ ἔτ' οὐδεὶς οἶδ' ὁπηνίκ' ἐστὶ τοὐνιαυτοῦ.
Β. μέγιστον εἶπας ἀγαθόν, εἴπερ ἔστι δι' ἐνιαυτοῦ
ὅτου τις ἐπιθυμεῖ λαβεῖν. Γ. κακὸν μὲν οὖν μέγιστον.
εἰ μὴ γὰρ ἦν, οὐκ ἂν ἐπεθύμουν οὐδ' ἂν ἐδαπανῶντο.
ἐγὼ δὲ τοῦτ' ὀλίγον χρόνον φήνας ἀφειλόμην ἄν.
Α. κἄγωγε ταῖς ἄλλαις πόλεσι δρῶ ταῦτα πλὴν Ἀθηνῶν.
τούτοις δ' ὑπάρχει ταῦτ', ἐπειδὴ τοὺς θεοὺς σέβουσιν. d
Γ. ἀπέλαυσαν ἄρα σέβοντες ὑμᾶς ὡς σὺ φῄς. Α. τιητί;
Γ. Αἴγυπτον αὐτῶν τὴν πόλιν πεποίηκας ἀντ' Ἀθηνῶν.

ἐθαυμάζομεν οὖν τὰς κολοκύντας μηνὶ ἰανουαρίῳ ἐσθίοντες· χλωραί τε γὰρ ἦσαν καὶ τὸ ἴδιον ἀπεδίδοσαν τοῦ χυμοῦ. ἐτύγχανον δὲ οὖσαι τῶν συντεθειμένων ὑπὸ τῶν τὰ τοιαῦτα μαγγανεύειν εἰδότων ὀψαρτυτῶν. ἐζήτει οὖν ὁ Λαρήνσιος εἰ καὶ τὴν χρῆσιν ταύτην ἠπίσταντο οἱ ἀρχαῖοι. καὶ ὁ Οὐλπιανὸς ἔφη, e
Νίκανδρος ὁ Κολοφώνιος ἐν τῷ δευτέρῳ τῶν Γεωργικῶν μνημονεύει ταύτης τῆς χρήσεως, σικύας ὀνομάζων τὰς κολοκύντας. οὕτως γὰρ ἐκαλοῦντο, ὡς πρότερον εἰρήκαμεν. λέγει δ' οὕτως

αὔτας μὴν σικύας τμήγων ἀνὰ κλώσμασιν εἴραις,
ἠέρι δὲ ξήρανον, ἐπεγκρεμάσαιο δὲ καπνῷ,
χείμασιν ὄφρ' ἂν δμῶες ἅλις περιχανδέα χύτρον
f πλήσαντες ῥοφέωσιν ἀεργέες· ἔνθα τε μέτρῳ
ὄσπρια πανσπερμηδὸν ἐπεγχεύῃσιν ἀλετρίς.
τῇ ἔνι μὲν σικύης ὅρμους βάλον ἐκπλύναντες,
ἐν δὲ μύκην σειράς τε πάλαι λαχάνοισι πλακείσας,
οὐλοτέροις καυλοῖς τε μιγήμεναι εὐφαορίζῃ.

373 15. ΟΡΝΕΙΣ. ἐπεὶ δὲ καὶ ὄρνεις ἐπῆσαν ταῖς κολοκύνταις καὶ ἄλλοις κνιστοῖς λαχάνοις (οὕτως δ' εἴρηκεν Ἀντιφάνης ἐν Δηλίᾳ τὰ συγκοπτὰ λάχανα 'κνίστ' ἢ στέμφυλα') ὁ Μυρτίλος ἔφη, ἀλλὰ μὴν καὶ ὄρνιθας καὶ ὀρνίθια νῦν μόνως ἡ συνήθεια καλεῖ τὰς θηλείας, ὧν ὁρῶ περιφερομένων πλῆθος· (καὶ Χρύσιππος δ' ὁ φιλόσοφος ἐν τῷ πέμπτῳ περὶ τοῦ καλοῦ καὶ τῆς ἡδονῆς γράφει οὕτως 'καθάπερ τινὲς τὰς λευκὰς ὄρνιθας τῶν μελαινῶν ἡδίους εἶναι μᾶλ-
b λον'), ἀλεκτρυόνας δὲ καὶ ἀλέκτορας τοὺς ἄρρενας, τῶν ἀρχαίων δὲ τὸ ὄρνις καὶ ἀρσενικῶς καὶ θηλυκῶς λεγόντων ἐπ' ἄλλων ὀρνέων, οὐ περὶ τούτου τοῦ εἰδικοῦ 'περὶ οὗ φησὶν ἡ συνήθεια' ὄρνιθας ὠνήσασθαι. Ὅμηρος μὲν οὖν φησίν

ὄρνιθες δέ τε πολλοὶ ὑπ' αὐγὰς ἠελίοιο.

καὶ ἀλλαχόθι θηλυκῶς 'ὄρνιθι λιγυρῇ. καί

ὡς δ' ὄρνις ἀπτῆσι νεοσσοῖσι προφέρῃσιν
μάστακ', ἐπεί κε λάβῃσι, κακῶς δέ τέ οἱ πέλει αὐτῇ.

c Μένανδρος δ' ἐν Ἐπικλήρῳ πρώτῃ σαφῶς τὸ ἐπὶ τῆς συνηθείας φησὶν ἐμφανίζων οὕτως 'ἀλεκτρυών τις

ἐκεκράγει μέγα. οὐ σοβήσετ' ἔξω, φησί, τὰς ὄρνιθας ἀφ' ἡμῶν;' καὶ πάλιν

αὕτη ποτ' ἐξεσόβησε τὰς ὄρνις μόλις.

ὀρνίθια δ' εἴρηκε Κρατῖνος ἐν Νεμέσει οὕτως 'τἆλλα πάντ' ὀρνίθια.' ἐπὶ δὲ τοῦ ἀρσενικοῦ οὐ μόνον ὄρνιν ἀλλὰ καὶ ὄρνιθα. ὁ αὐτὸς Κρατῖνος ἐν τῷ αὐτῷ d
δράματί φησιν 'ὄρνιθα φοινικόπτερον' καὶ πάλιν

ὄρνιθα τοίνυν δεῖ σε γίγνεσθαι μέγαν.

καὶ Σοφοκλῆς Ἀντηνορίδαις

ὄρνιθα καὶ κήρυκα καὶ διάκονον.

Αἰσχύλος Καβείροις

ὄρνιθα δ' οὐ ποιῶ σε τῆς ἐμῆς ὁδοῦ.

Ξενοφῶν δ' ἐν δευτέρῳ Παιδείας 'ἐπὶ μὲν τοὺς ὄρνιθας τῷ ἰσχυροτάτῳ χειμῶνι.' Μένανδρος Διδύμαις 'ὄρνις φέρων ἐλήλυθα.' καὶ ἑξῆς 'ὄρνιθας ἀποστέλλει' φησίν. ὅτι δὲ καὶ ἐπὶ τοῦ πληθυντικοῦ ὄρνις λέγουσι πρόκειται τὸ Μενάνδρειον μαρτύριον· ἀλλὰ καὶ Ἀλ- e
κμάν πού φησι

αὖσαν δ' ἄπρακτα νεάνιδες
ὥστ' ὄρνις ἱέρακος ὑπερπταμένω.

καὶ Εὔπολις ἐν Δήμοις

οὐ δεινὸν οὖν κριοὺς ἔμ' ἐκγεννᾶν τέκνα,
ὄρνις δ' ὁμοίους τοὺς νεοττοὺς τῷ πατρί;

16. τὸν δ' ἀλεκτρυόνα ἐκ τῶν ἐναντίων οἱ ἀρχαῖοι καὶ θηλυκῶς εἰρήκασι. Κρατῖνος Νεμέσει

Λήδα, σὸν ἔργον· δεῖ σ' ὅπως εὐσχήμονος
ἀλεκτρυόνος μηδὲν διοίσεις τοὺς τρόπους
ἐπὶ τῷδ' ἐπῴζουσ', ὡς ἂν ἐκλέψῃς καλὸν
ἡμῖν τι καὶ θαυμαστὸν ἐκ τοῦδ' ὄρνεον. f

Στράττις Ψυχασταῖς

αἱ δ' ἀλεκτρυόνες ἅπασαι
καὶ τὰ χοιρίδια τέθνηκε

καὶ τὰ μίκρ' ὀρνίθια.

Ἀναξανδρίδης Τηρεῖ

ὀχευομένους δὲ τοὺς κάπρους
καὶ τὰς ἀλεκτρυόνας θεωροῦσ' ἄσμενοι.

ἐπεὶ δὲ τοῦ κωμικοῦ τούτου ἐμνήσθην καὶ οἶδα τὸ δρᾶμα τὸν Τηρέα αὐτοῦ μὴ κεκριμένον ἐν τοῖς πρώ-
374 τοις, ἐκθήσομαι ὑμῖν, ἄνδρες φίλοι, εἰς κρίσιν ἃ εἴρηκε περὶ αὐτοῦ Χαμαιλέων ὁ Ἡρακλεώτης ἐν ἕκτῳ περὶ κωμῳδίας γράφων ὧδε ''Ἀναξανδρίδης διδάσκων ποτὲ διθύραμβον Ἀθήνησιν εἰσῆλθεν ἐφ' ἵππου καὶ ἀπήγγειλέ τι τῶν ἐκ τοῦ ᾄσματος. ἦν δὲ τὴν ὄψιν καλὸς καὶ μέγας καὶ κόμην ἔτρεφε καὶ ἐφόρει ἁλουργίδα καὶ κράσπεδα χρυσᾶ. πικρὸς δ' ὢν τὸ ἦθος ἐποίει τι τοιοῦτον περὶ τὰς κωμῳδίας. ὅτε γὰρ
b μὴ νικῴη, λαμβάνων ἔδωκεν εἰς τὸν λιβανωτὸν κατατεμεῖν, καὶ οὐ μετεσκεύαζεν ὥσπερ οἱ πολλοί. καὶ πολλὰ ἔχοντα κομψῶς τῶν δραμάτων ἠφάνιζε, δυσκολαίνων τοῖς θεαταῖς διὰ τὸ γῆρας. [λέγεται δ' εἶναι τὸ γένος Ῥόδιος ἐκ Καμείρου.] θαυμάζω οὖν πῶς ὁ Τηρεὺς περιεσώθη μὴ τυχὼν νίκης καὶ ἄλλα δράματα τῶν ὁμοίων τοῦ αὐτοῦ.' καὶ Θεόπομπος δ' ἐν Εἰρήνῃ ἐπὶ τῆς θηλείας ἔταξε τὸν ἀλεκτρυόνα λέγων οὕτως

ἄχθομαι δ' ἀπολωλεκὼς
ἀλεκτρυόνα τίκτουσαν ᾠὰ πάγκαλα.

c καὶ Ἀριστοφάνης Δαιδάλῳ

ᾠὸν μέγιστον τέτοκεν ὡς ἀλεκτρυών.

καὶ πάλιν

πολλαὶ τῶν ἀλεκτρυόνων βίᾳ
ὑπηνέμια τίκτουσιν ᾠὰ πολλάκις.

ἐν δὲ Νεφέλαις διδάσκων τὸν πρεσβύτην περὶ ὀνόματος διαφορᾶς φησί

νῦν δὲ πῶς με χρὴ καλεῖν;

B. ἀλεκτρύαιναν, τὸν δ' ἕτερον ἀλέκτορα.

λέγεται δὲ καὶ ἀλεκτορὶς καὶ ἀλέκτωρ. Σιμωνίδης d 'ἡμερόφων' ἀλέκτωρ' ἔφη. Κρατῖνος Ὥραις

ὥσπερ ὁ περσικὸς ὥραν πᾶσαν καναχῶν ὀλό-
φωνος ἀλέκτωρ.

εἴρηται δ' οὕτως, ἐπειδὴ καὶ ἐκ τοῦ λέκτρου ἡμᾶς διεγείρει. οἱ δὲ Δωριεῖς λέγοντες ὄρνιξ τὴν γενικὴν διὰ τοῦ χ λέγουσιν ὄρνιχος. Ἀλκμὰν δὲ διὰ τοῦ σ τὴν εὐθεῖαν ἐκφέρει 'ἁλιπόρφυρος εἴαρος ὄρνις.' καὶ τὴν γενικήν 'οἶδα δ' ὀρνίχων νόμως πάντων.'

17. ΔΕΛΦΑΞ. Ἐπίχαρμος τὸν ἄρρενα χοῖρον οὕτως καλεῖ ἐν Ὀδυσσεῖ Αὐτομόλῳ e

δέλφακά τε τῶν γειτόνων
τοῖς ἐλευσίνοις φυλάσσων δαιμονίως ἀπώλεσα,
οὐχ ἑκών· καὶ ταῦτα δή με συμβολατεύειν ἔφη
τοῖς Ἀχαιοῖσιν, προδιδόμεν τ' ὤμνυέ με τὸν
δέλφακα.

καὶ Ἀναξίλας δ' ἐν Κίρκῃ καὶ ἀρσενικῶς εἴρηκε τὸν δέλφακα καὶ ἐπὶ τοῦ τελείου τέθεικε τοὔνομα εἰπών

τοὺς μὲν ὀρειονόμους ὑμῶν ποιήσει δέλφακας f
ἠλιβάτους·
τοὺς δὲ πάνθηρας· ἄλλους ἀγρώστας λύκους
[καὶ] λέοντας.

ἐπὶ δὲ τῶν θηλειῶν τοὔνομα τάττει Ἀριστοφάνης Ταγηνισταῖς

ἢ δέλφακος ὀπωρινῆς ἠτριαίαν.

καὶ ἐν Ἀχαρνεῦσιν

νέα γάρ ἐστιν· ἀλλὰ δελφακουμένα
ἑξεῖ μεγάλαν τε καὶ παχεῖαν κἠρυθράν.
ἀλλ' αἱ τράφεν λῇς, ἅδε τοι χοῖρος καλά. 375

καὶ Εὔπολις ἐν Χρυσῷ γένει. καὶ Ἱππῶναξ δ' ἔφη 'ὡς ἐφεστίη δέλφαξ.' κυρίως δ' αἱ θήλειαι οὕτως

λεχθεῖεν ἂν αἱ δελφύας ἔχουσαι. οὕτως δὲ αἱ μῆτραι καλοῦνται καὶ οἱ ἀδελφοὶ ἔνθεν ἐτυμολογοῦνται. περὶ δὲ τῆς ἡλικίας τοῦ ζῴου Κρατῖνός φησιν ἐν Ἀρχιλόχοις

ἤδη δέλφακες, χοῖροι δὲ τοῖσιν ἄλλοις.

Ἀριστοφάνης δ' ὁ γραμματικὸς ἐν τῷ περὶ ἡλικιῶν φησί 'τῶν δὲ συῶν τὰ μὲν ἤδη συμπεπηγότα δέλφα-
b κες, τὰ δ' ἁπαλὰ καὶ ἔνικμα χοῖροι.' ἔνθεν τὸ ὁμηρικὸν σαφὲς γίνεται

τά τε δμώεσσι πάρεστιν
χοίρε', ἀτὰρ σιάλους γε σύας μνηστῆρες ἔδουσιν.

Πλάτων δ' ὁ κωμῳδιοποιὸς ἐν Ποιητῇ ἀρσενικῶς ἔφη 'τὸν δέλφακα ἀπῆγε σιγῇ.' ἦν δὲ καὶ παλαιὸς νόμος, ὥς φησιν Ἀνδροτίων, τῆς ἐπιγονῆς ἕνεκα τῶν θρεμμάτων, μὴ σφάττειν πρόβατον ἄπεκτον ἢ ἄτοκον·
c διὸ τὰ ἤδη τέλεια ἤσθιον. 'ἀτὰρ σιάλους γε σύας μνηστῆρες ἔδουσιν.' καὶ νῦν δὲ τὴν τῆς Ἀθηνᾶς ἱέρειαν οὐ θύειν ἀμνὴν οὐδὲ τυροῦ γεύεσθαι. καὶ κατὰ χρόνον δέ τινα ἐκλιπόντων τῶν βοῶν φησὶν ὁ Φιλόχορος νομοθετηθῆναι διὰ τὴν σπάνιν ἀπέχεσθαι αὐτοὺς τῶν ζῴων, συναγαγεῖν βουλομένους καὶ πληθῦσαι τῷ μὴ καταθύεσθαι. χοῖρον δὲ Ἴωνες καλοῦσι τὴν θήλειαν, ὡς Ἱππῶναξ ἐν *

σπονδῇ τε καὶ σπλάγχνοισιν ἀγρίης χοίρου.

d καὶ Σοφοκλῆς ἐπὶ Ταιναρίοις

τοιγὰρ ἰώδη φυλάξαι χοῖρον ὥστε δεσμίαν.

Πτολεμαῖος δ' ὁ τῆς Αἰγύπτου βασιλεὺς ἐν τῷ ἐνάτῳ τῶν ἀπομνημονευμάτων 'εἰς Ἄσσον (φησὶν) ἐπιδημήσαντί μοι οἱ Ἄσσιοι παρέστησαν χοῖρον ἔχοντα τὸ μὲν ὕψος δύο καὶ ἡμίσους πήχεων, ὅλον δ' ἄρτιον πρὸς τὸ μῆκος, τῇ χροιᾷ χιόνινον. ἔφασάν τε τὸν βασιλέα Εὐμένη τὰ τοιαῦτα ἐπιμελῶς ὠνεῖσθαι παρ'

αὐτῶν, διδόντα τοῦ ἑνὸς δραχμὰς τετρακισχιλίας.' Αἰσχύλος δέ φησιν

ἐγὼ δὲ χοῖρον καὶ μάλ' εὐθηλούμενον e
τόνδ' ἐν ῥοθοῦντι κριβάνῳ θήσω. τί γὰρ
ὄψον γένοιτ' ἂν ἀνδρὶ τοῦδε βέλτερον;

καὶ πάλιν

λευκός, τί δ' οὐχί; καὶ καλῶς ἠφευμένος
ὁ χοῖρος. ἕψου, μηδὲ λυπηθῇς πυρί.

καὶ ἔτι

θύσας δὲ χοῖρον τόνδε τῆς αὐτῆς ὑός,
ἣ πολλά μ' ἐν δόμοισιν εἴργασται κακά,
δονοῦσα καὶ τρέπουσα τύρβ' ἄνω κάτω.

ταῦτα δὲ παρέθετο Χαμαιλέων ἐν τῷ περὶ Αἰσχύλου. f

18. περὶ δὲ ὑῶν ὅτι ἱερόν ἐστι τὸ ζῷον παρὰ Κρησὶν Ἀγαθοκλῆς ὁ Βαβυλώνιος ἐν πρώτῳ περὶ Κυζίκου φησὶν οὕτως 'μυθεύουσι ἐν Κρήτῃ γενέσθαι τὴν Διὸς τέκνωσιν ἐπὶ τῆς Δίκτης, ἐν τῇ καὶ ἀπόρρητος γίνεται θυσίη. λέγεται γὰρ ὡς ἄρα Διὶ θηλὴν 376
ἐπέσχε ὗς, καὶ τῷ σφετέρῳ γρυσμῷ περιοιχνεῦσα τὸν κνυζηθμὸν τοῦ βρέφεος ἀνεπάιστον τοῖσι παριοῦσι ἐτίθει. διὸ πάντες τὸ ζώιον τοῦτο περίσεπτον ἡγεῦνται, καὶ ὑὸς (φησὶ) τῶν κρεῶν [οὐκ ἂν] δαίσαιντο. Πραίσιοι δὲ καὶ ἱρὰ ῥέζουσι ὑί, καὶ αὕτη προτελὴς αὐτοῖσι θυσίη νενόμισται.' τὰ παραπλήσια ἱστορεῖ καὶ Νεάνθης ὁ Κυζικηνὸς ἐν δευτέρῳ περὶ τελετῆς. πεταλίδων συῶν μνημονεύει Ἀχαιὸς ὁ Ἐρετριεὺς ἐν Αἴθωνι σατυρικῷ λέγων οὕτως

πεταλίδων δέ τοι συῶν
μορφαῖσ ταῖσδε πόλλ' ἐπάιον. b

πεταλίδας δ' αὐτὰς εἴρηκε, μεταφέρων ἀπὸ τῶν μόσχων. οὗτοι γὰρ πέτηλοι λέγονται ἀπὸ τῶν κεράτων, ὅταν αὐτὰ ἐκπέταλα ἔχωσι. παραπλησίως δὲ τῷ

Ἀχαιῷ καὶ Ἐρατοσθένης ἐν Ἀντεριννύι τοὺς σύας λαρινοὺς προσηγόρευσε, μεταγαγὼν καὶ αὐτὸς ἀπὸ τῶν λαρινῶν βοῶν, οἳ οὕτως ἐκλήθησαν ἤτοι ἀπὸ τοῦ λαρινεύεσθαι (ὅπερ ἐστὶ σιτίζεσθαι. Σώφρων ʽβόες δὲ λαρινεύονται), ἢ ἀπό τινος κώμης ἠπειρωτικῆς
c Λαρίνης, ἢ ἀπὸ τοῦ βουκολοῦντος αὐτάς· Λαρῖνος δ' οὗτος ἐκαλεῖτο.

19. εἰσαχθέντος δὲ ἡμῖν ποτὲ καὶ δέλφακος, οὗ τὸ μὲν ἥμισυ κραμβαλέον ἦν ἐπιμελῶς πεποιημένον, τὸ δέ τι ἥμισυ ὡς ἂν ἐξ ὕδατος ἡψημένον τακερῶς, καὶ πάντων θαυμαζόντων τοῦ μαγείρου τὴν σοφίαν, μέγα φρονῶν ἐκεῖνος ἐπὶ τῇ τέχνῃ ἔφη, ἀλλὰ μὴν οὐδὲ τὴν σφαγὴν ἔχει τις ὑμῶν ἐπιδεῖξαι ὅπου ἐγένετο, ἢ πῶς αὐτοῦ ἡ γαστὴρ πεπλήρωται παντοίων ἀγαθῶν. καὶ γὰρ κίχλας ἐν ἑαυτῷ ἔχει καὶ ἄλλα ὀρνίθια, ὑπογαστρίων τε μέρη χοιρείων καὶ μήτρας
d τόμους, καὶ τῶν ᾠῶν τὰ χρυσᾶ, ἔτι δὲ ὀρνίθων γαστέρας

αὐταῖσι μήτραις καὶ καλῶν ζωμῶν πλέας,

καὶ τὰ ἐκ σαρκῶν εἰς λεπτὰ κατακνιζόμενα καὶ μετὰ πεπερίδων συμπλαττόμενα· ἰσίκια γὰρ ὀνομάζειν αἰδοῦμαι τὸν Οὐλπιανόν, καίπερ αὐτὸν εἰδὼς ἡδέως αὐτοῖς χρώμενον. πλὴν ὁ ἐμός γε συγγραφεὺς Πάξαμος τῶν ἰσικίων μέμνηται, καὶ οὔ μοι φροντὶς ἀττικῶν χρήσεων. ὑμεῖς οὖν ἐπιδείξατε πῶς τε ὁ χοῖρος ἐσφάγη καὶ πῶς ἐξ ἡμισείας μέν ἐστιν ὀπτός,
e ἑφθὸς δὲ κατὰ θάτερα. ἔτ' οὖν ἡμῶν ἀναζητούντων, ὁ μάγειρος ἔφη, ἀλλ' ἦ νομίζετέ με ἔλαττον πεπαιδεῦσθαι τῶν ἀρχαίων ἐκείνων μαγείρων, περὶ ὧν οἱ κωμῳδιοποιοὶ λέγουσι; Ποσείδιππος μὲν ἐν Χορευούσαις· μάγειρος δ' ἐστὶν ὁ λέγων πρὸς τοὺς μαθητὰς τάδε

20. μαθητὰ Λεύκων οἵ τε συνδιάκονοι
ὑμεῖς· ἅπας γάρ ἐστιν οἰκεῖος τόπος
ὑπὲρ τέχνης λαλεῖν τι. τῶν ἡδυσμάτων
πάντων κράτιστόν ἐστιν ἐν μαγειρικῇ
ἀλαζονεία. τὸ καθ' ὅλου δὲ τῶν τεχνῶν f
ὄψει σχεδόν τι [πάντα] τοῦθ' ἡγούμενον.
ξεναγὸς οὗτος, ὅστις ἂν θώρακ' ἔχῃ
φολιδωτὸν ἢ δράκοντα σεσιδηρωμένον,
ἐφάνη Βριάρεως, ἂν τύχῃ δ' ἐστὶν λαγώς.
ὁ μάγειρις ἂν μὲν ὑποδιακόνους ἔχων
πρὸς τὸν ἰδιώτην καὶ μαθητὰς εἰσίῃ,
κυμινοπρίστας πάντας ἢ λιμοὺς καλῶν, 377
ἔπτηξ' ἕκαστος εὐθύς. ἂν δ' ἀληθινὸν
σαυτὸν παραβάλλῃς, καὶ πρὸς ἐκδαρεὶς ἄπει.
ὅπερ οὖν ὑπεθέμην, τῷ κενῷ χώραν δίδου,
καὶ τὰ στόμια γίγνωσκε τῶν κεκλημένων.
ὥσπερ γὰρ εἰς τἀμπόρια, τῆς τέχνης πέρας
τοῦτ' ἔστιν, ἂν εὖ προσδράμῃς πρὸς τὸ στόμα.
διακονοῦμεν νῦν γάμους. τὸ θῦμα βοῦς·
ὁ διδοὺς ἐπιφανής, ἐπιφανὴς ὁ λαμβάνων· b
τούτων γυναῖκές εἰσ' ἱέρειαι τῇ θεῷ·
κορύβαντες, αὐλοί, παννυχίδες, ἀναστροφή.
ἱππόδρομος οὗτός ἐστί σοι μαγειρικῆς.
μέμνησο καὶ σὺ τοῦτο.

καὶ περὶ ἑτέρου δὲ μαγείρου, ὄνομα δέ ἐστι Σεύθης, ὁ αὐτός φησι ποιητὴς οὕτως

ἰδιώτης μέγας
αὐτοῖς ὁ Σεύθης. οἶσθα δ', ὦ βέλτισθ', ὅτι c
ἀγαθοῦ στρατηγοῦ διαφέρειν οὐδὲν δοκεῖ.
οἱ πολέμιοι πάρεισιν· ὁ βαθὺς τῇ φύσει
στρατηγὸς ἕστηκεν, τὸ πρᾶγμ' ἐδέξατο.
πολέμιός ἐστι πᾶς ὁ συμπίνων ὄχλος.

*κινεῖ γὰρ ἀθρόως οὗτος, εἰσελήλυθεν,*
*ἐκ πεντεκαίδεχ' ἡμερῶν προηλπικὼς*
*τὸ δεῖπνον, ὁρμῆς μεστός, ἐκκεκαυμένος,*
*τηρῶν πότ' ἐπὶ τὰς χεῖρας οἴσει τις. νόει*
*ὄχλου τοιούτου ῥαχίαν ἠθροισμένην.*

d 21. ὁ δ' ἐν τοῖς Εὔφρονος Συνεφήβοις μάγειρος ἀκούσατε οἷα παραινεῖ

*ὅταν ἐρανισταῖς, Καρίων, διακονῇς,*
*οὐκ ἔστι παίζειν οὐδ' ἃ μεμάθηκας ποιεῖν.*
*ἐχθὲς κεκινδύνευκας. οὐδεὶς εἶχέ σοι*
*κωβιὸς ὅλως γὰρ ἧπαρ, ἀλλ' ἦσαν κενοί·*
*ὁ κέφαλος ἠλλοίωτο. δεῖ δέ, Καρίων,*
*ὅταν μὲν ἔλθῃς εἰς τοιοῦτον συρφετόν,*
*Δρόμωνα καὶ Κέρδωνα καὶ Σωτηρίδην,*
*μισθὸν διδόντας ὅσον ἂν αἰτήσῃς, ἁπλῶς*
e *εἶναι δίκαιον· οἷ δὲ νῦν βαδίζομεν,*
*εἰς τοὺς γάμους, ἀνδροφόνον. ἂν τοῦτ' αἰσθάνῃ,*
*ἐμὸς εἶ μαθητὴς καὶ μάγειρος οὐ κακός.*
*ὁ καιρὸς εὐκτός· ὠφελοῦ. φιλάργυρος*
*ὁ γέρων, ὁ μισθὸς μικρός· εἴ σε λήψομαι*
*νῦν μὴ κατεσθίοντα καὶ τοὺς ἄνθρακας,*
*ἀπόλωλας. εἴσω, πάραγε· καὶ γὰρ οὑτοσὶ*
*προσέρχεθ' ὁ γέρων. ὡς δὲ καὶ γλίσχρον βλέπει.*

f 22. μέγας δ' ἐστὶ σοφιστὴς καὶ οὐδὲν ἥττων τῶν ἰατρῶν εἰς ἀλαζονείαν καὶ ὁ παρὰ Σωσιπάτρῳ μάγειρος ἐν Καταψευδομένῳ λέγων ὧδε

*οὐ παντελῶς εὐκαταφρόνητος ἡ τέχνη,*
*ἂν κατανοήσῃς, ἐστὶν ἡμῶν, Δημύλε.*
*ἀλλὰ πέπλυται τὸ πρᾶγμα, καὶ πάντες σχεδὸν*
*εἶναι μάγειροί φασιν, οὐδὲν εἰδότες.*
*ὑπὸ τῶν τοιούτων δ' ἡ τέχνη λυμαίνεται.*
378 *ἐπεί, μάγειρον ἂν λάβῃς ἀληθινόν,*

ἐκ παιδὸς ὀρθῶς εἰς τὸ πρᾶγμ' εἰσηγμένον,
καὶ τὰς δυνάμεις κατέχοντα καὶ τὰ μαθήματα
ἅπαντ' ἐφεξῆς εἰδόθ', ἕτερόν σοι τυχὸν
φανήσεται τὸ πρᾶγμα. τρεῖς ἡμεῖς μόνοι
ἐσμὲν ἔτι λοιποί, Βοιδίων καὶ Χαριάδης
ἐγώ τε. τοῖς λοιποῖς δὲ προσπέρδου. Β. τί φής;
Α. ἐρῶ. τὸ διδασκαλεῖον ἡμεῖς σώζομεν
τὸ Σίκωνος. οὗτος τῆς τέχνης ἀρχηγὸς ἦν, b
περὶ φύσεως κατεῖχε πάντας τοὺς λόγους.
ἐδίδασκεν ἡμᾶς πρῶτον ἀστρολογεῖν. Β. βαβαί.
Α. ἔπειτα μετὰ ταῦτ' εὐθὺς ἀρχιτεκτονεῖν,
ἐπὶ πᾶσι τούτοις ἔλεγε τὰ στρατηγικά.
πρὸ τῆς τέχνης ἔσπευδε ταῦθ' ἡμᾶς μαθεῖν.
Β. ἆρα σύ με κόπτειν οἷος εἶ γε, φίλτατε;
Α. οὐκ ἀλλ' ἐν ὅσῳ προσέρχετ' ἐξ ἀγορᾶς ὁ παῖς,
μικρὰ διακινήσω σε περὶ τοῦ πράγματος, c
ἵνα τῷ λαλεῖν λάβωμεν εὔκαιρον χρόνον.
Β. Ἄπολλον ἐργῶδές γ'. Α. ἄκουσον ὦγαθέ.
δεῖ τὸν μάγειρον εἰδέναι πρώτιστα μὲν
περὶ τῶν μετεώρων τάς τε τῶν ἄστρων δύσεις
καὶ τὰς ἐπιτολὰς καὶ τὸν ἥλιον πότε
ἐπὶ τὴν μακράν τε καὶ βραχεῖαν ἡμέραν
ἐπάνεισι, κἀν ποίοισίν ἐσται ζῳδίοις.
τὰ γὰρ ὄψα πάντα καὶ τὰ βρώματα σχεδὸν
ἐν τῇ περιφορᾷ τῆς ὅλης συντάξεως d
ἑτέραν ἐν ἑτέροις λαμβάνει τὴν ἡδονήν.
ὁ μὲν οὖν κατέχων τὰ τοιαῦτα τὴν ὥραν ἰδὼν
τούτων, ἑκάστοις ὡς προσήκει χρήσεται,
ὁ δ' ἀγνοῶν ταῦτ' εἰκότως τυντλάζεται.
πάλιν τὸ περὶ τῆς ἀρχιτεκτονικῆς ἴσως
ἐθαύμασας τί τῇ τέχνῃ συμβάλλεται.
Β. ἐγὼ δ' ἐθαύμασ'; Α. ἀλλ' ὅμως ἐγὼ φράσω.

τοὐπτάνιον ὀρθῶς καταβαλέσθαι καὶ τὸ φῶς
e λαβεῖν ὅσον δεῖ καὶ τὸ πνεῦμ' ἰδεῖν πόθεν
ἐστίν, μεγάλην χρείαν τιν' εἰς τὸ πρᾶγμ' ἔχει.
ὁ καπνὸς φερόμενος δεῦρο κἀκεῖ διαφορὰν
εἴωθε τοῖς ὄψοισιν ἐμποιεῖν τινά.
τί οὖν; ἔτι σοι δίειμι τὰ στρατηγικά . . .
ἔγωγε τὸν μάγειρον. ἡ τάξις σοφὸν
ἁπανταχοῦ μέν ἐστι κἀν πάσῃ τέχνῃ,
f ἐν τῇ καθ' ἡμᾶς δ' ὥσπερ ἡγεῖται σχεδόν.
τὸ γὰρ παραθεῖναι κἀφελεῖν τεταγμένως
ἕκαστα, καὶ τὸν καιρὸν ἐπὶ τούτοις ἰδεῖν,
πότε δεῖ πυκνότερον ἐπαγαγεῖν καὶ πότε βάδην,
καὶ πῶς ἔχουσι πρὸς τὸ δεῖπνον, καὶ πότε
εὔκαιρον αὐτῶν ἐστὶ τῶν ὄψων τὰ μὲν
θερμὰ παραθεῖναι, τὰ δ' ἐπανέντα, τὰ δὲ μέσως
τὰ δ' ὅλως ἀποψύξαντα, ταῦτα πάντα δὴ
379 ἐν τοῖς στρατηγικοῖσιν ἐξετάζεται
μαθήμασιν. τίς δή τι . . . Β. παραδείξας ἐμοὶ
τὰ δέοντ' ἀπελθὼν αὐτὸς ἡσυχίαν ἄγε.

23. καὶ ὁ παρὰ τῷ Ἀλέξιδι δὲ ἐν Μιλησίοις μάγειρος οὐ μακρὰν τούτου ἐστὶ λέγων τοιάδε

οὐκ ἴστε ταῖς πλείσταισι τῶν τεχνῶν ὅτι
οὐχ ἁρχιτέκτων κύριος τῆς ἡδονῆς
μόνος καθέστηκ', ἀλλὰ καὶ τῶν χρωμένων
συμβάλλεταί τις, ἂν καλῶς χρῶνται, μερίς;
b Β. ποῖόν τι; δεῖ γὰρ κἀμὲ τὸν ξένον μαθεῖν.
Α. τὸν ὀψοποιὸν σκευάσαι χρηστῶς μόνον
δεῖ τοὖψον, ἄλλο δ' οὐδέν. ἂν μὲν οὖν τύχῃ
ὁ ταῦτα μέλλων ἐσθίειν τε καὶ κρινεῖν
εἰς καιρὸν ἐλθών, ὠφέλησε τὴν τέχνην·
ἂν δ' ὑστερίζῃ τῆς τεταγμένης ἀκμῆς,
ὥστ' ἢ προοπτήσαντα χλιαίνειν πάλιν,

ἢ μὴ προοπτήσαντα συντελεῖν ταχύ,
ἀπεστέρησε τῆς τέχνης τὴν ἡδονήν.
εἰς τοὺς σοφιστὰς τὸν μάγειρον ἐγγράφω·
ἑστήκαθ' ὑμεῖς· κάεται δέ μοι τὸ πῦρ· c
ἤδη πυκνοὶ δ' ᾄττουσιν Ἡφαίστου κύνες
κούφως πρὸς αἴθραν, οἷς τὸ γίγνεσθαί θ' ἅμα
καὶ τὴν τελευτὴν τοῦ βίου συνῆψέ τις
μόνοις ἀνάγκης θεσμὸς οὐχ ὁρώμενος.

24. Εὔφρων δέ, οὗ καὶ πρὸ βραχέος ἐμνήσθην, ἄνδρες δικασταί, δικαστὰς γὰρ ὑμᾶς οὐκ ὀκνήσαιμ' ἂν καλεῖν ἀναμένων τὴν ὑμετέραν τῶν αἰσθητηρίων κρίσιν, ἐν τοῖς Ἀδελφοῖς τῷ δράματι ποιήσας τινὰ μάγειρον πολυμαθῆ καὶ εὐπαίδευτον, μνημονεύοντά d
τε τῶν πρὸ αὐτοῦ τεχνιτῶν καὶ τίνα ἕκαστος εἶχεν ἰδίαν ἀρετὴν καὶ ἐν τίνι ἐπλεονέκτει, ὅμως οὐδενὸς ἐμνήσθη τοιούτου ὧν ἐγὼ ὑμῖν πολλάκις τυγχάνω παρασκευάζων. λέγει δ' οὖν οὕτως

πολλῶν μαθητῶν γενομένων ἐμοί, Λύκε,
διὰ τὸ νοεῖν ἀεί τι καὶ ψυχὴν ἔχειν,
ἄπει γεγονὼς μάγειρος ἐκ τῆς οἰκίας
ἐν οὐδ' ὅλοις δέκα μησί, πολὺ νεώτατος.
Ἆγις Ῥόδιος ὤπτηκεν ἰχθὺν μόνος ἄκρως· e
Νηρεὺς δ' ὁ Χῖος γόγγρον ἧψε τοῖς θεοῖς·
θρῖον τὸ λευκὸν οὑξ Ἀθηνῶν Χαριάδης·
ἀλλᾶντας Ἀφθόνητος, Εὔθυνος φακῆν·
ζωμὸς μέλας ἐγένετο πρώτῳ Λαμπρίᾳ·
ἀπὸ συμβολῶν συνάγουσιν ἀρίστων πόρους . . .
οὗτοι μετ' ἐκείνους τοὺς σοφιστὰς τοὺς πάλαι
γεγόνασιν ἡμῶν ἑπτὰ δεύτεροι σοφοί.
ἐγὼ δ' ὁρῶν τὰ πολλὰ προκατειλημμένα f
εὗρον τὸ κλέπτειν πρῶτος, ὥστε μηδένα
μισεῖν με διὰ τοῦτ', ἀλλὰ πάντας λαμβάνειν.

ὑπ᾽ ἐμοῦ δ᾽ ὁρῶν σὺ τοῦτο προκατειλημμένον,
ἴδιον ἐφεύρηκάς τι, καὶ τοῦτ᾽ ἐστὶ σόν.
πέμπτην ἔθυον ἡμέραν οἱ Τήνιοι,
πολιοὶ γέροντες πλοῦν πολὺν πεπλευκότες,
380 λεπτὸν ἔριφον καὶ μικρόν. οὐκ ἦν ἐκφορὰ
Λύκῳ κρεῶν τότ᾽ οὐδὲ τῷ διδασκάλῳ.
ἑτέρους πορίσασθαι δύ᾽ ἐρίφους ἠνάγκασας·
τὸ γὰρ ἧπαρ αὐτῶν πολλάκις σκοπουμένων
καθεὶς κάτω τὴν χεῖρα τὴν μίαν λαθὼν
ἔρριψας εἰς τὸν λάκκον ἰταμῶς τὸν νεφρόν.
πολὺν ἐποίησας θόρυβον. οὐκ ἔχει νεφρόν,
b ἔλεγον. ἔκυπτον οἱ παρόντες ἀποβολῇ,
ἔθυσαν ἕτερον. τοῦ δὲ δευτέρου πάλιν
τὴν καρδίαν εἶδόν σε καταπίνοντ᾽ ἐγώ.
πάλαι μέγας εἶ, γίγνωσκε· τοῦ γὰρ μὴ χανεῖν
λύκον διὰ κενῆς σὺ μόνος εὕρηκας τέχνην.
χορδῆς ὀβελίσκους ἡμέρας ζητουμένους
δύ᾽ ἐχθὲς ὠμοὺς εἰς τὸ πῦρ ἀπέσβεσας.
καὶ πρὸς τὸ δίχορδον ἐτερέτιζες. ᾐσθόμην.
c ἐκεῖνο δρᾶμα, τοῦτο δ᾽ ἐστὶ παίγνιον.

25. μή τις οὖν τούτων τῶν δευτέρων ἑπτὰ σοφῶν ὀνομασθέντων τοιοῦτόν τι ἐπενόησε περὶ τοῦ χοίρου, πῶς καὶ τὰ ἐντὸς πεπλήρωται, καὶ τὸ μὲν ὀπταλέον ἐστὶν αὐτοῦ τὸ δ᾽ ἑφθόν, αὐτὸς δ᾽ ἐστὶν ἄσφακτος. δεομένων οὖν ἡμῶν καὶ λιπαρούντων δεικνύναι τὴν σοφίαν, οὐκ ἐρῶ, φησί, τῆτες, μὰ τοὺς ἐν Μαραθῶνι κινδυνεύσαντας καὶ προσέτι τοὺς ἐν Σαλαμῖνι ναυμαχήσαντας. ἔδοξεν οὖν πᾶσι διὰ τὸν
d τηλικόνδε ὅρκον μὴ βιάζεσθαι τὸν ἄνθρωπον, ἐπ᾽ ἄλλο δέ τι τῶν παραφερομένων τὰς χεῖρας ἐπιβάλλειν. καὶ ὁ Οὐλπιανὸς ἔφη, μὰ τοὺς ἐν Ἀρτεμισίῳ κινδυνεύσαντας, οὐδείς τινος γεύσεται, πρὶν λεχθῆ-

ναι ποῦ κεῖται τὸ παραφέρειν. τὰ γὰρ γεύματα ἐγὼ οἶδα μόνος. καὶ ὁ Μάγνος ἔφη, Ἀριστοφάνης ἐν Προαγῶνι

τί οὐκ ἐκέλευσας παραφέρειν τὰ ποτήρια;

Σώφρων δ' ἐν γυναικείοις κατὰ κοινότερον κέχρηται e λέγων ʻπαράφερε, Κοικόα, τὸν σκύφον μεστόν.' καὶ Πλάτων δ' ἐν Λάκωσιν ἔφη ʻπλήσας παραφερέτω.' Ἄλεξις Παμφίλῃ

παρέθηκε τὴν τράπεξαν, εἶτα παραφέρων
ἀγαθῶν ἁμάξας.

περὶ δὲ τῶν γευμάτων, ἃ σαυτῷ προὔπιες, ὥρα σοι λέγειν, Οὐλπιανέ. τὸ γὰρ γεῦσαι ἔχομεν παρ' Εὐπόλιδι ἐν Αἰξί

τοῦδε νῦν γεῦσαι λαβών.

καὶ ὁ Οὐλπιανός, Ἔφιππος, ἔφη, ἐν Πελταστῇ

ἔνθ' ὄνων ἵππων τε στάσεις, f
καὶ γεύματ' οἴνων.

Ἀντιφάνης δ' ἐν Διδύμοις

οἰνογευστεῖ, περιπατεῖ
ἐν τοῖς στεφάνοις.

26. ἐπὶ τούτοις ὁ μάγειρος ἔφη, λέξω τοίνυν κἀγὼ οὐκ ἀρχαίαν ἐπίνοιαν, ἀλλ' εὕρεσιν ἐμήν, ἵνα μὴ ὁ αὐλητὴς πληγὰς λάβῃ· ὁ γὰρ Εὔβουλος ἐν Λάκωσιν ἢ Λήδᾳ ἔφη

ἀλλ' ἠκούσαμεν 381
καὶ τοῦτο, νὴ τὴν Ἑστίαν, οἴκοι ποθ' ὡς
ὅσ' ἂν ὁ μάγειρος ἐξαμάρτῃ, τύπτεται,
ὥς φασιν, αὐλητὴς παρ' ὑμῖν.

Φιλύλλιός τε ἢ ὁ ποιήσας τὰς Πόλεις φησίν

ὅ τι ἂν τύχῃ
μάγειρος ἀδικήσας, τὸν αὐλητὴν λαβεῖν
πληγάς.

περὶ ἡμιόπτου καὶ ἡμιέφθου καὶ ἀσφάκτου γεμιστοῦ χοίρου. ὁ μὲν χοῖρος ἐσφάγη ὑπὸ τὸν ὦμον σφαγὴν b βραχεῖαν (καὶ ἐπέδειξεν). ἔπειτα ἀπορρεύσαντος τοῦ πολλοῦ αἵματος πάντα τὰ ἐντοσθίδια μετὰ τῆς ἐξαιρέσεως (εἴρηται γὰρ καὶ ἡ ἐξαίρεσις, ὦ στωμυλῆθραι δαιταλεῖς) διακλύσας ἐπιμελῶς οἴνῳ πολλάκις ἐκρέμασα ἐκ ποδῶν. εἶτα πάλιν οἴνῳ διέβρεξα, καὶ προεψήσας μετὰ πολλοῦ πεπέρεως τὰ προειρημένα χναυμάτια ἔβυσα διὰ τοῦ στόματος, πολλὸν ἐπιχέας ζωμὸν εὖ πάνυ πεποιημένον. καὶ μετὰ ταῦτα περιέπλασα τοῦ χοίρου τὴν ἡμίσειαν, ὡς ὁρᾶτε, ἀλφίτοις πολλοῖς κριθῆς, ἀναδεύσας αὐτὰ οἴνῳ καὶ c ἐλαίῳ. ἔπειτ' ἐνέθηκα κριβάνῳ, ὑποθεὶς τράπεζαν χαλκῆν, ἐστάθευσά τε τῷ πυρί, ὡς μήτε κατακαῦσαι μήτ' ὠμὸν ἀφελεῖν. καὶ τῆς φορίνης ἤδη γενομένης κραμβαλέας, ἤκασα καὶ τἆλλο μέρος ἡψῆσθαι, ἀποβαλών τ' αὐτοῦ τὰ ἄλφιτα οὕτω φέρων ὑμῖν παρέθηκα.

27. τὴν δ' ἐξαίρεσιν, ὦ καλέ μου Οὐλπιανέ, Διονύσιος ὁ κωμῳδιοποιὸς ἐν τοῖς Ὁμωνύμοις τῷ δράματι οὕτως εἴρηκε, ποιήσας τινὰ μάγειρον πρὸς τοὺς μαθητὰς διαλεγόμενον

d ἄγε δὴ Δρόμων νῦν εἴ τι κομψὸν ἢ σοφὸν
ἢ γλαφυρὸν οἶσθα τῶν σεαυτοῦ πραγμάτων,
φανερὸν ποίησον τοῦτο τῷ διδασκάλῳ.
νῦν τὴν ἀπόδειξιν τῆς τέχνης αἰτῶ σ' ἐγώ.
εἰς πολεμίαν ἄγω σε· θαρρῶν κατάτρεχε.
ἀριθμῷ διδόασι τὰ κρέα καὶ τηροῦσί σε.
τακερὰ ποιήσας ταῦτα καὶ ζέσας σφόδρα,
τὸν ἀριθμὸν αὐτῶν, ὡς λέγω σοι, σύγχεον.
ἰχθὺς ἁδρὸς πάρεστι· τἀντός ἐστι σά.
κἂν τέμαχος ἐκκλίνῃς τι, καὶ τοῦτ' ἔστι σόν,

ἕως ἂν ἔνδον ὦμεν· ὅταν ἔξω δ', ἐμόν. e
ἐξαιρέσεις καὶ τἆλλα τἀκόλουθ', ὅσα
οὔτ' ἀριθμὸν οὔτ' ἔλεγχον ἐφ' ἑαυτῶν ἔχει,
περικόμματος δὲ τάξιν ἢ θέσιν φέρει,
εἰς αὔριον σὲ κἀμὲ ταῦτ' εὐφρανάτω.
λαφυροπώλῃ παντάπασι μεταδίδου,
τὴν πάροδον ἵν' ἔχῃς τῶν θυρῶν εὐνουστέραν.
τί δεῖ λέγειν με πολλὰ πρὸς συνειδότα;
ἐμὸς εἶ μαθητής, σὸς δ' ἐγὼ διδάσκαλος.
μέμνησο τῶνδε καὶ βάδιζε δεῦρ' ἅμα.

28. πάντων οὖν ἡμῶν ἐπαινεσάντων τὸν μάγειρον f ἐπί τε τῷ ἑτοίμῳ τῶν λεγομένων καὶ τῇ τῆς τέχνης περιεργίᾳ, ὁ καλὸς ἡμῶν ἑστιάτωρ Λαρήνσιος, καὶ πόσῳ κάλλιον, ἔφη, τὰ τοιαῦτα ἐκμανθάνειν τοὺς μαγείρους ἢ ἅπερ παρά τινι τῶν πολιτῶν ἡμῶν, ὃς ὑπὸ πλούτου καὶ τρυφῆς τοὺς τοῦ θαυμασιωτάτου Πλάτωνος διαλόγους ἠνάγκαζεν ἐκμανθάνοντας τοὺς μαγείρους, φέροντάς τε τὰς λοπάδας ἅμα λέγειν, εἷς δύο τρεῖς· ὁ δὲ δὴ τέταρτος ἡμῖν, ὦ φίλε Τίμαιε, 382 ποῦ τῶν χθὲς μὲν δαιτυμόνων τὰ νῦν δ' ἑστιατόρων; ἔπειτ' ἄλλος ἀπεκρίνατο, ἀσθένειά τις αὐτῷ ξυνέπεσεν, ὦ Σώκρατες. διεξήρχοντό τε τοῦ διαλόγου τὰ πολλὰ τὸν τρόπον τοῦτον, ὡς ἄχθεσθαι μὲν τοὺς εὐωχουμένους, ὑβρίζεσθαι δὲ τὸν πάνσοφον ἐκεῖνον ἄνθρωπον ὁσημέραι, καὶ διὰ τοῦτο πολλοὺς τῶν καθαρείων ἐξόμνυσθαι τὰς παρ' ἐκείνῳ ἑστιάσεις. οἱ δὲ ἡμέτεροι οὗτοι ἅμα ἴσως ταῦτ' ἐκμανθάνοντες οὐκ ὀλίγην ἡμῖν θυμηδίαν παρέχουσι. καὶ ὁ παῖς ἐπὶ τῇ b μαγειρικῇ σοφίᾳ ἐπαινεθείς, τί τοιοῦτον εὑρήκασιν, ἔφη, ἢ εἰρήκασιν οἱ πρὸ ἐμοῦ; ἢ ἐπὶ μετρίοις ἐμαυτὸν ἄγω, οὐ μεγαλαυχούμενος ἐπ' ἐμαυτῷ; καίτοι καὶ ὁ πρῶτος τῶν τὸν ὀλυμπίασιν ἀγῶνα ἀναδησαμένων

*Κόροιβος ὁ Ἠλεῖος μάγειρος ἦν, καὶ οὐχ οὕτως ὠγκύλλετο ἐπὶ τῇ τέχνῃ ὡς ὁ παρὰ Στράτωνι μάγειρος ἐν τῷ Φοινικίδῃ. περὶ οὗ τοιαῦτα λέγει ὁ μεμισθωμένος*

29. *σφίγγ᾽ ἄρρεν᾽ οὐ μάγειρον εἰς τὴν οἰκίαν*
c *εἴληφ᾽· ἁπλῶς γὰρ οὐδὲ ἓν μὰ τοὺς θεοὺς*
*ὅσ᾽ ἂν λέγῃ συνίημι· καινὰ ῥήματα*
*πεπορισμένος γάρ ἐστιν. ὡς εἰσῆλθε γάρ,*
*εὐθύς μ᾽ ἐπηρώτησε προσβλέψας μέγα,*
*'πόσους κέκληκας μέροπας ἐπὶ δεῖπνον; λέγε.'*
*ἐγὼ κέκληκα μέροπας ἐπὶ δεῖπνον; χολᾷς.*
*τοὺς δὲ μέροπας τούτους με γιγνώσκειν δοκεῖς;*
*οὐδεὶς παρέσται. τοῦτο γὰρ νὴ τὸν Δία*
d *ἔτι κατάλοιπον, μέροπας ἐπὶ δεῖπνον καλεῖν.*
*'οὐδ᾽ ἄρα παρέσται δαιτυμὼν οὐδεὶς ὅλως;'*
*οὐκ οἴομαί γε Δαιτυμών. ἐλογιζόμην,*
*ἥξει Φιλῖνος, Μοσχίων, Νικήρατος,*
*ὁ δεῖν᾽, ὁ δεῖνα· κατ᾽ ὄνομ᾽ ἀνελογιζόμην·*
*οὐκ ἦν ἐν αὐτοῖς οὐδὲ εἷς μοι Δαιτυμών.*
*οὐδεὶς παρέσται, φημί. 'τί λέγεις; οὐδὲ εἷς;'*
*σφόδρ᾽ ἠγανάκτησ᾽, ὥσπερ ἠδικημένος,*
*εἰ μὴ κέκληκα Δαιτυμόνα. καινὸν πάνυ.*
e *'οὐδ᾽ ἄρα θύεις ἐρυσίχθον᾽;' οὐκ ἔφην ἐγώ.*
*'βοῦν δ᾽ εὐρυμέτωπον;' οὐ θύω βοῦν, ἄθλιε.*
*'μῆλα θυσιάζεις ἆρα;' μὰ Δί᾽, ἐγὼ μὲν οὔ,*
*οὐδέτερον αὐτῶν, προβάτιον δ᾽. 'οὔκουν (ἔφη)*
*τὰ μῆλα πρόβατα;' μῆλα πρόβατ᾽; οὐ μανθάνω,*
*[οὐδ᾽ οἶδα] τούτων οὐδὲν οὐδὲ βούλομαι.*
*ἀγροικότερός εἰμ᾽, ὥσθ᾽ ἁπλῶς μοι διαλέγου.*
f *'Ὅμηρον οὐκ οἶδας λέγοντα;' καὶ μάλα*
*ἐξῆν ὃ βούλοιτ᾽, ὦ μάγειρ᾽, αὐτῷ λέγειν.*
*ἀλλὰ τί πρὸς ἡμᾶς τοῦτο πρὸς τῆς Ἑστίας;*

῾κατ᾽ ἐκεῖνον ἤδη πρόσεχε καὶ τὰ λοιπά μοι.᾽
ὁμηρικῶς γὰρ διανοεῖ μ᾽ ἀπολλύναι;
῾οὕτω λαλεῖν εἴωθα.᾽ μὴ τοίνυν λάλει
οὕτω παρ᾽ ἔμοιγ᾽ ὤν. ῾ἀλλὰ διὰ τὰς τέτταρας
δραχμὰς ἀποβάλω (φησὶ) τὴν προαίρεσιν; 383
τὰς οὐλοχύτας φέρε δεῦρο.᾽ τοῦτο δ᾽ ἐστὶ τί;
῾κριθαί.᾽ τί οὖν, ἀπόπληκτε, περιπλοκὰς λέγεις;
῾πηγὸς πάρεστι;᾽ πηγός; οὐχὶ λαικάσει,
ἐρεῖς σαφέστερόν θ᾽ ὃ βούλει μοι λέγειν;
῾ἀτάσθαλός γ᾽ εἶ πρέσβυ (φησίν), ἅλας φέρε.᾽
τοῦτ᾽ ἔστι πηγός; ῾ἀλλὰ δεῖξον χέρνιβα.᾽
παρῆν. ἔθυεν, ἔλεγεν ἄλλα ῥήματα
τοιαῦθ᾽ ἃ μὰ τὴν γῆν οὐδὲ εἷς ἤκουσεν ἄν,
μίστυλλα μοίρας δίπτυχ᾽ ὀβελούς, ὥστε με b
τῶν τοῦ Φιλητᾶ λαμβάνοντα βιβλίων
σκοπεῖν ἕκαστον τί δύναται τῶν ῥημάτων.
πλὴν ἱκέτευον αὐτὸν ἤδη μεταβαλεῖν,
ἀνθρωπίνως λαλεῖν τε. τὸν δ᾽ οὐκ ἂν τάχα
ἔπεισεν ἡ πειθὼ μὰ τὴν γῆν οἶδ᾽ ὅτι.

30. περίεργον δ᾽ ἐστὶν ὡς ἀληθῶς τὸ πολὺ τῶν μαγείρων γένος περί τε τὰς ἱστορίας καὶ τὰ ὀνόματα. λέγουσι γοῦν αὐτῶν οἱ λογιώτατοι ῾γόνυ κνήμης ἔγγιον᾽ καὶ ῾περιῆλθον Ἀσίαν καὶ Εὐρώπην.᾽ ἐπιτιμῶντες δέ τινι φασὶ μὴ δεῖν τὸν Οἰνέα Πηλέα ποιεῖν. c ἐγὼ δὲ ἕνα τῶν ἀρχαίων μαγείρων τεθαύμακα πείρᾳ τῆς τέχνης ἧς εἰσηγήσατο ἀπολαύσας. παράγει δ᾽ αὐτὸν Ἄλεξις ἐν Λέβητι λέγοντα τάδε

ἕψειν μοὐδόκει
πνικτόν τι ὄψον δελφάκειον. Β. ἡδύ γε.
Α. ἔπειτα προσκέκαυκα. Β. μηδὲν φροντίσῃς.
ἰάσιμον γὰρ τὸ πάθος ἐστί. Α. τῷ τρόπῳ;
Β. ὄξος λαβὼν ἢν εἰς λεκάνην τιν᾽ ἐγχέας d

ψυχρόν, ξυνίης; εἶτα θερμὴν τὴν χύτραν
εἰς τοὖξος ἐνθῇς. διάπυρος γὰρ οὖσ' ἔτι
ἕλξει δι' αὐτῆς νοτίδα, καὶ ζυμουμένη
ὥσπερ κίσηρις λήψεται διεξόδους
σομφάς, δι' ὧν τὴν ὑγρασίαν ἐκδέξεται,
τὰ κρεάδι' ἔσται τ' οὐκ ἀπεξηραμμένα,
ἔγχυλα δ' ἀτρεμεὶ καὶ δροσώδη τὴν σχέσιν.
Α. Ἄπολλον, ὡς ἰατρικῶς. ὦ Γλαυκία,
e ταυτὶ ποιήσω; Β. καὶ παρατίθει γ' αὐτὰ παῖ,
ὅταν παρατιθῇς, μανθάνεις; ἐψυγμένα.
ἀτμὸς γὰρ οὕτως οὐχὶ προσπηδήσεται
ταῖς ῥισίν, ἀλλ' ἄνω βαδίζει καταφυγών.
Α. πολλῷ γ' ἀμείνων, ὡς ἔοικας, ἦσθ' ἄρα
λογογράφος ἢ μάγειρος. Β. ὃ λέγεις οὐ λέγεις,
τέχνην δ' ὀνειδίζεις.

31. καὶ μαγείρων μὲν ἅλις, ἄνδρες δαιταλεῖς, f μή καί τις αὐτῶν τὰ ἐκ Δυσκόλου Μενάνδρου βρενθυόμενος λαρυγγίσῃ τάδε

οὐδὲ εἷς
μάγειρον ἀδικήσας ἀθῷος διέφυγεν.
ἱεροπρεπής πώς ἐστιν ἡμῶν ἡ τέχνη.

ἐγὼ δ' ὑμῖν κατὰ τὸν ἥδιστον Δίφιλον

παρατίθημ' ὁλοσχερῆ
ἄρν' ἐς μέσον συμπτυκτὸν ὠνθυλευμένον,
χοιρίδια περιφόρινα κρομβώσας ὅλα.
δούρειον ἐπάγω χῆνα τῷ φυσήματι.

384 32. ΧΗΝ. περιενεχθέντων δὲ τούτων καὶ ἄλλων χηνῶν περιττῶς ἐσκευασμένων, ἔφη τις, οἱ χῆνες σιτευτοί. καὶ ὁ Οὐλπιανός, ὁ δὲ σιτευτὸς χὴν παρὰ τίνι; πρὸς ὃν ὁ Πλούταρχος, Θεόπομπος μὲν ἔφη ὁ Χῖος ἐν ταῖς Ἑλληνικαῖς κἀν τῇ τρισκαιδεκάτῃ δὲ τῶν Φιλιππικῶν, Ἀγησιλάῳ τῷ Λάκωνι εἰς Αἴγυπτον

ἀφικομένῳ πέμψαι τοὺς Αἰγυπτίους χῆνας καὶ μόσχους σιτευτούς. καὶ Ἐπιγένης δ' ὁ κωμῳδιοποιὸς ἐν Βάκχαις φησίν

ἀλλ' εἴ τις ὥσπερ χῆνα σιτευτὸν λαβὼν
ἔτρεφέ με.

καὶ Ἀρχέστρατος ἐν τῷ πολυθρυλήτῳ ποιήματι b

καὶ σιτευτοῦ χηνὸς ὁμοῦ σκεύαζε νεοττόν,
ὀπτὸν ἁπλῶς καὶ τόνδε.

σὺ δὲ ἡμῖν, ὦ Οὐλπιανέ, δίκαιος εἶ λέγειν, ὁ περὶ πάντων πάντας ἀπαιτῶν, ποῦ μνήμης ἠξίωται παρὰ τοῖς ἀρχαίοις τὰ πολυτελῆ ταῦτα τῶν χηνῶν ἥπατα. ὅτι γὰρ χηνοβοσκοὺς οἴδασι μάρτυς Κρατῖνος ἐν Διονυσαλεξάνδρῳ λέγων 'χηνοβοσκοί, βουκόλοι.' Ὅμηρος δὲ καὶ θηλυκῶς καὶ ἀρσενικῶς εἴρηκεν 'αἰετὸς ἀργὴν χῆνα φέρων' καί

ὡς ὅδε χῆν' ἥρπαξ' ἀτιταλλομένην ἐνὶ οἴκῳ. c

καί

χῆνές μοι κατὰ οἶκον ἐείκοσι πυρὸν ἔδουσιν
ἐξ ὕδατος.

χηνείων δ' ἡπάτων, περισπούδαστα δὲ ταῦτα κατὰ τὴν Ῥώμην, μνημονεύει Εὔβουλος ἐν Στεφανοπώλισι λέγων οὕτως

εἰ μὴ σὺ χηνὸς ἧπαρ ἢ ψυχὴν ἔχεις.

33. ἦσαν δὲ καὶ ἡμίκραιραι πολλαὶ δελφάκων. μνημονεύει δ' αὐτῶν Κρώβυλος ἐν Ψευδυποβολιμαίῳ

εἰσῆλθεν ἡμίκραιρα τακερὰ δέλφακος. d
ταύτης μὰ τὸν Δί' οὐχὶ κατέλιπον δ' ἐγὼ
οὐδέν.

μετὰ δὲ ταῦτα ὁ καλούμενος κρεοκάκκαβος. κρέα δ' ἐστὶ ταῦτα συγκεκομμένα μεθ' αἵματος καὶ λίπους ἐν ζωμῷ γεγλυκασμένῳ. λέγειν δὲ οὕτως Ἀριστοφά-

*νης φησὶν ὁ γραμματικὸς Ἀχαιούς, ὁ Μυρτίλος ἔφη. Ἀντικλείδης δ' ἐν ἑβδομηκοστῷ ὀγδόῳ Νόστων 'ἐν δείπνῳ (φησί) μελλόντων Χίων ὑπ' Ἐρυθραίων ἐξ e ἐπιβουλῆς ἀναιρεῖσθαι μαθών τις τὸ μέλλον γίγνεσθαι ἔφη*

*ὦ Χῖοι· πολλὴ γὰρ Ἐρυθραίους ἔχει ὕβρις·*
*φεύγετε δειπνήσαντες ὑὸς κρέα, μηδὲ μένειν βοῦν.'*

*ἀναβραστῶν δὲ κρεῶν μνημονεύει Ἀριστομένης Γόησιν οὕτως . . . καὶ ὄρχεις ἤσθιον, οὓς καὶ νεφροὺς ἐκάλουν. Φιλιππίδης ἐν τῇ Ἀνανεώσει Γναθαίνης τῆς ἑταίρας τὸ γαστρίμαργον ἐμφανίζων λέγει*

*ἔπειτ' ἐπὶ τούτοις πᾶσιν ἧκ' ὄρχεις φέρων*
f *πολλούς. τὰ μὲν οὖν γύναια τἄλλ' ἠκκίζετο,*
*ἡ δ' ἀνδροφόνος Γνάθαιν' ἀναγελάσασ' ἅμα*
*καλοί γε, φησίν, οἱ νεφροί, νὴ τὴν φίλην*
*Δήμητρα. καὶ δύ' ἁρπάσασα κατέπιεν,*
*ὥσθ' ὑπτίους ὑπὸ τοῦ γέλωτος καταπεσεῖν.*

34. *εἰπόντος δὲ καὶ ἄλλου ἥδιστον γεγονέναι καὶ* 385 *τὸν μετ' ὀξυλιπάρου ἀλεκτρυόνα, ὁ φιλεπιτιμητὴς Οὐλπιανός, κατακείμενος μόνος, ὀλίγα δ' ἐσθίων καὶ τηρῶν τοὺς λέγοντας, ἔφη, ὀξυλίπαρον δὲ τί ἐστι; πλὴν εἰ μὴ καὶ κόττανα ἡμᾶς καὶ λέπιδιν, τὰ πάτριά μου νόμιμα βρώματα, ὀνομάζειν μέλλετε. καὶ ὁ Τιμοκλῆς, ἔφη, ὁ κωμικὸς ἐν Δακτυλίῳ μέμνηται τοῦ ὀξυλιπάρου λέγων οὕτως*

*γαλεοὺς καὶ βατίδας ὅσα τε τῶν γενῶν*
*ἐν ὀξυλιπάρῳ τρίμματι σκευάζεται.*

b *ἀκρολιπάρους δέ τινας ἀνθρώπους κέκληκεν Ἄλεξις ἐν Πονήρᾳ οὕτως*

*ἀκρολίπαροι, τὸ δ' ἄλλο σῶμ' ὑπόξυλον.*

*παρατεθέντος δέ ποτε καὶ ἰχθύος μεγάλου ἐν ὀξάλμῃ,*

καὶ εἰπόντος τινὸς ἥδιστον εἶναι ὀψάριον πᾶν τὸ ἐν ὀξάλμῃ παρατιθέμενον, συναγαγὼν τὰς ὀφρῦς ὁ τὰς ἀκάνθας ἀγείρων Οὐλπιανός, ποῦ κεῖται, ἔφη, ὀξάλμη; ὀψάριον γὰρ παρ' οὐδενὶ τῶν ζώντων λεγόμενον οἶδα. οἱ μὲν οὖν πολλοὶ μακρὰν χαίρειν εἰπόντες αὐτῷ ἐδείπνουν, τοῦ Κυνούλκου τὰ ἐξ Αὔρων Μεταγένους ἀναφωνήσαντος·

ἀλλ' ὤγαθὲ δειπνῶμεν πρῶτον, κἄπειτά με c
πάντ' ἐπερώτα,
ὅ τι ἂν βούλῃ· νῦν γὰρ πεινῶν δεινῶς πώς εἰμ'
ἐπιλήσμων.

καὶ ὁ Μυρτίλος ἡδέως πως συναπογραφόμενος αὐτῷ, ἵνα μηδενὸς μεταλαμβάνῃ ἀλλὰ πάντα λαλῇ, ἔφη, Κρατῖνος ἐν Ὀδυσσεῦσιν εἴρηκε τὴν ὀξάλμην διὰ τούτων

ἀνθ' ὧν πάντας ἑλὼν ὑμᾶς ἐρίηρας ἑταίρους,
φρύξας ἑψήσας κἀπανθρακίσας ὀπτήσας
εἰς ἅλμην τε καὶ ὀξάλμην, κᾆτ' ἐς σκοροδάλμην d
χλιερὸν ἐμβάπτων, ὃς ἂν ὀπτότατός μοι ἁπάντων
ὑμῶν φαίνηται κατατρώξομαι, ὦ στρατιῶται.

καὶ Ἀριστοφάνης Σφηξίν

ἀποφυσήσας
εἰς ὀξάλμην ἔμβαλε θερμήν.

35. ὀψάριον δὲ τῶν μὲν ζώντων ἡμεῖς λέγομεν. ἀτὰρ καὶ Πλάτων ἐπὶ τοῦ ἰχθύος ἐν Πεισάνδρῳ

ἤδη φαγών τι πώποθ', οἷα γίγνεται, e
ὀψάριον ἔκαμες καὶ προσέστη τοῦτό σοι;
Β. ἔγωγε πέρυσι κάραβον φαγών.

Φερεκράτης Αὐτομόλοις 'τοὐψάριον τουτὶ παρέθηκέ τις ἡμῖν.' Φιλήμων Θησαυρῷ

οὐκ ἔστ' ἀληθὲς παραλογίσασθ', οὐδ' ἔχειν
ὀψάρια χρηστά.

Μένανδρος Καρχηδονίῳ

ἐπιθυμιάσας τῷ βορέᾳ λιβανίδιον
ὀψάριον οὐδὲν ἔλαβον. ἑψήσω φακῆν.

f καὶ ἐν Ἐφεσίῳ

ἐπ' ἀρίστῳ λαβὼν
ὀψάριον,

εἶτ' ἐπιφέρει

τῶν ἰχθυοπωλῶν ἀρτίως τις τεττάρων
δραχμῶν ἐπώλει κωβιούς.

Ἀναξίλας Ὑακίνθῳ ἢ Πορνοβοσκῷ

ἐγὼ δ' ἰὼν ὀψάριον ὑμῖν ἀγοράσω.

καὶ μετ' ὀλίγα

σκεύαζε παῖ τοὐψάριον ἡμῖν.

τὸ δὲ ἐν Ἀναγύρῳ Ἀριστοφάνους

εἰ μὴ παραμυθεῖ μ' ὀψαρίοις ἑκάστοτε

ἀντὶ τοῦ προσοψήμασιν ἀκούομεν. καὶ γὰρ Ἄλεξις ἐν
386 Παννυχίδι περιθεὶς μαγείρῳ τὸν λόγον φησί

θερμοτέροις χαίρεις ἀεὶ
τοῖς ὀψαρίοις, ἢ τὸ μέσον, ἢ κατωτέρω;
Β. κατωτέρω. Α. τί λέγεις σύ; ποδαπὸς οὑτοσὶ
ἄνθρωπος; οὐκ ἐπίστασαι ζῆν. ψυχρά σοι
ἅπαντα παραθῶ; Β. μηδαμῶς. Α. ζέοντα δέ;
Β. Ἄπολλον. Α. οὐκοῦν τὸ μέσον ἔστω δηλαδή.
τοῦθ' ἕτερος οὐδεὶς τῶν ὁμοτέχνων μου ποιεῖ.
b Β. οὐκ οἴομ', οὐδ' ἄλλ' οὐδὲν ὧν σὺ νῦν ποιεῖς.
Α. ἐγὼ δὲ πρῶτος. τοῖς γὰρ ἑστιωμένοις
τὸν καιρὸν ἀποδίδωμι τῆς συγκράσεως.
Β. οὐ πρὸς θεῶν ἔμ' ἔθυσας ἀλλὰ τὸν ἔριφον.
μὴ κόπτ' ἔμ', ἀλλὰ τὰ κρέα. Β. παῖδες, παρά-
γετε.
ὀπτάνιον ἔστιν; Β. ἔστι. Α. καὶ κάπνην
ἔχει;

Β. δῆλον ὅτι. Α. μή μοι δῆλον. Β. ἀλλ' ἔχει
κάπνην.
Α. ἔχει κακόν, εἰ τύφουσαν. Β. ἀπολεῖ μ' οὑτοσί. c

36. ταῦτά σοι παρ' ἡμῶν τῶν ζώντων, ὀλβιογάστορ Οὐλπιανέ, ἀπεμνημόνευσα. καὶ σὺ γάρ, ὡς ἔοικε, μετ' ἐμοῦ κατὰ τὸν Ἄλεξιν οὐδενὸς ἐμψύχου μεταλαμβάνεις, ὅς φησιν ἐν Ἀτθίδι τάδε

ὁ πρῶτος εἰπὼν ὅτι σοφιστὴς οὐδὲ εἷς
ἔμψυχον οὐδὲν ἐσθίει σοφός τις ἦν.
ἐγὼ γὰρ ἥκω νῦν ἀγοράσας οὐδὲ ἓν
ἔμψυχον. ἰχθῦς ἐπριάμην τεθνηκότας d
μεγάλους· κρεᾴδι' ἀρνός ἐστι πίονος
οὐ ζῶντος· οὐχ οἷόν τε γάρ. τί ἄλλο; καὶ
ἡπάτιον ὀπτὸν προσέλαβον. τούτων ἐὰν
δείξῃ τις ἢ φωνήν τι ἢ ψυχὴν ἔχον,
ἀδικεῖν ὁμολογῶ καὶ παραβαίνειν τὸν νόμον.

ἐπὶ τούτοις οὖν ἔασον ἡμᾶς δειπνεῖν. ἰδοὺ γάρ, ἕως πρὸς σὲ διαλέγομαι, καὶ οἱ φασιανικοὶ παραπεπλεύκασιν, ὑπεριδόντες ἡμᾶς διὰ τὴν ἄκαιρόν σου γλωσσαργίαν. ἀλλ' ἢν ἐμοὶ εἴπῃς, ἔφη ὁ Οὐλπιανός, δι- e
δάσκαλε Μυρτίλε, ὁ ὀλβιογάστωρ σοι πόθεν, καὶ εἰ φασιανικῶν τις ὀρνίθων μέμνηται τῶν παλαιῶν, ἐγώ σοι ἦρι μάλ' οὐκ ἐφ' Ἑλλήσποντον πλεύσας, ἀλλ' εἰς τὴν ἀγορὰν πορευθεὶς ὠνήσομαι φασιανικόν, ὃν συγκατέδομαί σοι.

37. καὶ ὁ Μυρτίλος, ἐπὶ ταύταις, ἔφη, ταῖς συνθήκαις λέγω. τοῦ μὲν ὀλβιογάστορος Ἄμφις μέμνηται ἐν Γυναικομανίᾳ οὑτωσὶ λέγων

Εὐρύβατε κνισολοιχέ . . .
οὐκ ἔσθ' ὅπως οὐκ ὀλβιογάστωρ εἶ σύ.

φασιανικοῦ δὲ ὄρνιθος ὁ ἥδιστος Ἀριστοφάνης ἐν f
δράματι Ὄρνισιν. Ἀττικοὶ δέ εἰσι δύο πρεσβῦται ὑπὸ

ἀπραγμοσύνης πόλιν ζητοῦντες ἐν ᾗ κατοικήσουσιν ἀπράγμονα· καὶ αὐτοῖς ἀρέσκει ὁ βίος ὁ μετ' ὀρνίθων. ἔρχονται οὖν ὡς τοὺς ὄρνιθας, καὶ αἰφνίδιον αὐτοῖς ἐπιπτάντος ἑνὸς τῶν ὀρνίθων ἀγρίου τὴν ὄψιν δείσαντες ἑαυτοὺς παραμυθούμενοι λέγουσι τά τ' ἄλλα καὶ τάδε

387 ὁδὶ δὲ δὴ τίς ἐστιν ὄρνις; οὐκ ἐρεῖς;
Β. Ἐπικεχοδὼς ἔγωγε φασιανικός.

καὶ τὸ ἐν Νεφέλαις δ' ἐπὶ τῶν ὀρνίθων ἔγωγε ἀκούω καὶ οὐκ ἐπὶ ἵππων ὡς πολλοί

τοὺς φασιανούς, οὓς τρέφει Λεωγόρας.

δύναται γὰρ ὁ Λεωγόρας καὶ ἵππους τρέφειν καὶ ὄρνεις φασιανούς. κωμῳδεῖται γὰρ ὁ Λεωγόρας ὡς γαστρίμαργος ὑπὸ Πλάτωνος ἐν Περιαλγεῖ. Μνησίμαχος δ' ἐν Φιλίππῳ (εἷς δὲ καὶ οὗτός ἐστι τῶν τῆς μέσης κωμῳδίας ποιητῶν) φησί

καὶ τὸ λεγόμενον
b σπανιώτατον πάρεστιν ὀρνίθων γάλα
καὶ φασιανὸς ἀποτετιλμένος καλῶς.

Θεόφραστος δὲ ὁ Ἐρέσιος Ἀριστοτέλους μαθητὴς ἐν τρίτῃ περὶ ζῴων μνημονεύων αὐτῶν οὑτωσί πως λέγει 'ἔστι δὲ καὶ τοῖς ὄρνισι τοιαύτη διαφορά. τὰ μὲν γὰρ βαρέα καὶ μὴ πτητικά, καθάπερ ἀτταγὴν πέρδιξ ἀλεκτρυὼν φασιανός, εὐθὺς βαδιστικὰ καὶ δασέα.' καὶ Ἀριστοτέλης ἐν ὀγδόῃ ζῴων ἱστορίας γράφει τάδε 'εἰσὶ δὲ τῶν ὀρνίθων οἳ μὲν κονιστικοί, οἳ δὲ λοῦνται, οἳ δὲ οὔτε κονιστικοὶ οὔτε λοῦνται.
c ὅσοι δὲ μὴ πτητικοί, ἀλλ' ἐπίγειοι, κονιστικοί, οἷον ἀλεκτορὶς πέρδιξ ἀτταγὴν φασιανὸς κορυδαλλός.' μνημονεύει δ' αὐτῶν καὶ Σπεύσιππος ἐν δευτέρῳ Ὁμοίων. φασιανὸν δὲ οὗτοι κεκλήκασιν αὐτὸν καὶ οὐ φασιανικόν.

38. Ἀγαθαρχίδης δὲ ὁ Κνίδιος ἐν τῇ τετάρτῃ καὶ
τριακοστῇ τῶν Εὐρωπιακῶν περὶ τοῦ Φάσιδος ποτα-
μοῦ τὸν λόγον ποιούμενος γράφει καὶ ταῦτα 'πλῆθος
δ' ὀρνίθων τῶν καλουμένων φασιανῶν φοιτᾷ τροφῆς
χάριν πρὸς τὰς ἐκβολὰς τῶν στομάτων.' Καλλίξενος
δ' ὁ Ῥόδιος ἐν τετάρτῃ περὶ Ἀλεξανδρείας, διαγρά- d
φων τὴν γενομένην πομπὴν ἐν Ἀλεξανδρείᾳ Πτολε-
μαίου τοῦ φιλαδέλφου καλουμένου βασιλέως, ὡς
μέγα θαῦμα περὶ τῶν ὀρνίθων τούτων οὕτως γράφει
'εἶτα ἐφέροντο ἐν ἀγγείοις ψιττακοὶ καὶ ταῴ καὶ με-
λεαγρίδες καὶ φασιανοὶ καὶ ὄρνιθες αἰθιοπικοὶ πλή-
θει πολλοί.' Ἀρτεμίδωρος δὲ ὁ Ἀριστοφάνειος ἐν
ταῖς ἐπιγραφομέναις ὀψαρτυτικαῖς γλώσσαις καὶ
Πάμφιλος ὁ Ἀλεξανδρεὺς ἐν τοῖς περὶ ὀνομάτων καὶ
γλωσσῶν Ἐπαίνετον παρατίθεται λέγοντα ἐν τῷ e
ὀψαρτυτικῷ ὅτι ὁ φασιανὸς ὄρνις τατύρας καλεῖται.
Πτολεμαῖος δ' ὁ Εὐεργέτης ἐν δευτέρῳ ὑπομνημάτων
τέταρόν φησιν ὀνομάζεσθαι τὸν φασιανὸν ὄρνιν. το-
σαῦτά σοι περὶ τῶν φασιανικῶν ὀρνίθων ἔχω λέγειν·
οὓς ἐγὼ διὰ σὲ ὥσπερ οἱ πυρέσσοντες παραφερομέ-
νους εἶδον. σὺ δὲ κατὰ τὰς συνθήκας ἂν μὴ αὔριον
ἀποδῷς τὰ ὡμολογημένα, οὐκ ἐξαπατήσεως δημοσίᾳ
σε γράψομαι, ἀλλὰ τὸν Φᾶσιν οἰκήσοντα ἀποπέμψω,
ὡς Πολέμων ὁ περιηγητὴς Ἴστρον τὸν Καλλιμάχειον f
συγγραφέα εἰς τὸν ὁμώνυμον κατεπόντου ποταμόν.

39. ΑΤΤΑΓΑΣ. Ἀριστοφάνης Πελαργοῖς

ἀτταγᾶς ἥδιστον ἕψειν ἐν ἐπινικίοις κρέας.

Ἀλέξανδρος δ' ὁ Μύνδιός φησιν ὅτι μικρῷ μὲν μεί-
ζων ἐστὶ πέρδικος, ὅλος δὲ κατάγραφος τὰ περὶ τὸ
νῶτον, κεραμεοῦς τὴν χρόαν, ὑποπυρρίζων μᾶλλον.
θηρεύεται δ' ὑπὸ τῶν κυνηγῶν διὰ τὸ βάρος καὶ τὴν
τῶν πτερῶν βραχύτητα. ἔστι δὲ κονιστικὸς πολύ- 388

τεκνός τε καὶ σπερμολόγος. Σωκράτης δ' ἐν τῷ περὶ ὅρων καὶ τόπων καὶ πυρὸς καὶ λίθων ‛ἐκ τῆς Λυδίας μετακομισθέντες (φησὶν) εἰς Αἴγυπτον οἱ ἀτταγαῖ καὶ ἀφεθέντες εἰς τὰς ὕλας ἕως μὲν τινὸς ὄρτυγος φωνὴν ἀφίεσαν, ἐπεὶ δὲ τοῦ ποταμοῦ κοίλου ῥυέντος λιμὸς ἐγένετο καὶ πολλοὶ τῶν κατὰ τὴν χώραν ἀπώλλυντο, οὐ διέλιπον σαφέστερον τῶν παίδων τῶν τρανοτάτων ἕως νῦν λέγοντες, τρὶς τοῖς κακούργοις κακά. συλληφθέντες δὲ οὐ μόνον οὐ τιθασεύονται, b ἀλλ' οὐδὲ φωνὴν ἔτι ἀφιᾶσιν. ἐὰν δὲ ἀφεθῶσι, φωνήεντες πάλιν γίγνονται.' μνημονεύει αὐτῶν Ἱππῶναξ οὕτως

οὐδ' ἀτταγᾶς τε καὶ λαγῶς διατρώγων,

καὶ Ἀριστοφάνης ἐν Ὄρνισιν, ἐν δ' Ἀχαρνεῦσι καὶ ὡς πλεοναζόντων αὐτῶν ἐν τῇ Μεγαρικῇ. περισπῶσι δ' οἱ Ἀττικοὶ παρὰ τὸν ὀρθὸν λόγον τοὔνομα. τὰ γὰρ εἰς ας λήγοντα ἐκτεταμένον ὑπὲρ δύο συλλαβάς, ὅτε ἔχει τὸ α παραλῆγον, βαρύτονά ἐστιν, οἷον ἀκάμας σακάδας ἀδάμας. λεκτέον δὲ καὶ ἀτταγαῖ καὶ οὐχὶ ἀτταγῆνες.

40. ΠΟΡΦΥΡΙΩΝ. ὅτι καὶ τούτου Ἀριστοφάνης c μνημονεύει δῆλον. Πολέμων δ' ἐν πέμπτῳ τῶν πρὸς Ἀντίγονον καὶ Ἀδαῖον πορφυρίωνά φησι τὸν ὄρνιν διαιτώμενον κατὰ τὰς οἰκίας τὰς ὑπάνδρους τῶν γυναικῶν τηρεῖν πικρῶς, καὶ τοιαύτην ἔχειν αἴσθησιν ἐπὶ τῆς μοιχευομένης, ὥσθ' ὅταν τοῦθ' ὑπονοήσῃ, προσημαίνει τῷ δεσπότῃ, ἀγχόνῃ τὸ ζῆν περιγράψας. οὐ πρότερόν τε, φησί, τροφῆς μεταλαμβάνει, εἰ μὴ περιπατήσῃ τόπον τινὰ ἐξευρὼν ἑαυτῷ ἐπιτήδειον· μεθ' ὃν κονισάμενος λούεται, εἶτα τρέφεται. Ἀριστοτέλης δὲ σχιδανόποδά φησιν αὐτὸν εἶναι, ἔχειν τε d χρῶμα κυάνεον, σκέλη μακρά, ῥύγχος ἠργμένον ἐκ

τῆς κεφαλῆς φοινικοῦν, μέγεθος ἀλεκτρυόνος, στόμαχον δ᾽ ἔχει λεπτόν· διὸ τῶν λαμβανομένων εἰς τὸν πόδα ταμιεύεται μικρὰς τὰς ψωμίδας, κάπτων δὲ πίνει, πενταδάκτυλός τε ὢν τὸν μέσον ἔχει μέγιστον. Ἀλέξανδρος δ᾽ ὁ Μύνδιος ἐν δευτέρῳ περὶ τῆς τῶν πτηνῶν ἱστορίας λίβυν εἶναί φησι τὸν ὄρνιν καὶ τῶν κατὰ τὴν Λιβύην θεῶν ἱερόν.

ΠΟΡΦΥΡΙΣ. Καλλίμαχος ἐν τῷ περὶ ὀρνίθων διεστάναι φησὶ πορφυρίωνα πορφυρίδος, ἰδίᾳ ἑκάτερον καταριθμούμενος· τήν τροφήν τε λαμβάνειν τὸν πορφυρίωνα ἐν σκότῳ καταδυόμενον, ἵνα μή τις αὐτὸν θεάσηται. ἐχθραίνει γὰρ τοὺς προσιόντας αὐτοῦ e
τῇ τροφῇ. τῆς δὲ πορφυρίδος καὶ Ἀριστοφάνης ἐν Ὄρνισι μνημονεύει. Ἴβυκος δέ τινας λαθιπορφυρίδας ὀνομάζει διὰ τούτων ʽτοῦ μὲν πετάλοισιν ἐπ᾽ ἀκροτάτοισι ξανθοῖσι ποικίλαι πανέλοπες, αἰολόδειροι λαθιπορφυρίδες, καὶ ἀλκυόνες τανυσίπτεροι.᾽ ἐν ἄλλοις δέ φησιν

αἰεί μ᾽, ὦ φίλε θυμέ, τανύπτερος ὡς ὅκα πορφυρίς.

41. ΠΕΡΔΙΞ. τούτων πολλοὶ μὲν μέμνηνται, ὡς καὶ Ἀριστοφάνης. τοῦ δὲ ὀνόματος αὐτῶν ἔνιοι συ- f
στέλλουσι τὴν μέσην συλλαβήν, ὡς Ἀρχίλοχος

πτώσσουσαν ὥστε πέρδικα.

οὕτω καὶ ὄρτυγα καὶ χοίνικα, πολὺ δέ ἐστι τὸ ἐκτεινόμενον παρὰ τοῖς Ἀττικοῖς. Σοφοκλῆς Καμικίοις

ὄρνιθος ἦν δ᾽ ἐπώνυμος
πέρδικος ἐν κλεινοῖς Ἀθηναίων πάγοις.

Φερεκράτης ἢ ὁ πεποιηκὼς τὸν Χείρωνα

ἔξεισιν ἄκων δεῦρο πέρδικος τρόπον.

Φρύνιχος Τραγῳδοῖς 389

τὸν Κλεόμβροτόν τε τοῦ
Πέρδικος υἱόν.

τὸ δὲ ζῷον ἐπὶ λαγνείας συμβολικῶς παρείληπται. Νικοφῶν ἐν Χειρογάστορσι

τοὺς ἑψητοὺς καὶ τοὺς πέρδικας ἐκείνους.

Ἐπίχαρμος δ᾽ ἐν Κωμασταῖς βραχέως

σηπίας τ᾽ ἆγον νεούσας πέρδικάς τε πετομένους.

φησὶ δ᾽ Ἀριστοτέλης περὶ τοῦ ζῴου τάδε 'ὁ πέρδιξ ἐστὶ μὲν χερσαῖος σχιδανόπους. ζῇ δὲ ἔτη πεντεκαίδεκα, ἡ δὲ θήλεια καὶ πλείονα. πολυχρονιώτερα γὰρ ἐν τοῖς ὄρνισι τῶν ἀρρένων τὰ θήλεα. ἐπῳάζει δὲ καὶ b ἐκτρέφει, καθάπερ ἡ ἀλεκτορίς. ὅταν δὲ γνῷ ὅτι θηρεύεται, προελθὼν τῆς νεοττιᾶς κυλινδεῖται παρὰ τὰ σκέλη τοῦ θηρεύοντος, ἐλπίδα ἐμποιῶν τοῦ συλληφθήσεσθαι, ἐξαπατᾷ τε, ἕως ἂν ἀποπτῶσιν οἱ νεοττοί· εἶτα καὶ αὐτὸς ἐξίπταται.'

42. 'ἔστι δὲ τὸ ζῷον κακόηθες καὶ πανοῦργον, ἔτι δὲ ἀφροδισιαστικόν. διὸ καὶ τὰ ᾠὰ τῆς θηλείας συντρίβει, ἵνα ἀπολαύῃ τῶν ἀφροδισίων. ὅθεν ἡ θήλεια γιγνώσκουσα ἀποδιδράσκουσα τίκτει.' τὰ αὐτὰ ἱστορεῖ καὶ Καλλίμαχος ἐν τῷ περὶ ὀρνέων. μάχονται δὲ καὶ οἱ χῆροι αὐτῶν πρὸς ἀλλήλους καὶ ὁ c ἡττηθεὶς ὀχεύεται ὑπὸ τοῦ νικήσαντος. Ἀριστοτέλης δέ φησιν ὅτι τὸν ἡττηθέντα πάντες ἐν μέρει ὀχεύουσιν. ὀχεύουσι δὲ καὶ οἱ τιθασοὶ τοὺς ἀγρίους. ἐπειδὰν δὲ κρατηθῇ τις ὑπὸ τοῦ δευτέρου, οὗτος λάθρᾳ ὀχεύεται ὑπὸ τοῦ κρατιστεύσαντος. γίνεται δὲ τοῦτο κατά τινα ὥραν τοῦ ἔτους, ὡς καὶ ὁ Μύνδιός φησιν Ἀλέξανδρος. νεοττεύουσι δὲ ἐπὶ γῆς οἱ ἄρρενες καὶ αἱ θήλειαι διελόμενοι ἕκαστοι οἶκον. ἐπὶ δὲ τὸν θηρεύοντα πέρδικα ὠθεῖται ὁ τῶν ἀγρίων ἡγεμὼν μαχόμενος· ἁλόντος δὲ τούτου ἕτερος ἔρχεται μαχού-

μενος. καὶ ὁπόταν μὲν ἄρρην ᾖ ὁ θηρεύων, τοῦτο d
ποιεῖ, ὅταν δὲ θήλεια ᾖ ἡ θηρεύουσα, ᾄδει ἕως ἂν
ἀντάσῃ ὁ ἡγεμὼν αὐτῇ· καὶ οἱ ἄλλοι ἀθροισθέντες
ἀποδιώκουσιν ἀπὸ τῆς θηλείας, ὅτι ἐκείνῃ ἀλλ᾽ οὐχ
ἑαυτοῖς προσέχει. ὅθεν πολλάκις διὰ ταῦτα σιγῇ
προσέρχεται, ὅπως μὴ ἄλλος ἀκούσας τῆς φωνῆς ἔλθῃ
μαχούμενος αὐτῷ. ἐνίοτε δὲ ἡ θήλεια τὸν ἄρρενα
προσιόντα κατασιγάζει. πολλάκις τε ἐπῳάζουσα ἐξί-
σταται, ὅταν προσερχόμενον ἐπαισθάνηται τὸν ἄρ-
ρενα τῇ θηρευούσῃ, ὑπομένει τε ὀχευθῆναι, ἵνα αὐ-
τὸν ἀποσπάσῃ τῆς θηρευούσης. ἐπὶ τοσοῦτον δὲ e
ἐπτόηνται περὶ τὴν ὀχείαν οἱ πέρδικες καὶ οἱ ὄρτυγες
ὡς εἰς τοὺς θηρεύοντας ἐμπίπτειν, καθίζοντας ἐπὶ
τῶν κεράμων. φασὶ δὲ καὶ τοὺς ἀγομένους θήλεις
πέρδικας ἐπὶ θήραν, ὁπόταν ἴδωσιν ἢ ὀσφρωνται τῶν
ἀρρένων κατ᾽ ἄνεμον στάντων ἢ περιπετομένων, ἐγ-
κύους γίγνεσθαι, τινὲς δὲ καὶ παραυτίκα τίκτειν.
πέτονταί τε περὶ τὸν τῆς ὀχείας καιρὸν χάσκοντες
καὶ τὴν γλῶσσαν ἔξω ἔχοντες οἵ τε θήλεις καὶ οἱ ἄρ-
ρενες. Κλέαρχος δὲ ἐν τῷ περὶ τοῦ Πανικοῦ ʽοἱ f
στρουθοὶ (φησὶ) χοἱ πέρδικες, ἔτι δὲ οἱ ἀλεκτρυόνες
καὶ οἱ ὄρτυγες προΐενται τὴν γονὴν οὐ μόνον ἰδόντες
τὰς θηλείας, ἀλλὰ κἂν ἀκούσωσιν αὐτῶν τὴν φωνήν.
τούτου δὲ αἴτιον ἡ τῇ ψυχῇ γινομένη φαντασία περὶ
τῶν πλησιασμῶν. φανερώτατον δὲ γίνεται περὶ τὰς
ὀχείας, ὅταν ἐξ ἐναντίας αὐτοῖς θῇς κάτοπτρον. προσ-
τρέχοντες γὰρ διὰ τὴν ἔμφασιν ἁλίσκονταί τε καὶ
προΐενται τὸ σπέρμα, πλὴν τῶν ἀλεκτρυόνων. τού-
τους δὲ ἡ τῆς ἐμφάσεως αἴσθησις εἰς μάχην προά-
γεται μόνον.᾽ ταῦτα μὲν ὁ Κλέαρχος.

43. καλοῦνται δὲ οἱ πέρδικες ὑπ᾽ ἐνίων κακκά-
βαι, ὡς καὶ ὑπ᾽ Ἀλκμᾶνος λέγοντος οὕτως

390 ἐπείγε δὴ καὶ μέλος Ἀλκμὰν
εὗρε γεγλωσσαμένον
κακκαβίδων στόμα συνθέμενος.

σαφῶς ἐμφανίζων ὅτι παρὰ τῶν περδίκων ᾄδειν ἐμάνθανε. διὸ καὶ Χαμαιλέων ὁ Ποντικὸς ἔφη τὴν εὕρεσιν τῆς μουσικῆς τοῖς ἀρχαίοις ἐπινοηθῆναι ἀπὸ τῶν ἐν ταῖς ἐρημίαις ᾀδόντων ὀρνίθων· ὧν κατὰ μίμησιν λαβεῖν στάσιν τὴν μουσικήν. οὐ πάντες δ' οἱ πέρδικες, φασί, κακκαβίζουσιν. Θεόφραστος γοῦν ἐν τῷ περὶ ἑτεροφωνίας τῶν ὁμογενῶν 'οἱ Ἀθήνησι (φησὶν) ἐπὶ τάδε πέρδικες τοῦ Κορυδαλλοῦ πρὸς τὸ
b ἄστυ κακκαβίζουσιν, οἱ δ' ἐπέκεινα τιττυβίζουσιν.' Βάσιλις δὲ ἐν τῷ δευτέρῳ τῶν Ἰνδικῶν 'οἱ μικροὶ (φησὶν) ἄνδρες, οἱ τοῖς γεράνοις διαπολεμοῦντες, πέρδιξιν ὀχήματι χρῶνται.' Μενεκλῆς δ' ἐν τῇ πρώτῃ τῆς Συναγωγῆς 'οἱ Πυγμαῖοι (φησὶ) τοῖς πέρδιξι καὶ τοῖς γεράνοις πολεμοῦσι.' τῶν δὲ περδίκων ἐστὶν ἕτερον γένος ἐν Ἰταλίᾳ, ἀμαυρὸν τῇ πτερώσει καὶ μικρότερον τῇ ἕξει, τὸ ῥύγχος οὐχὶ κινναβάρινον ἔχον. οἱ δὲ περὶ τὴν Κίρραν πέρδικες ἄβρωτον
c ἔχουσι τὸ κρέας διὰ τὰς νομάς. οἱ δὲ περὶ τὴν Βοιωτίαν ἢ οὐ διαβαίνουσιν εἰς τὴν Ἀττικήν, ἢ διαβαίνοντες τῇ φωνῇ διάδηλοι γίγνονται, καθάπερ προειρήκαμεν. τοὺς δὲ περὶ Παφλαγονίαν γιγνομένους πέρδικάς φησι Θεόφραστος δύο ἔχειν καρδίας. οἱ δὲ ἐν Σκιάθῳ τῇ νήσῳ κοχλίας ἐσθίουσι. τίκτουσι δὲ ἐνίοτε καὶ πεντεκαίδεκα καὶ ἑκκαίδεκα. πέτονται δὲ ἐπὶ βραχύ, ὥς φησι Ξενοφῶν ἐν πρώτῳ Ἀναβάσεως γράφων οὕτως 'τὰς δὲ ὠτίδας ἄν τις ταχὺ ἀνιστῇ, ἔστι λαμβάνειν. πέτονταί τε γὰρ βραχύ, ὥσπερ οἱ
d πέρδικες, καὶ ταχὺ ἀπαγορεύουσι. τὰ δὲ κρέα αὐτῶν ἡδέα ἐστίν.'

44. ἀληθῆ λέγειν φησὶ τὸν Ξενοφῶντα ὁ Πλού-
ταρχος περὶ τῶν ὠτίδων· φέρεσθαι γὰρ πάμπολλα
τὰ ζῷα ταῦτα εἰς τὴν Ἀλεξάνδρειαν ἀπὸ τῆς παρακει-
μένης Λιβύης, τῆς θήρας αὐτῶν τοιαύτης γινομένης.
μιμητικὸν δέ ἐστι τὸ ζῷον τοῦτο, ὁ ὦτος, μάλιστα ὧν
ἂν ἴδῃ ποιοῦντα ἄνθρωπον. ποιεῖ δ' οὖν ταὐτὰ ὅσα
ἂν ἴδῃ τοὺς κυνηγοῦντας πράττοντας. οἱ δὲ στάντες
αὐτῶν καταντικρὺ ὑπαλείφονται φαρμάκῳ τοὺς
ὀφθαλμούς, παρασκευάσαντες ἄλλα φάρμακα κολλη-
τικὰ ὀφθαλμῶν καὶ βλεφάρων, ἅπερ οὐ πόρρω ἑαυ- e
τῶν ἐν λεκανίσκαις βραχείαις τιθέασιν. οἱ οὖν ὦτοι
θεώμενοι τοὺς ὑπαλειφομένους τὸ αὐτὸ καὶ αὐτοὶ
ποιοῦσιν ἐκ τῶν λεκανίδων λαμβάνοντες, καὶ ταχέως
ἁλίσκονται. γράφει δὲ περὶ αὐτῶν Ἀριστοτέλης οὕ-
τως 'ὅτι ἔστι μὲν τῶν ἐκτοπιζόντων καὶ σχιδανοπό-
δων καὶ τριδακτύλων, μέγεθος ἀλεκτρυόνος μεγά-
λου, χρῶμα ὄρτυγος, κεφαλὴ προμήκης, ῥύγχος ὀξύ,
τράχηλος λεπτός, ὀφθαλμοὶ μεγάλοι, γλῶσσα ὀστώ-
δης, πρόλοβον δ' οὐκ ἔχει.' Ἀλέξανδρος δὲ ὁ Μύν- f
διος καὶ προσαγορεύεσθαί φησιν αὐτὸν λαγωδίαν.
φασὶ δ' αὐτὸν καὶ τὴν τροφὴν ἀναμηρυκᾶσθαι, ἥδε-
σθαί τε ἵππῳ. εἰ γοῦν τις δορὰν ἵππων περιθοῖτο,
θηρεύσει ὅσους ἂν θέλῃ· προσίασι γάρ. ἐν ἄλλοις
δὲ πάλιν φησὶν ὁ Ἀριστοτέλης 'ὁ ὦτός ἐστι μὲν παρό-
μοιος τῇ γλαυκί, οὐκ ἔστι δὲ νυκτερινός. ἔχει τε
περὶ τὰ ὦτα πτερύγια· διὸ καὶ ὦτος καλεῖται· μέγε-
θος περιστερᾶς, μιμητὴς ἀνθρώπων. ἀντορχούμενος
γοῦν ἁλίσκεται.' ἀνθρωποειδὴς δέ ἐστι τὴν μορφήν,
καὶ πάντων μιμητὴς ὅσα ἂν ἄνθρωπος ποιῇ. διόπερ 391
καὶ τοὺς ἐξαπατωμένους ῥᾳδίως ἐκ τοῦ τυχόντος οἱ
κωμικοὶ ὦτους καλοῦσιν. ἐν γοῦν τῇ θήρᾳ αὐτῶν ὁ
ἐπιτηδειότατος στὰς κατὰ πρόσωπον αὐτῶν, καὶ τὰ

ζῷα βλέποντα εἰς τὸν ὀρχούμενον νευροσπαστεῖται. ἄλλος δέ τις ὄπισθεν στὰς καὶ λαθὼν συλλαμβάνει τῇ περὶ τὴν μίμησιν ἡδονῇ κατεχομένους.

45. τὸ δ' αὐτὸ ποιεῖν λέγουσι καὶ τοὺς σκῶπας·
καὶ γὰρ τούτους ὀρχήσει λόγος ἁλίσκεσθαι. μνημο-
νεύει δ' αὐτῶν Ὅμηρος. γένος τε ὀρχήσεως ἀπ' αὐ-
τῶν καλεῖται σκώψ, λαβὼν τοὔνομα ἀπὸ τῆς περὶ τὸ
b ζῷον ἐν τῇ κινήσει ποικιλίας. χαίρουσι δὲ οἱ σκῶπες
καὶ ὁμοιότητι καὶ ἀπ' αὐτῶν ἡμεῖς σκώπτειν καλοῦ-
μεν τὸ συνεικάζειν καὶ καταστοχάζεσθαι τῶν σκω-
πτομένων, διὰ τὸ τὴν ἐκείνων ἐπιτηδεύειν προαίρε-
σιν. πάντα δὲ τὰ τῶν ζῴων εὔγλωττα καὶ διηρθρω-
μένα ἐστὶ τὴν φωνὴν καὶ μιμεῖται τοὺς τῶν ἀνθρώ-
πων καὶ τῶν ἄλλων ὀρνίθων ἤχους, ὥσπερ ψιττακὸς
καὶ κίττα. ὁ δὲ σκώψ, ὥς φησιν Ἀλέξανδρος ὁ Μύν-
διος, μικρότερός ἐστι γλαυκὸς καὶ ἐπὶ μολυβδοφανεῖ
τῷ χρώματι ὑπόλευκα στίγματα ἔχει, δύο τε ἀπὸ τῶν
ὀφρύων παρ' ἑκάτερον κρόταφον ἀναφέρει πτερά.
c Καλλίμαχος δέ φησι δύο γένη εἶναι σκωπῶν, καὶ τοὺς
μὲν φθέγγεσθαι, τοὺς δὲ οὔ. διὸ καὶ καλεῖσθαι τοὺς
μὲν σκῶπας αὐτῶν, τοὺς δ' ἀείσκωπας· εἰσὶ δὲ γλαυ-
κοί. ὁ δὲ Μύνδιος Ἀλέξανδρός φησι τοὺς παρ' Ὁμή-
ρῳ χωρὶς τοῦ σ κῶπας εἶναι, καὶ Ἀριστοτέλη οὕτως
αὐτοὺς ὠνομακέναι. φαίνεσθαί τε τούτους ἀεὶ καὶ
μὴ ἐσθίεσθαι. τοὺς δ' ἐν τῷ φθινοπώρῳ φαινομέ-
νους δύο ἡμέραις ἢ μιᾷ, τούτους εἶναι ἐδωδίμους.
διαφέρουσι δὲ τῶν ἀεισκώπων τῷ τάχει, καὶ εἰσὶ πα-
d ραπλήσιοι τρυγόνι καὶ φάττῃ. καὶ Σπεύσιππος δ' ἐν
δευτέρῳ Ὁμοίων χωρὶς τοῦ σ κῶπας αὐτοὺς ὀνομάζει.
Ἐπίχαρμος 'σκῶπας ἔποπας γλαῦκας.' καὶ Μητρό-
δωρος δ' ἐν τῷ περὶ συνηθείας ἀντορχουμένους φη-
σὶν ἁλίσκεσθαι τοὺς σκῶπας.

46. Ἐπεὶ δ' ἐν τῷ περὶ τῶν περδίκων λόγῳ ἐμνήσθημεν ὅτι εἰσὶν ὀχευτικώτατοι, προσιστορήσθω ὅτι καὶ ἀλεκτρυὼν ἀφροδισιαστικὸν τὸ ὄρνεον. Ἀριστοτέλης γοῦν φησὶν ὅτι τῶν ἀνατιθεμένων ἐν τοῖς ἱεροῖς ἀλεκτρυόνων τὸν ἀνατεθέντα οἱ προόντες ὀχεύουσι μέχρι ἂν ἄλλος ἀνατεθῇ· εἰ δὲ μὴ ἀνατεθείη, μάχονται πρὸς ἀλλήλους, καὶ ὁ ἡττήσας τὸν e ἡττηθέντα διὰ παντὸς ὀχεύει. ἱστορεῖται δὲ ὅτι καὶ ἀλεκτρυὼν εἰσιὼν οἱανδήποτε θύραν ἐπικλίνει τὸν λόφον, καὶ ὅτι τῆς ὀχείας ἑτέρῳ δίχα μάχης οὐ παραχωρεῖ. ὁ δὲ Θεόφραστος τοὺς ἀγρίους φησὶν ὀχευτικωτέρους εἶναι τῶν ἡμέρων. λέγει δὲ καὶ τοὺς ἄρρενας εὐθὺς ἐξ εὐνῆς ἐθέλειν πλησιάζειν, τὰς δὲ θηλείας προβαινούσης μᾶλλον τῆς ἡμέρας. καὶ οἱ στρουθοὶ δέ εἰσιν ὀχευτικοί· διὸ καὶ Τερψικλῆς τοὺς ἐμφαγόντας φησὶ στρουθῶν ἐπικαταφόρους πρὸς ἀφροδίσια γίνεσθαι. μήποτ' οὖν καὶ ἡ Σαπφὼ ἀπὸ f τῆς ἱστορίας τὴν Ἀφροδίτην ἐπ' αὐτῶν φησὶν ὀχεῖσθαι· καὶ γὰρ ὀχευτικὸν τὸ ζῷον καὶ πολύγονον. τίκτει γοῦν ὁ στρουθός, ὥς φησιν Ἀριστοτέλης, καὶ μέχρι ὀκτώ. Ἀλέξανδρος δὲ ὁ Μύνδιος δύο γένη φησὶν εἶναι τῶν στρουθῶν, τὸ μὲν ἥμερον, τὸ δὲ ἄγριον· τὰς δὲ θηλείας αὐτῶν ἀσθενεστέρας τά τ' ἄλλα εἶναι καὶ τὸ ῥύγχος κερατοειδὲς μᾶλλον τὴν χρόαν, τὸ δὲ πρόσωπον οὔτε λίαν λευκὸν ἐχούσας οὔτε μέλαν. Ἀριστοτέλης δέ φησι τοὺς ἄρρενας τῷ χειμῶνι ἀφανίζεσθαι, διαμένειν δὲ τὰς θηλείας, τεκμαιρόμενος 392 ἐκ τῆς χρόας τὴν πιθανότητα· ἀλλάττεσθαι γὰρ ὡς τῶν κοσσύφων καὶ φαλαρίδων, ἀπολευκαινομένων κατὰ καιρούς. Ἠλεῖοι δὲ καλοῦσι τοὺς στρουθοὺς δειρήτας, ὡς Νίκανδρός φησιν ὁ Κολοφώνιος ἐν τρίτῳ Γλωσσῶν.

47. ΟΡΤΥΓΕΣ. καθόλου ἐπὶ τῶν εἰς υξ ληγόντων ὀνομάτων ἐζήτηται τί δή ποτε τῷ αὐτῷ οὐ χρῶνται ἐπὶ γενικῆς συμφώνῳ τῆς τελευταίας συλλαβῆς τυπωτικῷ. λέγω δὲ ὄνυξ καὶ ὄρτυξ. τὰ δὲ εἰς ξ ἀρσενικὰ ἁπλᾶ δισσύλλαβα, ὅταν τῷ υ παρεδρεύηται, b ἔχῃ δὲ τῆς τελευταίας συλλαβῆς ἄρχον ἕν τι τῶν ἀμεταβόλων ἢ δι' ὧν ἡ πρώτη συζυγία τῶν βαρυτόνων λέγεται, διὰ τοῦ κ ἐπὶ γενικῆς κλίνεται, κήρυκος, πέλυκος, Ἔρυκος, Βέβρυκος· ὅσα δὲ μὴ τοῦτον ἔχει τὸν χαρακτῆρα, διὰ τοῦ γ, ὄρτυγος, κόκκυγος. σημειῶδες δὲ τὸ ὄνυχος. καθόλου τε τῇ πληθυντικῇ εὐθείᾳ ἑπομένη ἡ ἑνικὴ γενικὴ χρῆται τῷ αὐτῷ συμφώνῳ τῆς τελευταίας τυπωτικῷ, κἂν ἄνευ συμφώνου λέγηται, ὁμοίως. Ἀριστοτέλης δέ φησιν 'ὁ ὄρτυξ ἐστὶ c μὲν τῶν ἐκτοπιζόντων καὶ σχιδανοπόδων, νεοττιὰν δ' οὐ ποιεῖ, ἀλλὰ κονίστραν· καὶ ταύτην σκεπάζει φρυγάνοις διὰ τοὺς ἱέρακας, ἐν ᾗ ἐπῳάζει.' Ἀλέξανδρος δὲ ὁ Μύνδιος ἐν δευτέρῳ περὶ ζῴων 'ὁ θῆλυς (φησὶν) ὄρτυξ λεπτοτράχηλός ἐστι τοῦ ἄρρενος οὐκ ἔχων τὰ ὑπὸ τῷ γενείῳ μέλανα. ἀνατμηθεὶς δὲ πρόλοβον οὐχ ὁρᾶται μέγαν ἔχων, καρδίαν δ' ἔχει μεγάλην, καὶ ταύτην τρίλοβον. ἔχει δὲ καὶ ἧπαρ καὶ τὴν χολὴν ἐν τοῖς ἐντέροις κεκολλημένην, σπλῆνα μικρὸν d καὶ δυσθεώρητον, ὄρχεις δὲ ὑπὸ τῷ ἥπατι, ὡς ἀλεκτρυόνες.' περὶ δὲ τῆς γενέσεως αὐτῶν Φανόδημος ἐν δευτέρῳ Ἀτθίδος φησίν 'ὡς κατεῖδεν Ἐρυσίχθων Δῆλον τὴν νῆσον τὴν ὑπὸ τῶν ἀρχαίων καλουμένην Ὀρτυγίαν, παρὰ τὸ τὰς ἀγέλας τῶν ζῴων τούτων φερομένας ἐκ τοῦ πελάγους ἱζάνειν εἰς τὴν νῆσον, διὰ τὸ εὔορμον εἶναι.' Εὔδοξος δ' ὁ Κνίδιος ἐν πρώτῳ γῆς περιόδου τοὺς Φοίνικας λέγει θύειν τῷ Ἡρακλεῖ ὄρτυγας διὰ τὸ τὸν Ἡρακλέα τὸν Ἀστερίας καὶ Διὸς

*πορευόμενον εἰς Λιβύην ἀναιρεθῆναι μὲν ὑπὸ Τυφῶνος, Ἰολάου δ' αὐτῷ προσενέγκαντος ὄρτυγα καὶ* e *προσαγαγόντος ὀσφρανθέντ' ἀναβιῶναι. ἔχαιρε γάρ, φησί, καὶ περιὼν τῷ ζῴῳ τούτῳ.*

48. *ὑποκοριστικῶς δὲ Εὔπολις ἐν Πόλεσιν αὐτοὺς κέκληκεν ὀρτύγια λέγων οὕτως*

*ὄρτυγας ἔθρεψας σύ τινας ἤδη πώποτε;*
*Β. ἔγωγε μίκρ' ἄττ' ὀρτύγια. κἄπειτα τί;*

*Ἀντιφάνης δ' ἐν Ἀγροίκῳ ὀρτύγιον εἴρηκεν οὕτως*

*ὡς δὴ σύ τι*
*ποιεῖν δυνάμενος ὀρτυγίου ψυχὴν ἔχων.*

*Πρατίνας δ' ἐν Δυμαίναις ἢ Καρυάτισιν ἁδύφωνον* f *ἰδίως καλεῖ τὸν ὄρτυγα, πλὴν εἰ μή τι παρὰ τοῖς Φλιασίοις ἢ τοῖς Λάκωσι φωνήεντες, ὡς καὶ οἱ πέρδικες. καὶ ἡ σίαλις δὲ ἀπὸ τούτου ἂν εἴη, φησὶν ὁ Δίδυμος, ὠνομασμένη. σχεδὸν γὰρ τὰ πλεῖστα τῶν ὀρνέων ἀπὸ τῆς φωνῆς ἔχει τὴν ὀνομασίαν. ἡ δὲ ὀρτυγομήτρα καλουμένη, ἧς μνημονεύει Κρατῖνος ἐν Χείρωσι λέγων 'ἰθακησία ὀρτυγομήτρα,' λέγει δὲ* 393 *περὶ αὐτῆς ὁ Μύνδιος Ἀλέξανδρος ὅτι ἐστὶ τὸ μέγεθος ἡλίκη τρυγών, σκέλη δὲ μακρά, δυσθαλὴς καὶ δειλή. περὶ δὲ τῆς τῶν ὀρτύγων θήρας ἰδίως ἱστορεῖ Κλέαρχος ὁ Σολεὺς ἐν τῷ ἐπιγραφομένῳ περὶ τῶν ἐν τῇ Πλάτωνος πολιτείᾳ μαθηματικῶς εἰρημένων γράφων οὕτως 'οἱ ὄρτυγες περὶ τὸν τῆς ὀχείας καιρόν, ἐὰν κάτοπτρον ἐξ ἐναντίας τις αὐτῶν καὶ πρὸ τούτου βρόχον θῇ, τρέχοντες πρὸς τὸν ἐμφαινόμενον ἐν τῷ κατόπτρῳ ἐμπίπτουσιν εἰς τὸν βρόχον.' καὶ περὶ τῶν κολοιῶν δὲ καλουμένων τὰ ὅμοια ἱστορεῖ ἐν τούτοις 'καὶ τοῖς κολοιοῖς δὲ διὰ τὴν φυσικὴν φιλοστοργίαν . . .* b *καὶ γὰρ τοσοῦτον πανουργίᾳ διαφέροντες ὅμως, ὅταν ἐλαίου κρατὴρ τεθῇ πλήρης, οἱ στάντες αὐτῶν ἐπὶ τὸ*

χεῖλος καὶ καταβλέψαντες ἐπὶ τὸν ἐμφαινόμενον κατ-αράττουσι. διόπερ ἐλαιοβρόχων γενομένων ἡ τῶν πτερῶν αὐτοῖς συγκόλλησις αἰτία γίνεται τῆς ἁλώ-σεως.' τὴν μέσην δὲ τοῦ ὀνόματος συλλαβὴν ἐκτεί-νουσιν Ἀττικοί, ὡς δοίδυκα καὶ κήρυκα, ὡς ὁ Ἰξίων φησὶ Δημήτριος ἐν τῷ περὶ τῆς Ἀλεξανδρέων δια-c λέκτου. Ἀριστοφάνης δ' ἐν Εἰρήνῃ συνεσταλμένως ἔφη διὰ τὸ μέτρον 'ὄρτυγες οἰκογενεῖς.' τῶν δὲ κα-λουμένων χεννίων, μικρὸν δ' ἐστὶν ὀρτύγιον, μνη-μονεύει Κλεομένης ἐν τῇ πρὸς Ἀλέξανδρον ἐπιστολῇ γράφων οὕτως 'φαληρίδας ταριχηρὰς μυρίας, τυλά-δας πεντακισχιλίας, χέννια ταριχηρὰ μύρια.' καὶ Ἵππαρχος ἐν τῇ Αἰγυπτίᾳ Ἰλιάδι

οὐδέ μοι Αἰγυπτίων βίος ἤρεσεν οἷον ἔχουσιν,
γέννια τίλλοντες καλκατιάδει σαλέοντα.

49. Οὐκ ἀπελείποντο δὲ ἡμῶν τοῦ συμποσίου
d πολλάκις οὐδὲ κύκνοι. περὶ ὧν φησιν ὁ Ἀριστοτέλης 'ὁ κύκνος εὔτεκνός ἐστι καὶ μάχιμος. ἀλληλοκτονεῖ γοῦν ὁ μάχιμος. μάχεται δὲ καὶ τῷ ἀετῷ, αὐτὸς μά-χης μὴ προαρξάμενος. εἰσὶ δ' ᾠδικοί, καὶ μάλιστα περὶ τὰς τελευτάς. διαίρουσι δὲ καὶ τὸ πέλαγος ᾄδον-τες. ἔστι δὲ τῶν στεγανοπόδων καὶ ποιηφάγων.' ὁ δὲ Μύνδιός φησιν Ἀλέξανδρος πολλοῖς τελευτῶσι παρακολουθήσας οὐκ ἀκοῦσαι ᾀδόντων. ὁ δὲ τὰ Κε-φαλίωνος ἐπιγραφόμενα Τρωικὰ συνθεὶς Ἡγησιάναξ
e ὁ Ἀλεξανδρεὺς καὶ τὸν Ἀχιλλεῖ μονομαχήσαντα Κύ-κνον φησὶ τραφῆναι ἐν Λευκόφρυϊ πρὸς τοῦ ὁμωνύ-μου ὄρνιθος. Βοῖος δ' ἐν Ὀρνιθογονίᾳ ἢ Βοιώ, ὥς φησι Φιλόχορος, ὑπὸ Ἄρεως τὸν Κύκνον ὀρνιθωθῆ-ναι, καὶ παραγενόμενον ἐπὶ τὸν Σύβαριν ποταμὸν πλησιάσαι γεράνῳ. λέγει δὲ καὶ ἐντίθεσθαι αὐτὸν τῇ νεοττιᾷ πόαν τὴν λεγομένην λυγαίαν. καὶ περὶ τῆς

γεράνου δέ φησιν ὁ Βοῖος ὅτι ἦν τις παρὰ τοῖς Πυγ-
μαίοις γυνὴ διάσημος ὄνομα Γεράνα. αὕτη κατὰ
θεὸν τιμωμένη πρὸς τῶν πολιτῶν αὐτὴ τοὺς ὄντως
θεοὺς ταπεινῶς ἦγε, μάλιστα δὲ Ἥραν τε καὶ Ἄρτε- f
μιν. ἀγανακτήσασα οὖν ἡ Ἥρα εἰς ἀπρεπῆ ὄψιν τὴν
ὄρνιν μετεμόρφωσε, πολέμιόν τε καὶ στυγητὴν κατέ-
στησε τοῖς τιμήσασιν αὐτὴν Πυγμαίοις. γενέσθαι δὲ
λέγει ἐξ αὐτῆς καὶ Νικοδάμαντος τὴν χερσαίαν χε-
λώνην. καθόλου δὲ ὁ ποιήσας ταῦτα τὰ ἔπη πάντα
τὰ ὄρνεα ἀνθρώπους ἱστορεῖ πρότερον γεγονέναι.

50. ΦΑΣΣΑΙ. Ἀριστοτέλης φησὶ περιστερῶν μὲν
εἶναι ἓν γένος εἴδη δὲ πέντε, γράφων οὕτως ʽπερι-
στερά, οἰνάς, φάψ, φάσσα, τρυγών.ʼ ἐν δὲ πέμπτῳ 394
περὶ ζῴων μορίων τὴν φάβα οὐκ ὀνομάζει, καίτοι
Αἰσχύλου ἐν τῷ τραγικῷ Πρωτεῖ οὕτω μνημονεύον-
τος τοῦ ὄρνιθος

σιτουμένην δύστηνον ἀθλίαν φάβα,
μέσακτα πλευρὰ πρὸς πτύοις πεπλεγμένην.

κἀν Φιλοκτήτῃ δὲ κατὰ γενικὴν κλίσιν φαβῶν εἴρη-
κεν. ʽἡ μὲν οὖν οἰνὰς (φησὶν ὁ Ἀριστοτέλης) μείζων
ἐστὶ τῆς περιστερᾶς, χρῶμα δʼ ἔχει οἰνωπόν, ἡ δὲ
φὰψ μέσον περιστερᾶς καὶ οἰνάδος, ἡ δὲ φάσσα ἀλέ-
κτορος τὸ μέγεθος, χρῶμα δὲ σποδιόν, ἡ δὲ τρυγὼν
πάντων ἐλάττων, χρῶμα δὲ τεφρόν. αὕτη δὲ θέρους b
φαίνεται, τὸν δὲ χειμῶνα φωλεύει. ἡ δὲ φὰψ καὶ ἡ
περιστερὰ ἀεὶ φαίνονται, ἡ δʼ οἰνὰς φθινοπώρῳ
μόνῳ. πολυχρονιωτέρα δὲ εἶναι λέγεται τούτων ἡ
φάσσα· καὶ γὰρ τριάκοντα καὶ τεσσαράκοντα ζῇ ἔτη.
οὐκ ἀπολείπουσι δʼ ἕως θανάτου οὔτε οἱ ἄρρενες τὰς
θηλείας οὔτε αἱ θήλειαι τοὺς ἄρρενας, ἀλλὰ καὶ τε-
λευτήσαντος χηρεύει ὁ ὑπολειπόμενος. τὸ δʼ αὐτὸ
ποιοῦσι καὶ κόρακες καὶ κορῶναι καὶ κολοιοί· ἐπᾴδει

δ' ἐκ διαδοχῆς πᾶν τὸ περιστεροειδὲς γένος, καὶ γενομένων τῶν νεοττῶν ὁ ἄρρην ἐμπτύει αὐτοῖς, ὡς μὴ c βασκανθῶσι. τίκτει δὲ ᾠὰ δύο, ὧν τὸ μὲν πρῶτον ἄρρεν ποιεῖ τὸ δὲ δεύτερον θῆλυ. τίκτουσι δὲ πᾶσαν ὥραν τοῦ ἔτους· διὸ δὴ καὶ δεκάκις τοῦ ἐνιαυτοῦ τιθέασιν· ἐν Αἰγύπτῳ δὲ δωδεκάκις. τεκοῦσα γὰρ τῇ ἐχομένῃ ἡμέρᾳ συλλαμβάνει.' ἔτι ἐν τῷ αὐτῷ φησὶν Ἀριστοτέλης ὅτι περιστερὰ ἕτερον πελειὰς δ' ἕτερον, καὶ ὅτι ἡ πελειὰς ἔλαττον καὶ τιθασὸν γίνεται, περιστερὰ δὲ καὶ μέλαν καὶ μικρὸν καὶ ἐρυθρόπουν καὶ τραχύπουν· διὸ οὐδεὶς τρέφει. ἴδιον δὲ λέγει τῆς περιστερᾶς τὸ κυνεῖν αὐτὰς ὅταν μέλλωσιν d ἀναβαίνειν, ἢ οὐκ ἀνέχεσθαι τὰς θηλείας. ὁ δὲ πρεσβύτερος, φησί, καὶ προαναβαίνει μὴ κύσας· οἱ δὲ νεώτεροι ἀεὶ τοῦτο ποιήσαντες ὀχεύουσιν. καὶ αἱ θήλειαι δ' ἀλλήλας ἀναβαίνουσιν, ὅταν ἄρρην μὴ παρῇ, κυνήσασαι· καὶ οὐδὲν προϊέμεναι εἰς ἀλλήλας τίκτουσιν ᾠά, ἐξ ὧν οὐ γίνεται νεοττός. οἱ δὲ Δωριεῖς τὴν πελειάδα ἀντὶ περιστερᾶς τιθέασιν, ὡς Σώφρων ἐν γυναικείοις. Καλλίμαχος δ' ἐν τῷ περὶ ὀρνέων ὡς διαφόρους ἐκτίθεται φάσσαν πυραλλίδα περιστερὰν τρυγόνα.

51. Ὁ δὲ Μύνδιος Ἀλέξανδρος οὐ πίνειν φησὶ e τὴν φάσσαν ἀνακύπτουσαν, ὡς τὴν τρυγόνα, καὶ τοῦ χειμῶνος μὴ φθέγγεσθαι εἰ μὴ εὐδίας γενομένης. λέγεται δὲ ὅτι, ἡ οἰνὰς ἐὰν φαγοῦσα τὸ τῆς ἰξίας σπέρμα ἐπί τινος ἀφοδεύσῃ δένδρου, ἰδίαν ἰξίαν φύεσθαι. Δαΐμαχος δ' ἐν τοῖς Ἰνδικοῖς ἱστορεῖ περιστερὰς μηλίνας γίνεσθαι ἐν Ἰνδοῖς. Χάρων δ' ὁ Λαμψακηνὸς ἐν τοῖς Περσικοῖς περὶ Μαρδονίου ἱστορῶν καὶ τοῦ διαφθαρέντος στρατοῦ Περσικοῦ περὶ τὸν Ἄθω γράφει καὶ ταῦτα 'καὶ λευκαὶ περιστεραὶ τότε

πρῶτον εἰς Ἕλληνας ἐφάνησαν, πρότερον οὐ γιγνόμεναι.' ὁ δ' Ἀριστοτέλης φησὶν ὡς αἱ περιστεραὶ γιγνομένων τῶν νεοττῶν τῆς ἁλμυριζούσης γῆς δια- f μασησάμεναι ἐμπτύουσιν αὐτοῖς διοιγνῦσαι τὸ στόμα, διὰ τούτου παρασκευάζουσαι αὐτοὺς πρὸς τὴν τροφήν. τῆς δὲ Σικελίας ἐν Ἔρυκι καιρός τίς ἐστιν ὃν καλοῦσιν ἀναγώγια, ἐν ᾧ φασὶ τὴν θεὸν εἰς Λιβύην ἀνάγεσθαι. τότ' οὖν αἱ περὶ τὸν τόπον περιστεραὶ ἀφανεῖς γίνονται ὡς δὴ τῇ θεῷ συναποδημοῦσαι. καὶ μεθ' ἡμέρας ἐννέα ἐν τοῖς λεγομένοις καταγωγίοις μιᾶς προπετασθείσης ἐκ τοῦ πελάγους περιστε- 395 ρᾶς καὶ εἰς τὸν νεὼν εἰσπτάσης παραγίνονται καὶ αἱ λοιπαί. ὅσοι οὖν τότε περιουσίας εὖ ἥκουσι τῶν περιοίκων εὐωχοῦνται, οἱ δὲ λοιποὶ κροταλίζουσι μετὰ χαρᾶς. ὄζει δὲ πᾶς ὁ τόπος τότε βούτυρον, ᾧ δὴ τεκμηρίῳ χρῶνται τῆς θείας ἐπανόδου. Αὐτοκράτης δ' ἐν τοῖς Ἀχαϊκοῖς καὶ τὸν Δία ἱστορεῖ μεταβαλεῖν τὴν μορφὴν εἰς περιστεράν, ἐρασθέντα παρθένου Φθίας ὄνομα ἐν Αἰγίῳ. Ἀττικοὶ δὲ ἀρσενικῶς περιστερὸν καλοῦσιν. Ἄλεξις Συντρέχουσιν

λευκὸς Ἀφροδίτης εἰμὶ γὰρ περιστερός. b
ὁ δὲ Διόνυσος οἶδε τὸ μεθύσαι μόνον·
εἰ δὲ νέον ἢ παλαιόν, οὐ πεφρόντικεν.

ἐν δὲ Ῥοδίῳ ἢ Ποππυζούσῃ θηλυκῶς εἴρηκε καὶ ὅτι αἱ σικελικαὶ διάφοροί εἰσι

περιστερὰς
ἔνδον τρέφω τῶν σικελικῶν τούτων πάνυ
κομψάς.

Φερεκράτης ἐν Γραυσί φησιν

ἀπόπεμψον ἀγγελοῦντα τὸν περιστερόν.

ἐν δὲ Πετάλῃ

ἀλλ' ὦ περιστέριον ὅμοιον Κλεισθένει c

πέτου, κόμισον δέ μ' ἐς Κύθηρα καὶ Κύπρον.

Νίκανδρος δ' ἐν δευτέρῳ Γεωργικῶν τῶν σικελικῶν μνημονεύων πελειάδων φησί

καί τε σύ γε θρέψαιο δρακοντιάδας διτοκεύσας
ἢ σικελὰς μεγάροισι πελειάδας· οὐδέ φιν ἅρπαι,
οὐδέ φιν ὀστράκεοι νωμήσιμοι ἐξενέπονται.

52. ΝΗΤΤΑΙ. τούτων, ὥς φησιν Ἀλέξανδρος ὁ Μύνδιος, ὁ ἄρρην μείζων καὶ ποικιλώτερος. τὸ δὲ λεγόμενον γλαυκίον διὰ τὴν τῶν ὀμμάτων χρόαν μι- d κρῷ ἔλαττόν ἐστι νήττης. τῶν δὲ βοσκάδων καλουμένων ὁ μὲν ἄρρην κατάγραφος. ἔστι δὲ ἧττον νήττης. ἔχουσι δὲ οἱ ἄρρενες σιμά τε καὶ ἐλάττονα τῇ συμμετρίᾳ τὰ ῥύγχη. ἡ δὲ μικρὰ κολυμβὶς πάντων ἐλαχίστη τῶν ἐνύδρων, ῥυπαρομέλαινα τὴν χροιὰν καὶ τὸ ῥύγχος ὀξὺ ἔχει σκέπον τε τὰ ὄμματα, τὰ δὲ πολλὰ καταδύεται. ἔστι δὲ καὶ ἄλλο γένος βοσκάδων, μεῖζον μὲν νήττης ἔλαττον δὲ χηναλώπεκος. αἱ δὲ λεγόμεναι φασκάδες μικρῷ μείζονες οὖσαι τῶν μικρῶν κολυμβίδων τὰ λοιπὰ νήτταις εἰσὶ παραπλήσιοι. e ἡ δὲ λεγομένη οὐρία οὐ πολὺ λείπεται νήττης, τῷ χρώματι δὲ ῥυπαροκέραμός ἐστι, τὸ δὲ ῥύγχος μακρόν τε καὶ στενὸν ἔχει· ἡ δὲ φαλαρὶς καὶ αὐτὴ στενὸν ἔχουσα τὸ ῥύγχος, στρογγυλωτέρα τὴν ὄψιν οὖσα, ἔντεφρος τὴν γαστέρα, μικρῷ μελαντέρα τὸ νῶτον. τῆς δὲ νήττης καὶ κολυμβάδος, ἀφ' ὧν καὶ τὸ νήχεσθαι καὶ κολυμβᾶν εἴρηται, μνημονεύει μετὰ καὶ ἄλλων λιμναίων πολλῶν Ἀριστοφάνης ἐν Ἀχαρνεῦσι διὰ τούτων

νάσσας κολοιοὺς ἀτταγᾶς φαλαρίδας
f τροχίλους κολύμβους.

μνημονεύει αὐτῶν καὶ Καλλίμαχος ἐν τῷ περὶ ὀρνέων.

53. παρῆσαν δὲ πολλάκις ἡμῖν καὶ οἱ καλούμενοι
παραστάται, ὧν μνημονεύει Ἐπαίνετος ἐν Ὀψαρτυ-
τικῷ καὶ Σιμάριστος ἐν τρίτῳ συνωνύμων καὶ τετάρ-
τῳ. εἰσὶ δ' οἱ ὄρχεις οὕτω καλούμενοι. συγκεκνι-
σωμένων δέ τινων κρεῶν ζωμῷ καὶ παραφερομένων,
ἐπεί τις ἔφη, τῶν πνικτῶν κρεαδίων δός, ὁ τῶν ὀνο-
μάτων Δαίδαλος Οὐλπιανός, αὐτὸς ἐγώ, φησίν, ἀπο- 396
πνιγήσομαι, εἰ μὴ εἴπῃς ὅπου καὶ σὺ εὗρες τὰ τοιαῦτα
κρεάδια. οὐ μὴ γὰρ ὀνομάσω πρὶν μαθεῖν. ὃ δέ,
Στράττις εἶπεν, ἔφη, ἐν Μακεδόσιν ἢ Κινησίᾳ

πνικτόν τι τοίνυν ἔστω σοι συχνὸν τοιοῦτον.

καὶ Εὔβουλος Κατακολλωμένῳ

καὶ πνικτὰ σικελὰ πατανίων σωρεύματα.

Ἀριστοφάνης τ' εἴρηκεν ἐν Σφηξίν

ἐν λοπάδι πεπνιγμένον.

Κρατῖνος δ' ἐν Δηλιάσι

τῷ δ' ὑποτρίψας τι μέρος πνῖξον καθαρύλ- b
λως.

Ἀντιφάνης δ' ἐν Ἀγροίκῳ

καὶ πρῶτα μὲν
αἴρω ποθεινὴν μᾶζαν, ἣν φερέσβιος
Δηὼ βροτοῖσι χάρμα δωρεῖται φίλον·
ἔπειτα πνικτὰ τακερὰ μηκάδων μέλη,
χλόην καταμπέχοντα, σάρκα νεογενῆ.
Β. τί λέγεις; Α. τραγῳδίαν περαίνω Σοφοκλέους.

54. ΓΑΛΑΘΗΝΩΝ δὲ χοίρων ποτὲ περιενεχθέν-
των, καὶ περὶ τούτων ἐξήτησαν οἱ δαιταλεῖς εἰ τὸ c
ὄνομα εἴρηται. καί τις ἔφη, Φερεκράτης Δουλοδιδα-
σκάλῳ

γαλαθήν' ἔκλεπτον οὐ τέλεα.

ἐν δὲ Αὐτομόλοις

οὐ γαλαθηνὸν ἄρ' ὗν θύειν μέλλεις;

Ἀλκαῖος Παλαίστρᾳ

ὁδὶ γὰρ αὐτός ἐστιν· εἴ τι γρύξομαι
ὧν σοι λέγω πλέον τι γαλαθηνοῦ μυός.

Ἡρόδοτος δ᾽ ἐν τῇ πρώτῃ φησὶν ὅτι ἐν Βαβυλῶνι ἐπὶ τοῦ χρυσοῦ βωμοῦ οὐκ ἔξεστι θύειν ὅτι μὴ γαλαθηνὰ μοῦνα. Ἀντιφάνης Φιλεταίρῳ

d κομψός γε μικρὸς κρωμακίσκος οὑτοσὶ
γαλαθηνός.

Ἡνίοχος Πολυεύκτῳ

ὁ βοῦς ὁ χαλκοῦς ἦν ἂν ἑφθὸς δεκάπαλαι,
ὃ δ᾽ ἴσως γαλαθηνὸν τέθυκε τὸν χοῖρον λαβών.

καὶ Ἀνακρέων δέ φησιν

οἷά τε νεβρὸν
νεοθηλέα γαλαθηνόν, ὅς τ᾽ ἐν ὕλῃ κεροέσσης
ἀπολειφθεὶς ἀπὸ μητρὸς ἐπτοήθη.

Κράτης Γείτοσι

νῦν μὲν γὰρ ἡμῖν . . παιδικῶν ἅλις
ὅκως περ ἀρνῶν ἐστι γαλαθηνῶν τε καὶ
χοίρων.

e Σιμωνίδης δ᾽ ἐπὶ τοῦ Περσέως τὴν Δανάην ποιεῖ λέγουσαν

ὦ τέκος, οἷον ἔχω πόνον·
σὺ δ᾽ ἀωτεῖς γαλαθηνῷ τ᾽ ἤτορι κνώσσεις.

καὶ ἐν ἄλλοις ἐπ᾽ Ἀρχεμόρου εἴρηκεν

ἰοστεφάνου γλυκεῖαν ἐδάκρυσαν
ψυχὰν ἀποπνέοντα γαλαθηνὸν τέκος.

Κλέαρχος δ᾽ ἐν τοῖς περὶ βίων εἰς τοῦτό φησιν ὠμότητος Φάλαριν τὸν τύραννον ἐλάσαι ὡς γαλαθηνὰ θοινᾶσθαι βρέφη. θῆσθαι δ᾽ ἐστὶ τὸ θηλάζειν τὸ γάλα. Ὅμηρος

f Ἕκτωρ γὰρ θνητός τε γυναῖκά τε θήσατο μαζόν.

διὰ τὸ ἐντίθεσθαι τὰς θηλὰς εἰς τὰ στόματα τὰ

βρέφη. καὶ ὁ τιτθὸς ἐνθένδε διὰ τὸ ἐντίθεσθαι τὰς θηλάς.

νεβροὺς κοιμήσασα νεηγενέας γαλαθηνούς.

55. περιενεχθεισῶν δέ ποτε καὶ δορκάδων ὁ 397 Ἐλεατικὸς Παλαμήδης ὀνοματολόγος ἔφη, οὐκ ἄχαρι κρέας τὸ τῶν δορκώνων. πρὸς ὃν ὁ Μυρτίλος ἔφη, μόνως δορκάδες λέγονται, δόρκωνες δὲ οὔ. Ξενοφῶν Ἀναβάσεως πρώτῳ 'ἐνῆσαν δὲ καὶ ὠτίδες καὶ δορκάδες.'

56. ΤΑΩΣ. ὅτι σπάνιος οὗτος ὁ ὄρνις δηλοῖ Ἀντιφάνης ἐν Στρατιώτῃ ἢ Τύχωνι λέγων οὕτως

τῶν ταῶν μὲν ὡς ἅπαξ τις ζεῦγος ἤγαγ' ἓν μόνον,
σπάνιον ὂν τὸ χρῆμα, πλείους δ' εἰσὶ νῦν τῶν ὀρτύγων.

καὶ Εὔβουλος ἐν Φοίνικι

καὶ γὰρ ὁ ταὼς διὰ τὸ σπάνιον θαυμάζεται. b

'ὁ ταὼς (φησὶν Ἀριστοτέλης) σχιδανόπους ἐστὶ καὶ ποιολόγος, καὶ τίκτει τριετὴς γενόμενος, ἐν οἷς χρόνοις καὶ τὴν ποικιλίαν τῶν πτερῶν λαμβάνει. ἐπῳάζει δὲ πρὸς ἡμέρας τριάκοντα. τίκτει δὲ ἅπαξ τοῦ ἔτους ᾠὰ δώδεκα· ταῦτα δὲ οὐκ εἰς ἅπαξ, ἀλλὰ παρ' ἡμέρας δύο· αἱ δὲ πρωτοτόκοι ὀκτώ. τίκτει δὲ καὶ ὑπηνέμια ᾠὰ ὡς ἡ ἀλεκτορίς, οὐ πλείω δὲ τῶν δύο. ἐκλέπει δὲ καὶ ἐπῳάζει καθάπερ ἡ ἀλεκτορίς.' Εὔπολις δ' ἐν Ἀστρατεύτοις φησὶ περὶ αὐτοῦ οὕτως

μή ποτε θρέψω παρὰ Φερσεφόνῃ c
τοιόνδε ταῶν,
ὃς τοὺς εὕδοντας ἐγείρει.

Ἀντιφῶντι δὲ τῷ ῥήτορι λόγος μὲν γέγραπται ἔχων ἐπίγραμμα περὶ ταῶν, καὶ ἐν αὐτῷ τῷ λόγῳ οὐδεμία μνεία τοῦ ὀνόματος γίνεται, ὄρνεις δὲ ποικίλους πολλάκις ἐν αὐτῷ ὀνομάζει, φάσκων τούτους τρέφειν

Δῆμον τὸν Πυριλάμπους, καὶ πολλοὺς παραγίνεσθαι κατὰ πόθον τῆς τῶν ὀρνίθων θέας ἔκ τε Λακεδαίμονος καὶ Θετταλίας καὶ σπουδὴν ποιεῖσθαι τῶν ᾠῶν μεταλαβεῖν. περὶ δὲ τῆς ἰδέας αὐτῶν λέγων γράφει d 'εἴ τις ἐθέλοι καταβαλεῖν εἰς πόλιν τοὺς ὄρνιθας, οἰχήσονται ἀναπτόμενοι. ἐὰν δὲ τῶν πτερύγων ἀποτέμῃ, τὸ κάλλος ἀφαιρήσεται. τὰ πτερὰ γὰρ αὐτῶν τὸ κάλλος ἐστίν, ἀλλ' οὐ τὸ σῶμα.' ὅτι δὲ καὶ περισπούδαστος ἦν αὐτῶν ἡ θέα ἐν τῷ αὐτῷ λόγῳ πάλιν φησίν 'ἀλλὰ τὰς μὲν νουμηνίας ὁ βουλόμενος εἰσῄει, τὰς δ' ἄλλας ἡμέρας εἴ τις ἔλθοι βουλόμενος θεάσασθαι, οὐκ ἔστιν ὅστις ἔτυχε. καὶ ταῦτα οὐκ ἐχθὲς οὐδὲ πρῴην, ἀλλ' ἔτη πλέον ἢ τριάκοντα ἐστίν.'

e 57. ταῶς δὲ λέγουσιν Ἀθηναῖοι, ὥς φησι Τρύφων, τὴν τελευταίαν συλλαβὴν περισπῶντες καὶ δασύνοντες. καὶ ἀναγινώσκουσι μὲν οὕτως παρ' Εὐπόλιδι ἐν Ἀστρατεύτοις; πρόκειται δὲ τὸ μαρτύριον, καὶ ἐν Ὄρνισιν Ἀριστοφάνους

Τηρεὺς γὰρ εἶ σύ; πότερον ὄρνις ἢ ταῶς.

καὶ πάλιν

ὄρνις δῆτα. τίς ποτ' ἐστίν; οὐ δή που ταῶς;

λέγουσι δὲ καὶ τὴν δοτικὴν ταῶνι, ὡς ἐν τῷ αὐτῷ Ἀριστοφάνης. ἀμήχανον δὲ παρ' Ἀττικοῖς καὶ Ἴωσιν ἐν τοῖς ὑπὲρ μίαν συλλαβὴν ὀνόμασι τὴν τελευτῶσαν f ἀπὸ φωνήεντος ἀρχομένην δασύνεσθαι. πάντως γὰρ εἶναι ψιλὴν αὐτὴν παρηκολούθηκεν, οἷον νεὼς, λεὼς, Τυνδάρεὼς, Μενέλεὼς, λιπόνεὼς, εὔνεὼς, Νείλεὼς, πρᾶὸς, υἱὸς, Κεῖὸς, Χῖὸς, δῖὸς, χρεῖὸς, πλεῖὸς, λεῖὸς, λαιὸς, βαιὸς, φαιὸς, πηὸς, γόὸς, θοὸς, ῥόὸς, ζωὸς. φίλαρχος γὰρ οὖσα καὶ ἡγεμονικὴ τὴν φύσιν ἡ δασύτης τοῖς τελευταίοις μέρεσι τῶν ὀνομάτων οὐδαμῶς 398 ἐγκαθείργνυται. ὠνόμασται δὲ ταῶς ἀπὸ τῆς τά-

σεως τῶν πτερῶν.' Σέλευκος δ' ἐν τῷ πέμπτῳ περὶ ἑλληνισμοῦ 'ταῶς· παραλόγως δὲ οἱ Ἀττικοὶ καὶ δασύνουσι καὶ περισπῶσι. τοῖς δὲ πρώτοις τῶν φωνηέντων κατὰ τὰς ἁπλᾶς τῶν ὀνομάτων ἐκφορὰς συνεκφέρεσθαι ἐθέλει, καὶ ἐνταυθοῖ προάττουσα, καὶ τάχιον ἐκθέουσα δι' ἐπιπολῆς ἐστὶ τῶν λέξεων. τεκμαιρόμενοι οὖν Ἀθηναῖοι καὶ διὰ τῆς τάξεως τὴν ἐνοῦσαν τῇ προσῳδίᾳ φύσιν, οὐκ ἐπὶ τῶν φωνηέντων τιθέασιν ὥσπερ τὰς ἄλλας, πρὸ δὲ τούτων τάσσουσιν. οἶμαι δὲ καὶ διὰ τοῦ Η στοιχείου τυπώσασθαι τοὺς παλαιοὺς τὴν δασεῖαν. διόπερ καὶ Ῥωμαῖοι πρὸ πάντων b τῶν δασυνομένων ὀνομάτων τὸ Η προγράφουσι, τὸ ἡγεμονικὸν αὐτῆς διασημαίνοντες. εἰ δὲ τοιαύτη ἡ δασύτης, μήποτε ἀλόγως κατὰ τὴν τελευτῶσαν συλλαβὴν ὁ ταῶς πρὸς τῶν Ἀττικῶν προσπνεῖται.'

58. πολλῶν οὖν καὶ ἄλλων ἐν τῷ συμποσίῳ περὶ ἑκάστου τῶν εἰσκομιζομένων ῥηθέντων, ἀλλὰ κἀγώ, φησὶν ὁ Λαρήνσιος, κατὰ τὸν πάντ' ἄριστον Οὐλπιανόν, προτείνω τι καὶ αὐτὸς ὑμῖν· ζητήσεις γὰρ σιτούμεθα· τὸν τέτρακα τί νομίζετε; καί τινος εἰπόντος, c εἶδος ὀρνέου (ἔθος δὲ γραμματικῶν παισὶ περὶ πάντων τῶν προβαλλομένων λέγειν, εἶδος φυτοῦ, εἶδος ὀρνέου, εἶδος λίθου) ὁ Λαρήνσιος ἔφη, καὶ αὐτός, ἀνδρῶν λῷστε, ὅτι ὁ χαρίεις Ἀριστοφάνης ἐν τοῖς Ὄρνισι μνημονεύει ἐν τούτοις οἶδα 'πορφυρίωνι καὶ πελεκᾶντι καὶ πελεκίνῳ καὶ φλέξιδι καὶ τέτρακι καὶ ταῶνι.' ζητῶ δ' ἐγὼ παρ' ὑμῶν μαθεῖν εἰ καὶ παρ' ἄλλῳ τινὶ αὐτοῦ τις γίνεται μνήμη. Ἀλέξανδρος γὰρ ὁ Μύνδιος ἐν δευτέρῳ περὶ πτηνῶν ζῴων οὐ τοῦ ὄρνιθος τοῦ μεγάλου μνημονεύει, ἀλλά τινος τῶν σμικροτάτων. λέγει γὰρ οὕτως 'τέτραξ, τὸ μέγεθος ἴσος σπερμολόγῳ, d τὸ χρῶμα κεραμεοῦς, ῥυπαραῖς στιγμαῖς καὶ μεγάλαις

γραμμαῖς ποικίλος, καρποφάγος. ὅταν ᾠοτοκῇ δέ, τετράζει τῇ φωνῇ.᾽ καὶ Ἐπίχαρμος ἐν Ἥβας Γάμῳ

λαμβάνοντι γὰρ
ὄρτυγας στρουθούς τε κορυδάλλας τε φοινικείμονας,
τέτραγάς τε σπερματολόγους κἀγλαὰς συκαλλίδας.

καὶ ἐν ἄλλοις δέ φησιν

ἦν δ᾽ ἐρῳδιοί τε πολλοὶ μακροκαμπυλαύχενες,
τέτραγές τε σπερματολόγοι.

ἐπεὶ δὲ ὑμεῖς οὐδὲν ἔχετε, σιωπᾶτε γάρ, ἐγὼ καὶ τὸ
e ὄρνεον ὑμῖν ἐπιδείξω. ἐπιτροπεύων γὰρ ἐν Μυσίᾳ τοῦ κυρίου αὐτοκράτορος καὶ προϊστάμενος τῶν τῆς ἐπαρχίας ἐκείνης πραγμάτων τεθέαμαι ἐπὶ τῇ χώρᾳ ἐκείνῃ τοὔρνεον. καὶ μαθὼν οὕτω καλούμενον παρὰ τοῖς Μυσοῖς καὶ Παίοσιν ὑπεμνήσθην ἐκ τῶν παρ᾽ Ἀριστοφάνει εἰρημένων τὸν ὄρνιθα. νομίζων δὲ καὶ παρὰ τῷ πολυμαθεστάτῳ Ἀριστοτέλει μνήμης ἠξιῶσθαι τὸ ζῷον ἐν τῇ πολυταλάντῳ πραγματείᾳ (ὀκτακόσια γὰρ εἰληφέναι τάλαντα παρ᾽ Ἀλεξάνδρου τὸν Σταγειρίτην λόγος ἔχει εἰς τὴν περὶ τῶν ζῴων ἱστο-
f ρίαν) ὡς οὐδὲν εὗρον περὶ αὐτοῦ λεγόμενον, ἔχαιρον ἔχων ἐχεγγυώτατον μάρτυρα τὸν χαρίεντ᾽ Ἀριστοφάνη. ἅμα δὲ ταῦτα λέγοντος αὐτοῦ εἰσῆλθέ τις φέρων ἐν τῷ ταλάρῳ τὸν τέτρακα. ἦν δὲ τὸ μὲν μέγεθος ὑπὲρ ἀλεκτρυόνα τὸν μέγιστον, τὸ δὲ εἶδος πορφυρίωνι παραπλήσιος· καὶ ἀπὸ τῶν ὤτων ἑκατέρωθεν εἶχε κρεμάμενα, ὥσπερ οἱ ἀλεκτρυόνες, τὰ κάλλαια·
399 βαρεῖα δ᾽ ἦν ἡ φωνή. θαυμασάντων οὖν ἡμῶν τὸ εὐανθὲς τοῦ ὄρνιθος μετ᾽ οὐ πολὺ καὶ ἐσκευασμένος παρηνέχθη, καὶ τὰ κρέα αὐτοῦ ἦν παραπλήσια τοῖς

τῆς μεγάλης στρουθοῦ, ἣν καὶ αὐτὴν πολλάκις κατεδαισάμεθα.

59. ΨΥΑΙ. ὁ τὴν τῶν Ἀτρειδῶν κάθοδον πεποιηκὼς ἐν τῷ τρίτῳ φησίν

Ἶσον δ' Ἑρμιονεὺς ποσὶ καρπαλίμοισι μετασπὼν
ψύας ἔγχεϊ νύξε.

Σιμάριστος δ' ἐν τρίτῳ Συνωνύμων οὕτως γράφει 'ὀσφύος αἱ ἐκ πλαγίων σάρκες ἐπανεστηκυῖαι ψύαι. b τὰ δὲ ἑκατέρωθεν κοιλώματα λέγουσι κύβους, γαλλίας.' Κλέαρχος δ' ἐν δευτέρῳ περὶ σκελετῶν οὕτως φησί 'σάρκες μυωταὶ καθ' ἑκάτερον μέρος, ἃς οἱ μὲν ψύας οἱ δὲ ἀλώπεκας οἱ δὲ νεφρομήτρας καλοῦσι.' μνημονεύει δὲ τῶν ψυῶν καὶ Ἱπποκράτης ὁ ἱερώτατος. ὠνομάσθησαν δ' οὕτως διὰ τὸ ῥᾳδίως ἀποψᾶσθαι, ἢ οἷόν τις οὖσα ἐπιψαύουσα σὰρξ καὶ ἐπιπολῆς τοῖς ὀστέοις ὑπάρχουσα. μνημονεύει αὐτῶν καὶ Εὔφρων ὁ κωμικὸς ἐν Θεωροῖς

λοβός τίς ἐστι καὶ ψύαι καλούμεναι· c
ταύτας ἐπιτεμὼν πρὶν θεωρῆσαι μαθών —

60. ΟΥΘΑΡ. Τηλεκλείδης Στερροῖς

ὡς οὖσα θῆλυς εἰκότως οὖθαρ φορῶ.

Ἡρόδοτος δ' ἐν τῇ τετάρτῃ τῶν ἱστοριῶν φησίν . . . σπανίως δ' ἔστιν εὑρεῖν τὸ οὖθαρ ἐπὶ τῶν ἄλλων ζῴων λεγόμενον· ὑπογάστριον δὲ μόνον ὡς ἐπὶ τῶν ἰχθύων λέγεται. Στράττις Ἀταλάντῃ

ὑπογάστριον θύννου τι κἀκροκώλιον. d

Θεόπομπος Καλλαίσχρῳ

ἰχθύων δὲ δὴ
ὑπογάστρι' ὦ Δάματερ.

ἐν δὲ Σειρῆσιν ὑπήτρια καλεῖ τὰ ὑπογάστρια λέγων οὕτως

θύννων τε λευκῶν σικελικῶν ὑπήτρια.

61. ΛΑΓΩΣ. περὶ τούτου ὁ μὲν ὀψοδαίδαλος Ἀρχέστρατος οὕτως φησί

τοῦ δὲ λαγὼ πολλοί τε τρόποι πολλαί τε θέσεις σοι
σκευασίας εἰσίν. κεῖνος δ' οὖν ἐστὶν ἄριστος,
ἂν πεινῶσι μεταξὺ φέρῃς κρέας ὀπτὸν ἑκάστῳ,
e θερμόν, ἁπλῶς ἁλίπαστον, ἀφαρπάζων ὀβελίσκου
μικρὸν ἐνωμότερον. μὴ λυπείτω δέ σ' ὁρῶντα
ἰχῶρα στάζοντα κρεῶν, ἀλλ' ἔσθιε λάβρως.
αἱ δ' ἄλλαι περίεργοι ἔμοιγ' εἰσὶν διὰ παντὸς
σκευασίαι, γλοιῶν καταχύσματα, καὶ κατάτυρα
καὶ κατέλαια λίαν, ὥσπερ γαλῇ ὀψοποιούντων.

Ναυσικράτης δ' ὁ κωμῳδιοποιὸς ἐν Περσίδι σπανίως,
f φησίν, ἔστιν εὑρεῖν δασύποδα περὶ τὴν Ἀττικήν. λέγει δ' ὧδε

ἐν τῇ γὰρ Ἀττικῇ τίς εἶδε πώποτε
λέοντας ἢ τοιοῦτον ἕτερον θηρίον;
οὗ δασύποδ' εὑρεῖν ἐστὶν οὐχὶ ῥᾴδιον.

Ἀλκαῖος δ' ἐν Καλλιστοῖ καὶ ὡς πολλῶν ὄντων ἐμφανίζει διὰ τούτων

κορίαννον εἰς τί λεπτόν; Β. ἵνα τοὺς δασύποδας,
οὓς ἂν λάβωμεν, ἁλσὶ διαπάττειν ἔχῃς.

400 62. Τρύφων δέ φησι 'τὸν λαγὼν ἐπ' αἰτιατικῆς ἐν Δαναΐσιν Ἀριστοφάνης ὀξυτόνως καὶ μετὰ τοῦ ν λέγει

λύσας ἴσως ἂν τὸν λαγὼν ξυναρπάσειεν ὑμῶν.

καὶ ἐν Δαιταλεῦσιν

ἀπόλωλα· τίλλων τὸν λαγὼν ὀφθήσομαι.

Ξενοφῶν δ' ἐν Κυνηγετικῷ χωρὶς τοῦ ν λαγῶ καὶ περισπωμένως. ἐπεὶ τὸ καθ' ἡμᾶς ἐστὶ λαγός. ὥσπερ δὲ ναὸν λεγόντων ἡμῶν ἐκεῖνοί φασι νεὼν καὶ λαὸν λεών, οὕτω λαγὸν ὀνομαζόντων ἐκεῖνοι λαγὼν ἐροῦσι.

τῇ δὲ τὸν λαγὸν ἑνικῇ αἰτιατικῇ ἀκόλουθός ἐστιν ἡ b
παρὰ Σοφοκλεῖ ἐν Ἀμύκῳ σατυρικῷ πληθυντικὴ
ὀνομαστική

γέρανοι χελῶναι γλαῦκες ἰκτῖνοι λαγοί.

τῇ δὲ λαγὼν ἡ διὰ τοῦ ω παραπλησίως προσαγορευο-
μένη λαγῴ παρ' Εὐπόλιδι ἐν Κόλαξιν 'ἵνα πάρα μὲν
βατίδες καὶ λαγῴ καὶ γυναῖκες εἰλίποδες.' εἰσὶ δ' οἳ
καὶ ταῦτ' ἀλόγως κατὰ τὴν τελευτῶσαν συλλαβὴν
περισπωμένως προφέρονται. δεῖ δὲ ὀξυτονεῖν τὴν
λέξιν, ἐπειδὴ τὰ εἰς ος λήγοντα τῶν ὀνομάτων ὁμό-
τονά ἐστι, κἂν μεταληφθῇ εἰς τὸ ω παρ' Ἀττικοῖς· c
ναὸς νεώς, κάλος κάλως. οὕτως δ' ἐχρήσατο τῷ ὀνό-
ματι καὶ Ἐπίχαρμος καὶ Ἡρόδοτος, καὶ ὁ τοὺς Εἵλωτας
ποιήσας. εἶτά ἐστι τὸ μὲν ἰακὸν λαγός

λαγὸν ταράξας πῖθι τὸν θαλάσσιον.

τὸ δὲ λαγὼς ἀττικόν. λέγουσι δὲ καὶ Ἀττικοὶ λαγός,
ὡς ὁ Σοφοκλῆς

γέρανοι κορῶναι γλαῦκες ἰκτῖνοι λαγοί.

τὸ μέντοι 'ἢ πτῶκα λαγωόν' εἰ μέν ἐστιν ἰωνικόν,
πλεονάζει τὸ ω, εἰ δ' ἀττικόν, τὸ ο. λαγῷα δὲ λέγε- d
ται κρέα.

63. Ἡγήσανδρος δ' ὁ Δελφὸς ἐν ὑπομνήμασι
κατὰ τὴν Ἀντιγόνου τοῦ Γονατᾶ φησὶ βασιλείαν το-
σοῦτον πλῆθος γενέσθαι λαγῶν ἐν Ἀστυπαλαίᾳ, ὡς
τοὺς Ἀστυπαλαιεῖς περὶ αὐτῶν μαντεύσασθαι. καὶ
τὴν Πυθίαν εἰπεῖν κύνας τρέφειν καὶ κυνηγετεῖν·
ἁλῶναί τε ἐν ἐνιαυτῷ πλείους τῶν ἑξακισχιλίων. ἐγέ-
νετο δὲ τὸ πλῆθος τοῦτο Ἀναφαίου τινὸς ἐμβαλόντος
δύο λαγωοὺς εἰς τὴν νῆσον, ὡς καὶ πρότερον Ἀστυ-
παλαιέως τινὸς ἀφέντος δύο πέρδικας εἰς τὴν Ἀνά-
φην τοσοῦτον πλῆθος ἐγένετο περδίκων ἐν τῇ Ἀνάφῃ e
ὡς κινδυνεῦσαι ἀναστάτους γενέσθαι τοὺς κατοι-

*κοῦντας. κατ' ἀρχὰς δὲ ἡ μὲν Ἀστυπάλαια οὐκ εἶχε
λαγὼς ἀλλὰ πέρδικας. πολύγονον δέ ἐστι τὸ ζῷον ὁ
λαγώς, ὡς Ξενοφῶν εἴρηκεν ἐν τῷ Κυνηγετικῷ. καὶ
Ἡρόδοτος δ' οὕτως φησί 'τοῦτο μὲν ὅτι ὁ λαγὼς ὑπὸ
πάντων θηρεύεται, καὶ θηρίου καὶ ὄρνιθος καὶ ἀν-
θρώπου, οὕτω δή τι πολύγονόν ἐστιν, ἐπικυΐσκει τε
μόνον πάντων θηρίων· καὶ τὸ μὲν δασὺ τῶν τέκνων
ἐν τῇ γαστρί, τὸ δὲ ψιλόν, τὸ δὲ ἄρτι ἐν τῇσι μήτρῃσι*
f *πλάσσεται, τὸ δ' ἐπαναιρέεται.' Πολύβιος δ' ἐν τῇ
δωδεκάτῃ τῶν ἱστοριῶν γίγνεσθαί φησι παρόμοιον
τῷ λαγῷ ζῷον τὸν κούνικλον καλούμενον, γράφων
οὕτως 'ὁ δὲ κούνικλος καλούμενος πόρρωθεν μὲν
ὁρώμενος εἶναι δοκεῖ λαγὼς μικρός, ὅταν δ' εἰς τὰς
χεῖρας λάβῃ τις, μεγάλην ἔχει διαφορὰν καὶ κατὰ τὴν
ἐπιφάνειαν καὶ κατὰ τὴν βρῶσιν. γίνεται δὲ τὸ*
401 *πλεῖον κατὰ γῆς.' μνημονεύει δὲ αὐτῶν καὶ Ποσει-
δώνιος ὁ φιλόσοφος ἐν τῇ ἱστορίᾳ. καὶ ἡμεῖς εἴδομεν
πολλοὺς κατὰ τὸν ἀπὸ Δικαιαρχείας πλοῦν ἐπὶ Νέαν
πόλιν. νῆσος γάρ ἐστιν οὐ μακρὰν τῆς γῆς κατὰ τὰ
τελευταῖα μέρη τῆς Δικαιαρχείας, ὑπ' ὀλίγων μὲν
κατοικουμένη, πολλοὺς δὲ ἔχουσα τοὺς κουνίκλους
τούτους. καλοῦνται δέ τινες καὶ χελιδονίαι λαγωοί.
μνημονεύει δὲ αὐτῶν Δίφιλος ἢ Καλλιάδης ἐν
Ἀγνοίᾳ οὕτως*

*τί τοῦτο; ποδαπὸς οὗτος;*
*Β. χελιδόνειος ὁ δασύπους, γλυκεῖα δ' ἡ μίμαρκυς.*

*Θεόπομπος δ' ἐν τῇ εἰκοστῇ τῶν ἱστοριῶν περὶ τὴν*
b *Βισαλτίαν φησὶ λαγωοὺς γίνεσθαι δύο ἥπατα ἔχοντας.*

64. ΣΥΟΣ *δὲ ἀγρίου ἐπεισενεχθέντος, ὃς κατ'
οὐδὲν ἦν ἐλάττων τοῦ καλοῦ γραφομένου καλυδω-
νίου, προβάλλω, τὶς ἔφη, σοὶ ζητεῖν, φροντιστὰ καὶ
λογιστὰ Οὐλπιανέ, τίς ἱστόρηκε τὸν καλυδώνιον σῦν*

θήλειάν τε γεγονέναι καὶ λευκὸν τὴν χρόαν. ὃ δ' οὐ σφόδρα φροντίσας καὶ τὸ προβληθὲν ἀποδιοπομπησάμενος, ἀλλ' ὑμεῖς γε, ἔφη, ἄνδρες γάστρωνες, εἰ μὴ κόρον ἤδη ἔχετε τοσούτων ἐμπλησθέντες, ὑπερβάλλειν μοι δοκεῖτε πάντας τοὺς ἐπὶ πολυφαγίᾳ διαβοήτους γενομένους· καὶ τίνες εἰσὶν οὗτοι ζητεῖτε. προφέρεσθαι δίκαιόν ἐστιν ὑμᾶς σὺν τῷ σ σῦς ἐτυμώτερον· παρὰ τὸ σεύεσθαι γὰρ καὶ ὁρμητικῶς ἔχειν τὸ ζῷον εἴρηται. τέτριπται δὲ καὶ τὸ λέγειν χωρὶς τοῦ κατ' ἀρχὰς σ ὗς. οἳ δὲ σῦν εἰρῆσθαι οἱονεὶ θῦν, τὸν εἰς θυσίαν εὐθετοῦντα. νῦν δέ, εἰ δοκεῖ, ἀποκρίνασθέ μοι, τίς μνημονεύει κατὰ τὸ σύνθετον ὁμοίως ἡμῖν συάγρου ἐπὶ τοῦ συὸς τοῦ ἀγρίου; Σοφοκλῆς μὲν γὰρ ἐν Ἀχιλλέως Ἐρασταῖς ἐπὶ κυνὸς ἔταξε τοὔνομα ἀπὸ τοῦ σῦς ἀγρεύειν λέγων d

σὺ δ' ὦ σύαγρε, πηλιωτικὸν τρέφος.

παρ' Ἡροδότῳ δὲ ὄνομα κύριον Σύαγρος Λάκων γένος, ὁ πρὸς Γέλωνα τὸν Συρακόσιον πρεσβεύσας περὶ τῆς πρὸς τοὺς Μήδους συμμαχίας, ἐν τῇ ἑβδόμῃ. καὶ Αἰτωλῶν δὲ οἶδα στρατηγὸν Σύαγρον, οὗ μνημονεύει Φύλαρχος ἐν τετάρτῃ ἱστοριῶν. καὶ ὁ Δημόκριτος ἔφη, ἀεί ποτε σύ, ὦ Οὐλπιανέ, οὐδενὸς μεταλαμβάνειν εἴωθας τῶν παρασκευαζομένων πρὶν μαθεῖν εἰ ἡ χρῆσις μὴ εἴη τῶν ὀνομάτων παλαιά. κινδυνεύεις e οὖν ποτε διὰ ταύτας τὰς φροντίδας, ὥσπερ ὁ Κῷος Φιλητᾶς ζητῶν τὸν καλούμενον ψευδολόγον τῶν λόγων, ὁμοίως ἐκείνῳ διαλυθῆναι. ἰσχνὸς γὰρ πάνυ τὸ σῶμα διὰ τὰς ζητήσεις γενόμενος ἀπέθανεν, ὡς τὸ πρὸ τοῦ μνημείου αὐτοῦ ἐπίγραμμα δηλοῖ

ξεῖνε, Φιλητᾶς εἰμί. λόγων ὁ ψευδόμενός με
ὤλεσε καὶ νυκτῶν φροντίδες ἑσπέριοι.

65. ἵν' οὖν μὴ καὶ σὺ ζητῶν τὸν σύαγρον ἀφαυ-

ανθῆς, μάθε ὅτι Ἀντιφάνης μὲν ἐν Ἁρπαζομένῃ οὕτως ὠνόμασε

f λαβὼν ἐπανήξω σύαγρον εἰς τὴν οἰκίαν
τῆς νυκτὸς αὐτῆς καὶ λέοντα καὶ λύκον.

Διονύσιος δὲ ὁ τύραννος ἐν τῷ Ἀδώνιδι

νυμφῶν ὑπὸ σπήλυγγα τὴν αὐτόστεγον
σύαγρον ἐκβόλειον εὔθηρον κλύειν,
ᾧ πλεῖστ' ἀπαρχὰς ἀκροθινιάζομαι.

Λυγκεὺς δ' ὁ Σάμιος ἐν τῇ πρὸς Ἀπολλόδωρον ἐπι-
402 στολῇ γράφει οὕτως 'ἵνα τὰ μὲν αἴγεια τοῖς παισί,
τὰ δὲ συάγρεια μετὰ τῶν φίλων αὐτὸς ἔχῃς.' καὶ
Ἱππόλοχος δὲ ὁ Μακεδών, οὗ ἐμνημονεύσαμεν ἐν
τοῖς πρὸ τούτων, ἐν τῇ πρὸς τὸν προειρημένον Λυγ-
κέα ἐπιστολῇ ἐμνήσθη συάγρων πολλῶν. ἐπεὶ δὲ σὺ
καὶ τὸ προβληθέν σοι ἀποπροσπεποίησαι περὶ τῆς
χρόας τοῦ καλυδωνίου συός, εἴ τις αὐτὸν ἱστορεῖ
λευκὸν τὴν χρόαν γεγονότα, ἐροῦμεν ἡμεῖς τὸν εἰ-
πόντα. τὸ δὲ μαρτύριον ἀνίχνευσον σύ. πάλαι γὰρ
τυγχάνω ἀνεγνωκὼς τοὺς Κλεομένους τοῦ Ῥηγίνου
b διθυράμβους, ὧν ἐν τῷ ἐπιγραφομένῳ Μελεάγρῳ
τοῦτο ἱστόρηται. οὐκ ἀγνοῶ δὲ ὅτι οἱ περὶ τὴν Σικε-
λίαν κατοικοῦντες ἀσχέδωρον καλοῦσι τὸν σύαγρον.
Αἰσχύλος γοῦν ἐν Φορκίσι παρεικάζων τὸν Περσέα
τῷ ἀγρίῳ τούτῳ συὶ φησίν

ἔδυ δ' ἐς ἄντρον ἀσχέδωρος ὥς.

καὶ Σκληρίας (εἷς δ' ἐστὶν οὗτος τῆς ἰταλικῆς καλουμένης κωμῳδίας ποιητής, γένος Ταραντῖνος) ἐν Μελεάγρῳ φησίν

ἔνθ' οὔτε ποιμὴν ἀξιοῖ φέρβειν βοτὰ
οὔτ' ἀσχέδωρος νεμόμενος καπρῴζεται.

c ὅτι δὲ Αἰσχύλος διατρίψας ἐν Σικελίᾳ πολλαῖς κέχρη-
ται φωναῖς σικελικαῖς οὐδὲν θαυμαστόν.

66. περιεφέροντο καὶ ἔριφοι πολλάκις ποικίλως ἐσκευασμένοι, ἄλλοι δὲ καὶ πολὺ τοῦ ὀποῦ ἔχοντες, οἵτινες οὐ τὴν τυχοῦσαν ἡδονὴν παρεῖχον ἡμῖν. καὶ γὰρ τὸ τῆς αἰγὸς κρέας τροφιμώτατόν ἐστι. Κλειτόμαχος γοῦν ὁ Καρχηδόνιος, οὐδενὸς δεύτερος τῶν ἀπὸ τῆς νέας ἀκαδημείας κατὰ τὴν θεωρίαν ὤν, Θηβαῖόν τινα ἀθλητὴν ὑπερβαλεῖν ἰσχύϊ φησὶ τοὺς καθ᾽ ἑαυτόν, κρέασιν αἰγείοις χρώμενον. εὔτονοι γὰρ καὶ d γλίσχροι χυμοὶ καὶ πολὺν χρόνον ὑπομένειν ἐν τοῖς ὄγκοις δυνάμενοι. ἐσκώπτετο δ᾽ ὁ ἀθλητὴς διὰ τὴν ἀπὸ τῶν ἱδρώτων δυσωδίαν. τὰ δ᾽ ὕεια καὶ ἄρνεια κρέα ἀδιαπόνητα ταῖς ἕξεσιν ὑπάρχοντα ῥᾷστα φθείρεται διὰ τὴν πιμελήν. τὰ δὲ παρὰ τοῖς κωμῳδιοποιοῖς λεγόμενα δεῖπνα ἡδίστην ἀκοὴν παρέχει τοῖς ὠσὶ μᾶλλον ἢ τῇ φάρυγγι· ὥσπερ τὰ παρ᾽ Ἀντιφάνει μὲν ἐν Ἀκεστρίᾳ

κρέας δὲ τίνος ἥδιστ᾽ ἂν ἐσθίοις; (φησί)
Β. τίνος;
εἰς εὐτέλειαν τῶν προβάτων μὲν οἷς ἔνι
μήτ᾽ ἔρια μήτε τυρός, ἀρνός, φίλτατε. e
τῶν δ᾽ αἰγίων κατὰ ταὔθ᾽ ἃ μὴ τυρὸν ποιεῖ,
ἐρίφου. διὰ τὴν ἐπικαρπίαν γὰρ τῶν ἁδρῶν
ταῦτ᾽ ἐσθίων τὰ φαῦλ᾽ ἀνέχομαι.

ἐν δὲ Κύκλωπί φησι

τῶν χερσαίων δ᾽ ὑμῖν ἥξει
παρ᾽ ἐμοῦ ταυτί·
βοῦς ἀγελαῖος, τράγος ἠλιβάτας,
αἷξ οὐρανία, κριὸς τομίας,
κάπρος ἐκτομίας, ὗς οὐ τομίας,
δέλφαξ, δασύπους, ἔριφοι . .
τυρὸς χλωρός, τυρὸς ξηρός,
τυρὸς κοπτός, τυρὸς ξυστός,

τυρὸς τμητός, τυρὸς πηκτός.

67. Μνησίμαχος δ' ἐν Ἱπποτρόφῳ τοιαῦτα παρασκευάζει

f βαῖν' ἐκ θαλάμων κυπαρισσορόφων,
ἔξω Μάνη· στεῖχ' εἰς ἀγορὰν
πρὸς τοὺς ἑρμᾶς,
οὗ προσφοιτῶσ' οἱ φύλαρχοι,
τούς τε μαθητὰς τοὺς ὡραίους,
οὓς ἀναβαίνειν ἐπὶ τοὺς ἵππους
μελετᾷ Φείδων καὶ καταβαίνειν·
οἶσθ' οὓς φράζω.
τούτοις τοίνυν ἄγγελλ' ὅτιὴ
ψυχρὸν τοὖψον, τὸ ποτὸν θερμόν,
ξηρὸν φύραμ', ἄρτοι ξηροί·
403 σπλάγχν' ὀπτᾶται, χναῦμ' ἥρπασται,
κρέας ἐξ ἅλμης ἐξῄρηται,
τόμος ἀλλᾶντος, τόμος ἠνύστρου,
χορδῆς ἕτερος, φύσκης ἕτερος
διαλαιμοτομεῖθ' ὑπὸ τῶν ἔνδον·
κρατὴρ ἐξερροίβδητ' οἴνου·
πρόποσις χωρεῖ· λέπεται κόρδαξ·
ἀκολασταίνει νοῦς μειρακίων·
πάντως δ' ἔνδον τὰ κάτωθεν ἄνω.
μέμνησ' ἃ λέγω, πρόσεχ' οἷς φράζω.
χάσκεις οὗτος;
βλέψον δευρί, πῶς αὐτὰ φράσεις.
αὐτίκ' ἐρῶ σοι πάλιν ἐξ ἀρχῆς·
ἥκειν ἤδη καὶ μὴ μέλλειν
b τῷ τε μαγείρῳ μὴ λυμαίνεσθ',
ὡς τῶν ὄψων ἑφθῶν ὄντων,
ὀπτῶν ὄντων, ψυχρῶν ὄντων,
καθ' ἕκαστα λέγων. βολβός, ἐλάα,

σκόροδον, καυλός, κολοκύντη, ἔτνος,
θρῖον, φυλλάς, θύννου τεμάχη,
γλάνιδος, γαλεοῦ, ῥίνης, γόγγρου·
ψοξῖνος ὅλος, κορακῖνος ὅλος,
μεμβράς, σκόμβρος,
θυννίς, κωβιός, ἠλακατῆνες,
κυνὸς οὐραῖον τῶν καρχαριῶν,
νάρκη, βάτραχος, πέρκη, σαῦρος,
τριχίας, φυκίς, βρίγκος, τρίγλη,
κόκκυξ, τρυγών, σμύραινα, φάγρος,
μύλλος, λεβίας, σπάρος, αἰολίας, c
θρᾷττα, χελιδών, καρίς, τευθίς,
ψῆττα, δρακαινίς,
πουλυπόδειον, σηπία, ὀρφώς,
κάραβος, ἔσχαρος, ἀφύαι, βελόναι,
κεστρεύς, σκορπίος, ἔγχελυς, ἄρκτοι,
κρέα τ' ἄλλα· τὸ πλῆθος ἀμύθητον·
χηνός, χοίρου, βοός, ἀρνός, οἰός,
κάπρου, αἰγός, ἀλεκτρυόνος, νήττης,
κίττης, πέρδικος, ἀλωπεκίου.
καὶ μετὰ δεῖπνον θαυμαστὸν ὅσ' ἔστ'
ἀγαθῶν πλήθη.
πᾶς δὲ κατ' οἴκους μάττει πέττει,
τίλλει κόπτει, τέμνει δεύει,
χαίρει παίζει, δειπνεῖ πίνει,
πηδᾷ σκιρτᾷ, λορδοῖ κεντεῖ [βινεῖ]. d
σεμναὶ δ' αὐλῶν ἀγαναὶ φωναί,
μολπὰ κλαγγὰ θράττει [νεῖται] πνεῖται.
κούραν κασίας
ἀπὸ γᾶς ἁγίας ἁλίας Συρίας
ὀσμὴ σεμνὴ μυκτῆρα δονεῖ
λιβάνου, μάρου, σμύρνης, καλάμου,

*στύρακος, βάρου,*
*λίνδου, κίνδου, κίσθου, μίνθου.*
*τοιάδε δόμους ὁμίχλη κατέχει*
*πάντων ἀγαθῶν ἀνάμεστος.*

68. *ἐπὶ τούτοις λεγομένοις παρηνέχθη ἡ ῥοδουντία καλουμένη λοπάς· περὶ ἧς ἐξετραγῴδησεν ὁ σο-*
e *φὸς ἐκεῖνος μάγειρος πρὶν καὶ ἐπιδεῖξαι ὅ τι φέροι, διεχλεύασέ τε τοὺς πάνυ μαγείρους λεγομένους, ὧν καὶ μνημονεύων ἔφη, τί τοιοῦτον ἐξεῦρεν ὁ παρὰ Ἀναξίππῳ τῷ κωμικῷ μάγειρος ὃς ἐν τῷ Ἐγκαλυπτομένῳ τοιάδε ὠγκώσατο;*

*Σόφων Ἀκαρνὰν καὶ Ῥόδιος Δαμόξενος*
*ἐγένονθ᾽ ἑαυτῶν συμμαθηταὶ τῆς τέχνης,*
*ἐδίδασκε δ᾽ αὐτοὺς Σικελιώτης Λάβδακος.*
f *οὗτοι τὰ μὲν παλαιὰ καὶ θρυλούμενα*
*ἀρτύματ᾽ ἐξήλειψαν ἐκ τῶν βιβλίων*
*καὶ τὴν θυΐαν ἠφάνισαν ἐκ τοῦ μέσου,*
*οἷον λέγω κύμινον ὄξος σίλφιον*
*τυρὸν κορίαννον, οἷς ὁ Κρόνος ἀρτύμασιν*
*ἐχρᾶτο, πάντ᾽ ἀφεῖλον εἶναί θ᾽ ὑπέλαβον*
404 *τὸν τοῖς τοιούτοις παντοπώλην χρώμενον.*
*αὐτοὶ δ᾽ ἔλαιον καὶ λοπάδα καινήν, πάτερ,*
*πῦρ τ᾽ ὀξὺ καὶ μὴ πολλάκις φυσώμενον*
*ἐποίουν· ἀπὸ τούτου πᾶν τὸ δεῖπνον εὐτρεπές.*
*οὗτοί τε πρῶτοι δάκρυα καὶ πταρμὸν πολὺν*
*ἀπὸ τῆς τραπέζης καὶ σίαλον ἀπήγαγον,*
*τῶν τ᾽ ἐσθιόντων ἀνεκάθηραν τοὺς πόρους.*
*ὁ μὲν οὖν Ῥόδιος πιών τιν᾽ ἅλμην ἀπέθανεν,*
b *παρὰ τὴν φύσιν γὰρ τὸ ποτὸν ἦν, μάλ᾽ εἰκότως.*
*ὁ Σόφων δὲ πᾶσαν τὴν Ἰωνίαν ἔχει,*
*ἐμὸς γενόμενος, ὦ πάτερ, διδάσκαλος.*
*καὐτὸς φιλοσοφῶ καταλιπεῖν συγγράμματα*

σπεύδων ἐμαυτοῦ καινὰ τῆς τέχνης. Β. παπαῖ·
ἐμὲ κατακόψεις, οὐχ ὃ θύειν μέλλομεν.
Α. τὸν ὄρθρον ἐν ταῖς χερσὶν ὄψει βιβλία
ἔχοντα καὶ ζητοῦντα τὰ κατὰ τὴν τέχνην,
οὐδὲν Διοδώρου διαφέροντ' Ἀσπενδίου. c
γεύσω δ' ἐὰν βούλῃ σε τῶν εὑρημένων.
οὐ ταὐτὰ προσάγω πᾶσιν ἀεὶ βρώματα.
τεταγμέν' εὐθύς ἐστί μοι πρὸς τὸν βίον·
ἕτερ' ἐστὶ τοῖς ἐρῶσι καὶ τοῖς φιλοσόφοις
καὶ τοῖς τελώναις. μειράκιον ἐρωμένην
ἔχον πατρῴαν οὐσίαν κατεσθίει·
τούτῳ παρέθηκα σηπίας καὶ τευθίδας
καὶ τῶν πετραίων ἰχθύων τῶν ποικίλων
ἐμβαμματίοις γλαφυροῖσι κεχορηγημένα·
ὁ γὰρ τοιοῦτός ἐστιν οὐ δειπνητικός, d
πρὸς τῷ φιλεῖν δὲ τὴν διάνοιάν ἐστ' ἔχων.
τῷ φιλοσόφῳ παρέθηκα κωλέαν πόδας·
ἀδηφάγον τὸ ζῷον εἰς ὑπερβολὴν
ἐστίν· τελώνῃ γλαῦκον ἔγχελυν σπάρον,
ὅταν ἐγγὺς ᾖ δ' ὁ σταυρός, ἀρτύω φακῆν
καὶ τὸ περίδειπνον τοῦ βίου λαμπρὸν ποιῶ.
τὰ τῶν γερόντων στόματα διαφορὰν ἔχει,
νωθρότερα πολλῷ δ' ἐστὶν ἢ τὰ τῶν νέων·
σίναπυ τούτοις παρατίθημι καὶ ποιῶ e
χυλοὺς ἐχομένους δριμύτητος, τὴν φύσιν
ἵνα διεγείρας πνευματῶ τὸν ἀέρα.
ἰδὼν τὸ πρόσωπον γνώσομ' οὗ ζητεῖ φαγεῖν
ἕκαστος ὑμῶν.

69. καὶ ὁ παρὰ Διονυσίῳ δὲ ἐν Θεσμοφόρῳ μάγειρος, ἄνδρες δαιταλεῖς (οὐ χεῖρον γὰρ καὶ τούτου μνησθῆναι), τί φησι;

σφόδρα μοι κεχάρισαι Σιμία νὴ τοὺς θεούς,

f ταυτὶ προείπας. τὸν μάγειρον εἰδέναι
πολὺ δεῖ γὰρ ἀεὶ πρότερον οἷς μέλλει ποιεῖν
τὸ δεῖπνον ἢ τὸ δεῖπνον ἐγχειρεῖν ποιεῖν.
ἂν μὲν γὰρ ἕν τις τοῦτ᾽ ἐπιβλέψῃ μόνον
τοὖψον ποιῆσαι κατὰ τρόπον πῶς δεῖ, τίνα
τρόπον παραθεῖναι δ᾽ ἢ πότ᾽ ἢ πῶς σκευάσαι
δεῖ, μὴ προΐδηται τοῦτο μηδὲ φροντίσῃ,
οὐκ ἔτι μάγειρος ὀψοποιὸς δ᾽ ἐστί που.
οὐ ταὐτὸ δ᾽ ἐστὶ τοῦτο· πολὺ διήλλαχεν,
405 [πολύ·] στρατηγὸς πᾶς καλεῖθ᾽ ὃς ἂν λάβῃ
δύναμιν, ὁ μέντοι δυνάμενος κἀν πράγμασιν
ἀναστραφῆναι καὶ διαβλέψαι τί που
στρατηγός ἐστιν, ἡγεμὼν δὲ θάτερον.
οὕτως ἐφ᾽ ἡμῶν σκευάσαι μὲν ἢ τεμεῖν
ἡδύσμαθ᾽ ἑψῆσαί τε καὶ φυσᾶν τὸ πῦρ
ὁ τυχὼν δύναιτ᾽ ἄν. ὀψοποιὸς οὖν μόνον
ἐστὶν ὁ τοιοῦτος, ὁ δὲ μάγειρος ἄλλο τι.
συνιδεῖν τόπον, ὥραν, τὸν καλοῦντα, τὸν πάλιν
b δειπνοῦντα, πότε δεῖ καὶ τίν᾽ ἰχθὺν ἀγοράσαι
[οὐ τοῦ τυχόντος]· πάντα μὲν λήψει σχεδὸν
ἀεὶ γάρ, οὐκ ἀεὶ δὲ τὴν τούτων χάριν
ἕξεις ὁμοίαν οὐδ᾽ ἴσην τὴν ἡδονήν.
Ἀρχέστρατος γέγραφέ τι καὶ δοξάζεται
παρά τισιν οὕτως ὡς λέγων τι χρήσιμον,
τὰ πολλὰ δ᾽ ἠγνόηκε κοὐδὲ ἓν λέγει.
c μὴ πάντ᾽ ἄκουε μηδὲ πάντα μάνθανε,
τῶν βιαίων ἔσθ᾽ ἕνεκα τὰ γεγραμμένα.
[κενὰ μᾶλλον ἢ ὅτε ἦν οὐδέπω γεγραμμένα.]
οὐδ᾽ ἔστιν εἰπεῖν περὶ μαγειρικῆς, ἐπεὶ
εἶπ᾽ ἀρτίως . . .
ὅρον γὰρ οὐκ ἔσχηκεν, οὐδ᾽ ὁ κύριος
αὐτὴ δ᾽ ἑαυτῆς ἐστὶ δεσπότης. ἐὰν δ᾽

εὖ μὲν σὺ χρήσῃ τῇ τέχνῃ, τὸν τῆς τέχνης
καιρὸν δ' ἀπολέσῃς, προσαπόλωλεν ἡ τέχνη.
Β. ἄνθρωπε, μέγας εἶ. Α. τουτονὶ δ' ὃν ἀρτίως
ἔφης ἔχοντα πεῖραν ἥκειν πολυτελῶν d
πολλῶν τε δείπνων, ἐπιλαθέσθαι Σιμία
πάντων ποιήσω, θρῖον ἂν δείξω μόνον
παραθῶ τε δεῖπνον ὄζον αὔρας ἀττικῆς,
ἐξ ἀντλίας ἥκοντα καὶ γέμοντ' ἔτι
φορτηγικῶν μοι βρωμάτων ἀγωνίαις,
εἰ μὴ ποιήσω νυστάσαι παροψίδι.

70. πρὸς ταῦτ' Αἰμιλιανὸς ἔφη
βέλτιστε πολλοῖς πολλὰ περὶ μαγειρικῆς
εἰρημέν' ἐστί,

κατὰ τοὺς Ἡγησίππου Ἀδελφούς· σὺ οὖν ἢ δρῶν τι
φαίνου καινὸν παρὰ τοὺς ἔμπροσθεν ἢ μὴ κόπτε με, e
καὶ δεῖξον ὃ φέρεις καὶ λέγε τί ἔστι. καὶ ὅς, κατα-
φρονεῖς ὅτι μάγειρός εἰμι ἴσως· ὅσον δ' ἀπὸ ταύτης τῆς
τέχνης εἴργασμ' ἐγώ, κατὰ τὸν κωμικὸν Δημήτριον,
ὃς ἐν τῷ ἐπιγραφομένῳ Ἀρεοπαγίτῃ ταῦτ' εἴρηκεν

ὅσον ἀπὸ ταύτης τῆς τέχνης εἴργασμ' ἐγὼ
οὐδεὶς ὑποκριτὴς ἔσθ' ὅλως εἰργασμένος.
καπνιζομένη τυραννίς αὕτη 'σθ' ἡ τέχνη.
ἀβυρτακοποιὸς παρὰ Σέλευκον ἐγενόμην· f
παρ' Ἀγαθοκλεῖ δὲ πρῶτος εἰσήνεγκ' ἐγὼ
τῷ Σικελιώτῃ τὴν τυραννικὴν φακῆν.
τὸ μέγιστον οὐκ εἴρηκα· Λαχάρους τινός,
ὅτ' ἦν ὁ λιμός, ἑστιῶντος τοὺς φίλους,
ἀνάληψιν ἐποίησ' εἰσενέγκας κάππαριν.

γυμνὴν ἐποίησεν Ἀθηνᾶν Λαχάρης οὐδὲν ἐνοχλοῦ-
σαν· σὲ δ' ἐνοχλοῦντα νῦν ἐγώ, ὁ Αἰμιλιανὸς ἔφη, 406
εἰ μὴ δείξεις ὅ τι φέρεις. καὶ ὃς μόλις ἔφη, ῥοδωνιὰν
καλῶ μὲν τὴν λοπάδα ταύτην ἐγώ· ἐσκεύασται δ'

οὕτως, ἵνα καὶ ἥδυσμα στεφανωτικὸν μὴ μόνον ἐπὶ
τῆς κεφαλῆς λαβὼν σχῇς, ἀλλὰ καὶ ἔνδον σεαυτοῦ,
καὶ πανδαισίᾳ τὸ σωμάτιον πᾶν ἑστιάσῃς. ῥόδα τὰ
εὐοσμότατα ἐν ἴγδῃ τρίψας ἐπέβαλον ἐγκεφάλους
ὀρνίθων τε καὶ χοίρων ἑφθοὺς σφόδρα ἐξινιασθέν-
τας καὶ τῶν ᾠῶν τὰ χρυσᾶ, μεθ' ἃ ἔλαιον γάρον πέ-
περι οἶνον. καὶ ταῦτα διατρίψας ἐπιμελῶς ἐνέβαλον
b εἰς λοπάδα καινήν, ἁπαλὸν καὶ συνεχὲς διδοὺς τὸ
πῦρ. καὶ ἅμα λέγων ἀναπετάσας τὴν λοπάδα τοσαύ-
την εὐωδίαν παρέσχε τῷ συμποσίῳ, ὡς ἀληθῶς τινα
τῶν παρόντων εἰπεῖν

τοῦ καὶ κινυμένοιο Διὸς ποτὶ χαλκοβατὲς δῶ
ἔμπης ἐς γαῖάν τε καὶ οὐρανὸν ἵκετ' ἀϋτμή.

τοσαύτη διεχύθη ἀπὸ τῶν ῥόδων εὐωδία.

71. μετὰ ταῦτα περιενεχθεισῶν ὀρνίθων τε
ὀπτῶν φακῆς τε καὶ πισῶν αὐταῖς χύτραις, ἔτι δὲ
c τῶν τοιούτων, περὶ ὧν Φανίας ὁ Ἐρέσιος ἐν τοῖς περὶ
φυτῶν τάδε γράφει 'πᾶσα γὰρ χεδροπώδης ἥμερος
φύσις ἐνσπέρματος ἣ μὲν ἑψήσεως ἕνεκα σπείρεται,
οἷον ὁ κύαμος, πισός· ἐτνηρὸν γὰρ ἐκ τούτων ἕψημα
γίνεται· τὰ δὲ πάλιν αὖθις λεκιθώδη, καθάπερ ἄρα-
κος· τὸ δὲ φακῆς, οἷον ἀφάκη, φακός· τὸ δὲ χόρτου
ἕνεκα τῶν τετραπόδων ζῴων, οἷον ὄροβος μὲν ἀρο-
τήρων βοῶν, ἀφάκη δὲ προβάτων.' πισοῦ δὲ τοῦ
ὀσπρίου μνημονεύει καὶ Εὔπολις ἐν Χρυσῷ γένει.
Ἡλιόδωρος δ' ὁ περιηγητὴς ἐν πρώτῳ περὶ ἀκροπό-
λεως 'τῆς τῶν πυρῶν (φησὶν) ἑψήσεως ἐπινοηθείσης
d οἱ μὲν παλαιοὶ πύανον οἱ δὲ νῦν ὀλόπυρον προσαγο-
ρεύουσιν.' τοιούτων ἔτι πολλῶν λεγομένων ὁ Δημό-
κριτος ἔφη, ἀλλὰ κἂν τῆς φακῆς ἐάσατε ἡμᾶς μετα-
λαβεῖν, ἢ αὐτῆς γε τῆς χύτρας, μὴ καὶ λίθοις τις
ὑμῶν βεβλήσεται, κατὰ τὸν Θάσιον Ἡγήμονα. καὶ ὁ

Οὐλπιανὸς ἔφη, τίς δ' αὕτη ἡ λιθίνη βαλλητύς; Ἐλευσῖνι γὰρ τῇ ἐμῇ οἶδά τινα πανήγυριν ἀγομένην καὶ καλουμένην βαλλητύν· περὶ ἧς οὐκ ἄν τι εἴποιμι μὴ παρ' ἑκάστου μισθὸν λαβών. ἀλλ' ἔγωγε, φησὶν ὁ Δημόκριτος, οὐκ ὢν λαβάργυρος ὡρολογητὴς κατὰ e τὸν Τίμωνος Πρόδειπνον, λέξω τὰ περὶ τοῦ Ἡγήμονος.

72. Χαμαιλέων ὁ Ποντικὸς ἐν ἕκτῳ περὶ τῆς ἀρχαίας κωμῳδίας 'Ἡγήμων (φησὶν) ὁ Θάσιος ὁ τὰς παρῳδίας γράψας Φακῆ ἐπεκαλεῖτο, καὶ ἐποίησεν ἔν τινι τῶν παρῳδιῶν

ταῦτά μοι ὁρμαίνοντι παρίστατο Παλλὰς Ἀθήνη
χρυσῆν ῥάβδον ἔχουσα, καὶ ἤλασεν εἶπέ τε μῦθον
'δεινὰ παθοῦσα Φακῆ βδελυρή, χώρει 's τὸν ἀγῶνα.' f
καὶ τότ' ἐγὼ θάρσησα.

εἰσῆλθε δέ ποτε καὶ εἰς τὸ θέατρον διδάσκων κωμῳδίαν λίθων ἔχων πλῆρες τὸ ἱμάτιον, οὓς βάλλων εἰς τὴν ὀρχήστραν διαπορεῖν ἐποίησε τοὺς θεατάς. καὶ ὀλίγον διαλιπὼν εἶπε

λίθοι μὲν οἵδε. βαλλέτω δ' εἴ τις θέλει. 407
φακῆ δὲ κἀν χειμῶνι κἀν θέρει καλόν.

εὐδοκίμει δ' ἀνὴρ μάλιστα ἐν ταῖς παρῳδίαις, καὶ περιβόητος ἦν λέγων τὰ ἔπη πανούργως καὶ ὑποκριτικῶς, καὶ διὰ ταῦτα σφόδρα παρὰ τοῖς Ἀθηναίοις εὐδοκίμει. ἐν δὲ τῇ Γιγαντομαχίᾳ οὕτω σφόδρα τοὺς Ἀθηναίους ἐκήλησεν, ὡς ἐν ἐκείνῃ τῇ ἡμέρᾳ πλεῖστα αὐτοὺς γελάσαι, καίτοι ἀγγελθέντων αὐτοῖς ἐν τῷ θεάτρῳ τῶν γενομένων περὶ Σικελίαν ἀτυχημάτων. οὐδεὶς δ' ἀπέστη, καίτοι σχεδὸν πᾶσι τῶν οἰκείων ἀπολωλότων. ἔκλαιον οὖν ἐγκαλυψάμενοι, οὐκ ἀνέ- b

στησαν δ', ἵνα μὴ γένωνται διαφανεῖς τοῖς ἀπὸ τῶν ἄλλων πόλεων θεωροῦσιν ἀχθόμενοι τῇ συμφορᾷ· διέμειναν δ' ἀκροώμενοι, καίτοι καὶ αὐτοῦ τοῦ Ἡγήμονος, ὡς ἤκουσε, σιωπᾶν διεγνωκότος. καθ' ὃν δὲ χρόνον θαλασσοκρατοῦντες Ἀθηναῖοι ἀνῆγον εἰς ἄστυ τὰς νησιωτικὰς δίκας, γραψάμενός τις καὶ τὸν Ἡγήμονα δίκην ἤγαγεν εἰς τὰς Ἀθήνας. ὃ δὲ παραγενόμενος καὶ συναγαγὼν τοὺς περὶ τὸν Διόνυσον
c τεχνίτας προσῆλθε μετ' αὐτῶν, Ἀλκιβιάδην βοηθεῖν ἀξιῶν. ὃ δὲ θαρρεῖν παρακελευσάμενος εἰπών τε πᾶσιν ἕπεσθαι, ἧκεν εἰς τὸ μητρῷον, ὅπου τῶν δικῶν ἦσαν αἱ γραφαί, καὶ βρέξας τὸν δάκτυλον ἐκ τοῦ στόματος διήλειψε τὴν δίκην τοῦ Ἡγήμονος. ἀγανακτοῦντες δὲ ὅ τε γραμματεὺς καὶ ὁ ἄρχων τὰς ἡσυχίας ἤγαγον δι' Ἀλκιβιάδην, φυγόντος δι' εὐλάβειαν καὶ τοῦ τὴν δίκην γραψαμένου.'

73. αὕτη παρ' ἡμῶν, Οὐλπιανέ, ἡ βαλλητύς. σὺ δ', ὅταν βουληθῇς, ἐρεῖς περὶ τῆς Ἐλευσῖνι. καὶ ὁ
d Οὐλπιανός, ἀλλά με ἀνέμνησας, καλὲ Δημόκριτε, μνησθεὶς χύτρας, ποθοῦντα μαθεῖν πολλάκις τίς ἡ Τηλεμάχου καλουμένη χύτρα καὶ τίς ὁ Τηλέμαχος. καὶ ὁ Δημόκριτος ἔφη, Τιμοκλῆς ὁ τῆς κωμῳδίας ποιητὴς (ἦν δὲ καὶ τραγῳδίας) ἐν μὲν δράματι Λήθη φησί

μετὰ τοῦτον αὐτῷ Τηλέμαχος συνετύγχανεν,
καὶ τοῦτον ἀσπασάμενος ἡδέως πάνυ
ἔπειτα 'χρῆσόν μοι σύ, φησί, τὰς χύτρας,
e ἐν αἷσιν ἕψεις τοὺς κυάμους.' καὶ ταῦτά τε
εἴρητο καὶ παριόντα Φείδιππον πάλιν
τὸν Χαιρεφίλου πόρρωθεν ἀπιδὼν τὸν παχὺν
ἐπόππυσ', εἶτ' ἐκέλευσε πέμπειν σαργάνας.

ὅτι δὲ καὶ τῶν δήμων Ἀχαρνεὺς ὁ Τηλέμαχος ὁ αὐτὸς ποιητής φησιν ἐν Διονύσῳ οὕτως

ὁ δ' Ἀχαρνικὸς Τηλέμαχος ἔτι δημηγορεῖ;
Β. οὐκ ἀλλ' ἔοικε τοῖς νεωνήτοις Σύροις.
Α. πῶς; ἢ τί πράττων; βούλομαι γὰρ εἰδέναι.
Β. θάργηλον ἀγκάλῃ χύτραν φέρει.

ἐν δ' Ἰκαρίοις σατύροις φησίν f

ὥστ' ἔχειν οὐδέν· παρ' ἡμῖν νυκτερεύσας δ' ἀθλίως
πρῶτα μὲν σκληρῶς καθεῦδον, εἶτα Θούδιππος βδέων
παντελῶς ἔπνιξεν ἡμᾶς, εἶθ' ὁ λιμὸς ἥπτετο.
ἐφερόμην δὲ πρὸς Δίωνα τὸν διάπυρον· ἀλλὰ γὰρ
οὐδ' ἐκεῖνος οὐδὲν εἶχε. πρὸς δὲ τὸν χρηστὸν δραμὼν
Τηλέμαχον Ἀχαρνέα σωρόν τε κυάμων καταλαβών,
ἁρπάσας τούτων ἐνέτραγον. ὁ δ' ὄνος ἡμᾶς ὡς ὁρᾷ
. . . ὁ Κηφισόδωρος περὶ τὸ βῆμ' ἐπέρδετο.

ἐκ τούτων δῆλόν ἐστιν ὅτι ὁ Τηλέμαχος κυάμων 408
χύτρας ἀεὶ σιτούμενος ἦγε πυανέψια πορδὴν ἑορτήν.

74. ἔτνους δὲ κυαμίνου μνημονεύει Ἡνίοχος ὁ κωμικὸς ἐν Τροχίλῳ λέγων οὕτως

πρὸς ἐμαυτὸν ἐνθυμούμενος, νὴ τοὺς θεούς,
ὅσῳ διαφέρει σῦκα καρδάμων. σὺ δὲ
Παύσωνι φῂς τὸ δεῖνα προσλελαληκέναι.
Β. καὶ πρᾶγμά γ' ἠρώτα με δυστράπελον πάνυ
ἔχον τε πολλὰς φροντίδων διεξόδους.
Α. λέγ' αὐτό, καὶ γὰρ οὐκ ἀγέλοιόν ἐστ' ἴσως. b
Β. ἔτνος κυάμινον δι' ὅ τι τὴν μὲν γαστέρα

φυσᾷ, τὸ δὲ πῦρ οὔ; Α. χάριεν οἷς γιγνώσκεται
τὸ πρᾶγμα τοῦ Παύσωνος. ὡς δ' ἀεί ποτε
περὶ τοὺς κυάμους ἔσθ' οὗτος ὁ σοφιστής.

75. τέλος τοιούτων (οὖν) πολλάκις λεγομένων ὕδωρ ἐφέρετο κατὰ χειρῶν. καὶ πάλιν ὁ Οὐλπιανὸς ἐζήτει εἰ τὸ χέρνιβον εἴρηται, καθάπερ ἡμεῖς λέγομεν ἐν τῇ συνηθείᾳ. καί τις αὐτῷ ἀπήντησε λέγων τὸ ἐν Ἰλιάδι

c ἦ ῥα, καὶ ἀμφίπολον ταμίην ὤτρυν' ὁ γεραιός,
χερσὶν ὕδωρ ἐπιχεῦσαι ἀκήρατον· ἣ δὲ παρέστη
χέρνιβον ἀμφίπολος πρόχοόν θ' ἅμα χερσὶν ἔχουσα.

Ἀττικοὶ δὲ χερνίβιον λέγουσιν, ὡς Λυσίας ἐν τῷ κατὰ Ἀλκιβιάδου λέγων οὕτως 'τοῖς χρυσοῖς χερνιβίοις καὶ
d θυμιατηρίοις.' χειρόνιπτρον δ' Εὔπολις ἐν Δήμοις

κἄν τις τύχῃ πρῶτος δραμών, εἴληφε χειρόνιπτρον·
ἀνὴρ δ' ὅταν τις ἀγαθὸς ᾖ καὶ χρήσιμος πολίτης,
νικᾷ τε [πάντα] χρηστὸς ὤν, οὐκ ἔστι χειρόνιπτρον.

Ἐπίχαρμος δ' ἐν Θεαροῖς εἴρηκε χειρόνιβα διὰ τούτων

κιθάραι, τρίποδες, ἅρματα, τράπεζαι, χαλκία,
χειρόνιβα, λοιβάσια, λέβητες χάλκεοι.

e ἡ πλείων δὲ χρῆσις κατὰ χειρὸς ὕδωρ εἴωθε λέγειν, ὡς Εὔπολις ἐν Χρυσῷ γένει καὶ Ἀμειψίας Σφενδόνῃ Ἀλκαῖός τε ἐν Ἱερῷ γάμῳ. πλεῖστον δ' ἐστὶ τοῦτο. Φιλύλλιος δὲ ἐν Αὔγῃ κατὰ χειρῶν εἴρηκεν οὕτως

καὶ δὴ δεδειπνήκασιν αἱ γυναῖκες· ἀλλ' ἀφαιρεῖν
ὥρα 'στὶν ἤδη τὰς τραπέζας, εἶτα παρακορῆσαι,
ἔπειτα κατὰ χειρῶν ἑκάστῃ καὶ μύρον τι δοῦναι.

Μένανδρος Ὑδρίᾳ

οἳ δὲ κατὰ χειρῶν λαβόντες περιμένουσι φίλτατοι. f

76. Ἀριστοφάνης δ' ὁ γραμματικὸς ἐν τοῖς πρὸς τοὺς Καλλιμάχου πίνακας χλευάζει τοὺς οὐκ εἰδότας τὴν διαφορὰν τοῦ τε κατὰ χειρὸς καὶ τοῦ ἀπονίψασθαι. παρὰ γὰρ τοῖς παλαιοῖς τὸ μὲν πρὸ ἀρίστου καὶ δείπνου λέγεσθαι κατὰ χειρός, τὸ δὲ μετὰ τοῦτ' ἀπονίψασθαι. ἔοικε δ' ὁ γραμματικὸς τοῦτο πεφυλαχέναι παρὰ τοῖς Ἀττικοῖς. ἐπεί τοι Ὅμηρος πῇ μέν φησι 409

νίψασθαι· παρὰ δὲ ξεστὴν ἐτάνυσσε τράπεζαν,

πῇ δέ

τοῖσι δὲ κήρυκες μὲν ὕδωρ ἐπὶ χεῖρας ἔχευαν,
σῖτον δὲ δμωαὶ παρενήνεον ἐν κανέοισι.

καὶ Σώφρων ἐν γυναικείοις 'τάλαινα Καικόα, κατὰ χειρὸς δοῦσα ἀπόδος πόχ' ἁμῖν τὰν τράπεζαν.' παρὰ μέντοι τοῖς τραγικοῖς καὶ τοῖς κωμικοῖς παροξυτόνως ἀνέγνωσται χερνίβα. παρ' Εὐριπίδῃ ἐν Ἡρακλεῖ

εἰς χερνίβ' ὡς βάψειεν Ἀλκμήνης γόνος. b

ἀλλὰ καὶ παρ' Εὐπόλιδι ἐν Αἰξίν

αὐτοῦ τὴν χερνίβα παύσεις.

ἔστι δὲ ὕδωρ, εἰς ὃ ἀπέβαπτον δαλόν, ἐκ τοῦ βωμοῦ λαμβάνοντες ἐφ' οὗ τὴν θυσίαν ἐπετέλουν· καὶ τούτῳ περιρραίνοντες τοὺς παρόντας ἥγνιζον. χρὴ μέντοι προπαροξυτόνως προφέρεσθαι. τὰ γὰρ τοιάδε ῥηματικὰ σύνθετα εἰς ψ λήγοντα γεγονότα παρὰ τὸν παρακείμενον τὴν παραλήγουσαν τοῦ παρακειμένου φυλάσσουσιν, ἄν τε ἔχῃ τοῦτον διὰ τῶν δύο μ μ λεγόμενον, βαρύνεται, λέλειμμαι αἰγίλιψ, τέτριμμαι c οἰκότριψ, κέκλεμμαι βοόκλεψ παρὰ Σοφοκλεῖ Ἑρμῆς, βέβλεμμαι κατῶβλεψ παρὰ Ἀρχελάῳ τῷ Χερρονησίτῃ ἐν τοῖς Ἰδιοφυέσιν. ἐν δὲ τοῖς πλαγίοις τὰ τοιαῦτα ἐπὶ τῆς αὐτῆς συλλαβῆς φυλάττει τὴν τάσιν. Ἀριστοφάνης δ' ἐν Ἥρωσι χερνίβιον εἴρηκεν.

77. ἐχρῶντο δὲ εἰς τὰς χεῖρας ἀποπλύνοντες αὐτὰς καὶ σμήματι ἀπορρύψεως χάριν, ὡς παρίστησιν Ἀντιφάνης ἐν Κωρύκῳ

d ἐν ὅσῳ δ' ἀκροῶμαί σου κέλευσόν μοί τινα
φέρειν ἀπονίψασθαι. Β. δότω τὶς δεῦρ' ὕδωρ
καὶ σμῆμα.

ἔτι δὲ καὶ εὐώδεσι τὰς χεῖρας κατεχρίοντο τὰς ἀπομαγδαλίας ἀτιμάσαντες, ἃς Λακεδαιμόνιοι ἐκάλουν κυνάδας, ὥς φησι Πολέμων ἐν τῇ περὶ ὀνομάτων ἀδόξων ἐπιστολῇ. περὶ δὲ τοῦ εὐώδεσι χρίεσθαι τὰς χεῖρας Ἐπιγένης ἢ Ἀντιφάνης φησὶν ἐν Ἀργυρίου ἀφανισμῷ οὕτως

καὶ τότε περιπατήσεις, κἀπονίψει κατὰ τρόπον
e τὰς χεῖρας εὐώδη λαβὼν τὴν γῆν.

καὶ Φιλόξενος δ' ἐν τῷ ἐπιγραφομένῳ Δείπνῳ φησίν

ἔπειτα δὲ παῖδες νίπτρ' ἔδοσαν κατὰ χειρῶν
σμήμασιν ἰρινομίκτοις χλιεροθαλπὲς ὕδωρ ἐπεγχέοντες
τόσσον ὅσον [τις] ἔχρῃζ', ἐκτρίμματα τ' . . . λαμπρὰ
σινδονυφῆ, δίδοσαν [δὲ] χρίματά τ' ἀμβροσίοδμα
καὶ στεφάνους ἰοθαλέας.

Δρόμων δ' ἐν Ψαλτρίᾳ

ἐπεὶ δὲ θᾶττον ἦμεν ἠριστηκότες,
ἡ παῖς περιεῖλε τὰς τραπέζας, νίμματα
f ἐπέχει τις, ἀπενιζόμεθα, τοὺς στεφάνους πάλιν
τοὺς ἰρίνους λαβόντες ἐστεφανούμεθα.

78. ἐκάλουν δ' ἀπόνιπτρον τὸ ἀπόνιμμα τῶν χειρῶν καὶ τῶν ποδῶν. Ἀριστοφάνης

ὥσπερ ἀπόνιπτρον ἐκχέοντες ἑσπέρας.

ἴσως δὲ καὶ τὴν λεκάνην οὕτως ἔλεγον, ἐν ᾧ τρόπῳ καὶ χειρόνιπτρον. ἰδίως δὲ καλεῖται παρ' Ἀθηναίοις ἀπόνιμμα ἐπὶ τῶν εἰς τιμὴν τοῖς νεκροῖς γινομένων καὶ ἐπὶ τῶν τοὺς ἐναγεῖς καθαιρόντων, ὡς καὶ Κλείδημος ἐν τῷ ἐπιγραφομένῳ Ἐξηγητικῷ. προθεὶς γὰρ 410 περὶ ἐναγισμῶν γράφει τάδε· 'ὄρυξαι βόθυνον πρὸς ἑσπέραν τοῦ σήματος. ἔπειτα παρὰ τὸν βόθυνον πρὸς ἑσπέραν βλέπε, ὕδωρ κατάχεε, λέγων τάδε 'ὑμῖν ἀπόνιμμα οἷς χρὴ καὶ οἷς θέμις.' ἔπειτα αὖθις μύρον κατάχεε.' παρέθετο ταῦτα καὶ Δωρόθεος, φάσκων καὶ ἐν τοῖς τῶν θυγατριδῶν πατρίοις τάδε γεγράφθαι περὶ τῆς τῶν ἱκετῶν καθάρσεως 'ἔπειτ' ἀπονιψάμενος αὐτὸς καὶ οἱ ἄλλοι οἱ σπλαγχνεύοντες b ὕδωρ λαβὼν κάθαιρε, ἀπόνιζε τὸ αἷμα τοῦ καθαιρομένου, καὶ μετὰ τὸ ἀπόνιμμα ἀνακινήσας εἰς ταυτὸ ἔγχεε.'

79. χειρόμακτρον δὲ καλεῖται ᾧ τὰς χεῖρας ἀπεμάττοντο ὠμολίνῳ, ὅπερ ἐν τοῖς προκειμένοις Φιλόξενος ὁ Κυθήριος ὠνόμασεν ἔκτριμμα. Ἀριστοφάνης Ταγηνισταῖς

φέρε παῖ ταχέως κατὰ χειρὸς ὕδωρ,
παράπεμπε τὸ χειρόμακτρον.

(σημειωτέον δὲ ὅτι καὶ μετὰ τὸ δειπνῆσαι κατὰ χειρὸς ἔλεγον, οὐχ ὡς Ἀριστοφάνης ὁ γραμματικός φησιν, ὅτι πρὶν φαγεῖν οἱ Ἀττικοὶ κατὰ χειρὸς ἔλεγον, c μετὰ δὲ τὸ δειπνῆσαι τὸ νίψασθαι) Σοφοκλῆς Οἰνομάῳ

σκυθιστὶ χειρόμακτρον ἐκκεκαρμένος.

καὶ Ἡρόδοτος ἐν δευτέρᾳ. Ξενοφῶν δ' ἐν πρώτῳ Παιδείας γράφει 'ὅταν δὲ τούτων τινὸς θίγῃς, εὐθὺς ἀποκαθαίρεις τὴν χεῖρα εἰς τὰ χειρόμακτρα, ὡς πάνυ ἀχθόμενος ὅτι κατάπλεά σοι ἀπ' αὐτῶν ἐγένετο.'

Πολέμων δ' ἐν ἕκτῳ τῶν πρὸς Ἀντίγονον καὶ Ἀδαῖον d περὶ τῆς διαφορᾶς λέγει τοῦ κατὰ χειρὸς πρὸς τὸ νίψασθαι. Δημόνικος δ' ἐν τῷ Ἀχελῴῳ τὸ πρὸ τοῦ δείπνου . . . κατὰ χειρός φησι διὰ τούτων

ἐσπουδάκει δ' ἕκαστος, ὡς ἂν ἑστιῶν
ἅμα τ' ὀξύπεινον ἄνδρα καὶ Βοιώτιον.
τὸ γοῦν κατὰ χειρὸς περιέγραψ' εἴπας ὅτι
μετὰ δεῖπνον αὐτῷ τοῦτο γίγνεται λαβεῖν.

ὠμολίνου δὲ μέμνηται Κρατῖνος ἐν Ἀρχιλόχοις 'ὠμολίνοις κόμη βρύουσ' ἀτιμίας πλέῳς.' Σαπφὼ δ' ὅταν λέγῃ ἐν τῷ πέμπτῳ τῶν μελῶν πρὸς τὴν Ἀφροδίτην

e χειρόμακτρα δὲ καγγόνων
πορφυρᾶ . . .
καὶ ταῦτα μὲν ἀτιμάσεις,
ἔπεμψ' ἀπὺ Φωκάας
δῶρα τίμια καγγόνων,

κόσμον λέγει κεφαλῆς τὰ χειρόμακτρα. ὡς καὶ Ἑκαταῖος δηλοῖ ἢ ὁ γεγραφὼς τὰς περιηγήσεις ἐν τῇ Ἀσίᾳ ἐπιγραφομένῃ 'γυναῖκες δ' ἐπὶ τῆς κεφαλῆς ἔχουσι χειρόμακτρα.' Ἡρόδοτος δ' ἐν τῇ δευτέρᾳ φησί 'μετὰ δὲ ταῦτα ἔλεγον τοῦτον τὸν βασιλέα ζωὸν καταβῆναι κάτω εἰς ὃν οἱ Ἕλληνες Ἅιδην νομίζουσι, κἀκεῖθι συγκυβεύειν τῇ Δήμητρι, καὶ τὰ μὲν νικᾶν αὐτὴν f τὰ δὲ ἑσσοῦσθαι ὑπ' αὐτῆς· καί μιν πάλιν ἀναφικέσθαι δῶρον ἔχοντα παρ' αὐτῆς χειρόμακτρον χρύσεον.'

80. τὸν δὲ τῷ χερνίβῳ ῥάναντα παῖδα διδόντα κατὰ χειρὸς Ἡρακλεῖ ὕδωρ, ὃν ἀπέκτεινεν ὁ Ἡρακλῆς κονδύλῳ, Ἑλλάνικος μὲν ἐν ταῖς ἱστορίαις Ἀρχίαν φησὶ καλεῖσθαι, δι' ὃν καὶ ἐξεχώρησε Καλυδῶνος· ἐν δὲ τῷ δευτέρῳ τῆς Φορωνίδος Χερίαν αὐτὸν ὀνομάζει, Ἡρόδωρος δ' ἐν ἑπτακαιδεκάτῃ τοῦ καθ' 411 Ἡρακλέα λόγου Εὔνομον. καὶ Κύαθον δὲ τὸν Πύ-

λητος μὲν υἱὸν ἀδελφὸν δὲ Ἀντιμάχου ἀπέκτεινεν ἄκων Ἡρακλῆς οἰνοχοοῦντα αὐτῷ, ὡς Νίκανδρος ἱστορεῖ ἐν δευτέρῳ Οἰταϊκῶν· ᾧ καὶ ἀνεῖσθαί φησι τέμενος ὑπὸ τοῦ Ἡρακλέους ἐν Προσχίῳ, ὃ μέχρι νῦν προσαγορεύεσθαι Οἰνοχόου.

ἡμεῖς δ᾽ ἐνταῦθα καταπαύσαντες τὸν λόγον ἀρχὴν ποιησόμεθα τῶν ἑξῆς ἀπὸ τῆς τοῦ Ἡρακλέους ἀδηφαγίας.

---

# I

Ἀλλ᾽ ὥσπερ δείπνου γλαφυροῦ ποικίλην εὐωχίαν 411<br>
τὸν ποιητὴν δεῖ παρέχειν τοῖς θεαταῖς τὸν σοφόν,<br>
ἵν᾽ ἀπίῃ τις τοῦτο φαγὼν καὶ πιὼν ὧπερ λαβὼν<br>
χαίρει τις, καὶ σκευασία μὴ μί᾽ ᾖ τῆς μουσικῆς,

Ἀστυδάμας ὁ τραγικὸς ἐν Ἡρακλεῖ σατυρικῷ, ἑταῖρε, φησί, Τιμόκρατες. φέρε εἴπωμεν ἐνταῦθα τοῖς προειρημένοις τἀκόλουθα, ὅτι ἦν καὶ ὁ Ἡρακλῆς ἀδηφάγος. ἀποφαίνονται δὲ τοῦτο σχεδὸν πάντες ποιηταὶ καὶ συγγραφεῖς. Ἐπίχαρμος μὲν ἐν Βουσίριδι λέγων

πρᾶτον μὲν αἴ κ᾽ ἔσθοντ᾽ ἴδοις νιν, ἀποθάνοις. b<br>
βρέμει μὲν ὁ φάρυγξ ἔνδοθ᾽, ἀραβεῖ δ᾽ ἁ γνάθος,<br>
ψοφεῖ δ᾽ ὁ γόμφιος, τέτριγε δ᾽ ὁ κυνόδων,<br>
σίζει δὲ ταῖς ῥίνεσσι, κινεῖ δ᾽ οὔατα.

Ἴων δ᾽ ἐν Ὀμφάλῃ ἐμφανίσας αὐτοῦ τὴν ἀδηφαγίαν ἐπιφέρει

ὑπὸ δὲ τῆς βουλιμίας
κατέπινε καὶ τὰ κᾶλα καὶ τοὺς ἄνθρακας.

c παρὰ Πινδάρου δὲ τοῦτ᾽ εἴληφεν εἰπόντος

δοιὰ βοῶν
θερμὰν ἐς ἀνθρακιὰν τρέψας πυρπολέων τε
σώματα. καὶ τότ᾽ ἐγὼ σαρκῶν τ᾽ ἐνοπάν
[ἄιον] ἠδ᾽ ὀστέων στεναγμὸν βαρύν.
ἦν ἰδόντα διακρῖναι πολλὸς ἐν καιρῷ χρόνος.

τοιοῦτον οὖν αὐτὸν ὑποστησάμενοι ταῖς ἀδηφαγίαις καὶ τῶν ὀρνέων ἀποδεδώκασιν αὐτῷ τὸν λάρον τὸν προσαγορευόμενον βουφάγον.

2. εἰσάγεται δὲ ὁ Ἡρακλῆς καὶ Λεπρεῖ περὶ πο-
412 λυφαγίας ἐρίζων ἐκείνου προκαλεσαμένου, καὶ νενίκηκε. Ζηνόδοτος δ᾽ ἐν δευτέρῳ Ἐπιτομῶν Καύκωνός φησι τοῦ Ποσειδῶνος καὶ Ἀστυδαμείας τῆς Φόρβαντος γενέσθαι τὸν Λεπρέα, ὃν τὸν Ἡρακλέα κελεῦσαι δεθῆναι, ὅτε Αὐγέαν τὸν μισθὸν ἀπῄτει. Ἡρακλῆς δὲ ἐκτελέσας τοὺς ἄθλους ἔρχεται ἐπὶ Καύκωνος καὶ δεηθείσης Ἀστυδαμείας διαλύεται πρὸς τὸν Λεπρέα. καὶ μετὰ ταῦτα ὁ Λεπρεὺς Ἡρακλεῖ ἐρίζει δίσκῳ καὶ ὕδατος ἀντλήσει καὶ ὅστις ἀναλώσει θᾶττον ταῦρον, καὶ λείπεται πάντα. εἶτα θωρηχθεὶς
b προκαλεῖται Ἡρακλέα καὶ θνήσκει ἐν τῇ μάχῃ. Μᾶτρις δ᾽ ἐν τῷ τοῦ Ἡρακλέους ἐγκωμίῳ καὶ εἰς πολυποσίαν φησὶ τὸν Ἡρακλέα προκληθῆναι ὑπὸ τοῦ Λεπρέως, ὃν καὶ πάλιν νικηθῆναι. τὰ αὐτὰ ἱστορεῖ καὶ ὁ Χῖος ῥήτωρ Καύκαλος ὁ Θεοπόμπου τοῦ ἱστοριογράφου ἀδελφός, ἐν τῷ τοῦ Ἡρακλέους ἐγκωμίῳ.

3. καὶ τὸν Ὀδυσσέα δὲ Ὅμηρος πολυφάγον καὶ λαίμαργον παραδίδωσιν, ὅταν λέγῃ

c ἀλλ᾽ ἐμὲ μὲν δορπῆσαι ἐάσατε κηδόμενόν περ.
οὐ γάρ τι στυγερῇ ἐπὶ γαστέρι κύντερον ἄλλο

ἔπλετο, ἥ τ' ἐκέλευσεν ἕο μνήσασθαι ἀνάγκῃ
καὶ μάλα τειρόμενον καὶ ἐνιπλησθῆναι ἀνώγει.

ὑπερβάλλουσα γὰρ ἐν τούτοις φαίνεται αὐτοῦ λαιμαργία μετὰ τοῦ μηδὲ ἐν δέοντι τὰ περὶ τῆς γαστρὸς γνωμολογεῖν. ἐχρῆν γάρ, εἰ καὶ ἐλίμωττε, διακαρτερεῖν ἢ μετριάζειν τὰ περὶ τὴν τροφήν. τὸ δὲ τελευταῖον καὶ τὴν τελειοτάτην αὐτοῦ παρίστησι λαιμαργίαν καὶ γαστριμαργίαν d

ὡς καὶ ἐγὼ πένθος μὲν ἔχω φρεσίν· ἣ δὲ μάλ' αἰεὶ
ἐσθέμεναι κέλεται καὶ πινέμεν, ἐκ δέ με πάντων
ληθάνει ὅσσ' ἔπαθον καὶ ἐνιπλησθῆναι ἀνώγει.

ταῦτα γὰρ οὐδὲ ἐκεῖνος ὁ Σαρδανάπαλλος εἰπεῖν ποτ' ἂν ἐτόλμησε. γέρων τε ὢν ἤσθιεν ἁρπαλέως κρέα τ' ἄσπετα καὶ μέθυ ἡδύ.

4. Θεαγένης δ' ὁ Θάσιος ἀθλητὴς ταῦρον μόνος κατέφαγεν, ὡς Ποσείδιππός φησιν ἐν ἐπιγράμμασιν

καὶ περὶ συνθεσίης ἔφαγόν ποτε μηόνιον βοῦν· e
πάτρῃ γὰρ βρώμην οὐκ ἂν ἐπέσχε Θάσος
Θευγένει, ἅσσα φαγὼν ἔτ' ἐπῄτεον· οὕνεκεν οὕτω
χάλκεος ἑστήκω χεῖρα προϊσχόμενος.

Μίλων δ' ὁ Κροτωνιάτης, ὥς φησιν ὁ Ἱεραπολίτης Θεόδωρος ἐν τοῖς περὶ ἀγώνων, ἤσθιε μνᾶς κρεῶν εἴκοσι καὶ τοσαύτας ἄρτων οἴνου τε τρεῖς χόας ἔπινεν. ἐν δὲ Ὀλυμπίᾳ ταῦρον ἀναθέμενος τοῖς ὤμοις τετραετῆ καὶ τοῦτον περιενέγκας τὸ στάδιον μετὰ f ταῦτα δαιτρεύσας μόνος αὐτὸν κατέφαγεν ἐν μιᾷ ἡμέρᾳ. Τίτορμός τε ὁ Αἰτωλὸς διηριστήσατο αὐτῷ βοῦν, ὡς ἱστορεῖ ὁ Αἰτωλὸς Ἀλέξανδρος. Φύλαρχος δέ φησιν ἐν τῇ τρίτῃ τῶν ἱστοριῶν τὸν Μίλωνα ταῦρον καταφαγεῖν κατακλιθέντα πρὸ τοῦ βωμοῦ τοῦ Διός· διὸ καὶ ποιῆσαι εἰς αὐτὸν Δωριέα τὸν ποιητὴν τάδε

τοῖος ἔην Μίλων, ὅτ' ἀπὸ χθονὸς ἤρατο βρῖθος,
τετραετῆ δαμάλην, ἐν Διὸς εἰλαπίναις,
413 ὤμοις δὲ κτῆνος τὸ πελώριον ὡς νέον ἄρνα
ἤνεγκεν δι' ὅλης κοῦφα πανηγύρεως.
καὶ θάμβος μέν, ἀτὰρ τοῦδε πλέον ἤνυσε θαῦμα
πρόσθεν Πισαίου, ξεῖνε, θυηπολίου.
ὃν γὰρ ἐπόμπευσεν βοῦν ἄζυγον, εἰς κρέα τόνδε
κόψας, πάντα κατ' οὖν μοῦνος ἐδαίσατό νιν.

Ἀστυάναξ δ' ὁ Μιλήσιος, τρὶς ὀλύμπια νικήσας κατὰ
b τὸ ἑξῆς παγκράτιον, κληθείς ποτε ἐπὶ δεῖπνον ὑπὸ Ἀριοβαρζάνου τοῦ Πέρσου καὶ ἀφικόμενος ὑπέσχετο φαγεῖν πάντα τὰ πᾶσι παρασκευασθέντα, καὶ κατέφαγε. τοῦ Πέρσου δ' αὐτὸν ἀξιώσαντος, ὡς ὁ Θεόδωρος ἱστορεῖ, ἄξιόν τι ποιῆσαι τῶν κατὰ τὴν ἰσχύν, φακὸν τῆς κλίνης περίχαλκον ὄντα κλάσας ἐξέτεινε μαλάξας. τελευτήσαντος δ' αὐτοῦ καὶ κατακαυθέντος οὐκ ἐχώρησε μία ὑδρία τὰ ὀστέα, μόλις δὲ δύο. καὶ τὰ τοῖς ἐννέα ἀνδράσι παρεσκευασμένα παρὰ τῷ
c Ἀριοβαρζάνῃ εἰς τὸ δεῖπνον μόνον καταφαγεῖν.

5. καὶ οὐδὲν παράδοξον τούτους τοὺς ἄνδρας ἀδηφάγους γενέσθαι· πάντες γὰρ οἱ ἀθλοῦντες μετὰ τῶν γυμνασμάτων καὶ ἐσθίειν πολλὰ διδάσκονται. διὸ καὶ Εὐριπίδης ἐν τῷ πρώτῳ Αὐτολύκῳ λέγει:

κακῶν γὰρ ὄντων μυρίων καθ' Ἑλλάδα
οὐδὲν κάκιόν ἐστιν ἀθλητῶν γένους.
οἳ πρῶτα μὲν ζῆν οὔτε μανθάνουσιν εὖ
οὔτ' ἂν δύναιντο. πῶς γάρ, ὅστις ἔστ' ἀνὴρ
γνάθου τε δοῦλος νηδύος θ' ἡσσημένος,
d κτήσαιτ' ἂν ὄλβον εἰς ὑπερβολὴν πατρός;
οὐδ' αὖ πένεσθαι καὶ ξυνηρετμεῖν τύχαις
οἷοί τ'. ἔθη γὰρ οὐκ ἐθισθέντες καλὰ
σκληρῶς διαλλάσσουσιν εἰς τἀμήχανον.

λαμπροὶ δ' ἐν ἥβῃ καὶ πόλεως ἀγάλματα
φοιτῶσ'· ὅταν δὲ προσπέσῃ γῆρας πικρόν,
τρίβωνες ἐκβαλόντες οἴχονται κρόκας.
ἐμεμψάμην δὲ καὶ τὸν Ἑλλήνων νόμον,
οἳ τῶνδ' ἕκατι σύλλογον ποιούμενοι
τιμῶσ' ἀχρείους ἡδονὰς δαιτὸς χάριν.
τί γὰρ παλαίσας εὖ, τί δ' ὠκύπους ἀνὴρ, e
ἢ δίσκον ἄρας, ἢ γνάθον παίσας καλῶς,
πόλει πατρῴᾳ στέφανον ἤρκεσεν λαβών;
πότερα μαχοῦνται πολεμίοισιν ἐν χεροῖν
δίσκους ἔχοντες, ἢ δίχ' ἀσπίδων χερὶ
θείνοντες ἐκβαλοῦσι πολεμίους πάτρας;
οὐδεὶς σιδήρου ταῦτα μωραίνει πέλας
στάς. ἄνδρας οὖν ἐχρῆν σοφούς τε κἀγαθοὺς
φύλλοις στέφεσθαι, χὤστις ἡγεῖται πόλει
κάλλιστα σώφρων καὶ δίκαιος ὢν ἀνὴρ, f
ὅστις τε μύθοις ἔργ' ἀπαλλάσσει κακά,
μάχας τ' ἀφαιρῶν καὶ στάσεις. τοιαῦτα γὰρ
πόλει τε πάσῃ πᾶσί θ' Ἕλλησιν καλά.

6. ταῦτ' εἴληφεν ὁ Εὐριπίδης ἐκ τῶν τοῦ Κολοφωνίου ἐλεγείων Ξενοφάνους οὕτως εἰρηκότος

ἀλλ' εἰ μὲν ταχυτῆτι ποδῶν νίκην τις ἄροιτο,
ἢ πενταθλεύων, ἔνθα Διὸς τέμενος
πὰρ Πίσαο ῥοῇς ἐν Ὀλυμπίῃ, εἴτε παλαίων, 414
ἢ καὶ πυκτοσύνην ἀλγινόεσσαν ἔχων,
εἴτε τὸ δεινὸν ἄεθλον ὃ παγκράτιον καλέουσιν,
ἀστοῖσίν κ' εἴη κυδρότερος προσορᾶν,
καί κε προεδρίην φανερὴν ἐν ἀγῶσιν ἄροιτο,
καί κεν σῖτ' εἴη δημοσίων κτεάνων
ἐκ πόλεως καὶ δῶρον ὅ οἱ κειμήλιον εἴη·
εἴτε καὶ ἵπποισιν ταῦτά χ' ἅπαντα λάχοι,
οὐκ ἐὼν ἄξιος ὥσπερ ἐγώ. ῥώμης γὰρ ἀμείνων

b ἀνδρῶν ἠδ' ἵππων ἡμετέρη σοφίη.
ἀλλ' εἰκῇ μάλα τοῦτο νομίζεται, οὐδὲ δίκαιον
προκρίνειν ῥώμην τῆς ἀγαθῆς σοφίης.
οὔτε γὰρ εἰ πύκτης ἀγαθὸς λαοῖσι μετείη,
οὔτ' εἰ πενταθλεῖν, οὔτε παλαισμοσύνην,
οὐδὲ μὲν εἰ ταχυτῆτι ποδῶν, τό περ ἔστι πρότιμον
ῥώμης ὅσσ' ἀνδρῶν ἔργ' ἐν ἀγῶνι πέλει,
τούνεκεν ἂν δὴ μᾶλλον ἐν εὐνομίῃ πόλις εἴη.
c σμικρὸν δ' ἄν τι πόλει χάρμα γένοιτ' ἐπὶ τῷ
εἴ τις ἀεθλεύων νικῷ Πίσαο παρ' ὄχθας.
οὐ γὰρ πιαίνει ταῦτα μυχοὺς πόλεως.

πολλὰ δὲ καὶ ἄλλα ὁ Ξενοφάνης κατὰ τὴν ἑαυτοῦ σοφίαν ἐπαγωνίζεται, διαβάλλων ὡς ἄχρηστον καὶ ἀλυσιτελὲς τὸ τῆς ἀθλήσεως εἶδος. καὶ ὁ Ἀχαιὸς δὲ ὁ Ἐρετριεὺς περὶ τῆς εὐεξίας τῶν ἀθλητῶν διηγούμενός φησι

d γυμνοὶ γὰρ ὤθουν φαιδίμους βραχίονας
ἥβῃ σφριγῶντες ἐμπορεύονται, νέῳ
στίλβοντες ἄνθει καρτερὰς ἐπωμίδας·
ἄδην δ' ἐλαίου στέρνα καὶ ποδῶν κύτος
χρίουσιν, ὡς ἔχοντες οἴκοθεν τρυφήν.

7. Ἡρακλείδης δ' ἐν τῷ Ξενίζοντι Ἑλένην φησί τινα γυναῖκα πλεῖστα βεβρωκέναι. Ποσείδιππος δὲ ἐν ἐπιγράμμασι Φυρόμαχον, εἰς ὃν καὶ τόδ' ἐπέγραψε

Φυρόμαχον τὸν πάντα φαγεῖν βορόν, οἷα κορώνην
e παννυχικήν, αὕτη ῥωγὰς ἔχει κάπετος,
χλαίνης ἐν τρύχει πελληνίδος. ἀλλὰ σὺ τούτου
καὶ χρῖε στήλην, Ἀττικέ, καὶ στεφάνου,
εἴ ποτέ σοι προκύων συνεκώμασεν. ἦλθε δ' ἀμαυρὰ
βλέψας ἐκ πελίων νωδὸς ἐπισκυνίων,
ὁ τριχιδιφθερίας μονολήκυθος. ἐκ γὰρ ἀγώνων
τῶν τότε ληναϊκῶν ἦλθ' ὑπὸ καλλιόπην.

Ἀμάραντος δὲ ὁ Ἀλεξανδρεὺς ἐν τοῖς περὶ σκηνῆς f Ἡρόδωρόν φησι τὸν Μεγαρέα σαλπιγκτὴν γενέσθαι τὸ μὲν μέγεθος πηχῶν τριῶν καὶ ἡμίσους, εἶναι δὲ καὶ τὰς πλευρὰς ἰσχυρόν· ἐσθίειν δὲ ἄρτων μὲν χοίνικας ἕξ, κρεῶν δὲ λίτρας εἴκοσιν οἵων ἂν εὑρήκῃ, πίνειν δὲ χόας δύο, καὶ σαλπίζειν ἅμα σάλπιγξι δυσί. κοιμᾶσθαι δὲ ἔθος εἶχεν ἐπὶ λεοντῆς μόνης. ἐσήμαινε δὲ σαλπίζων μέγιστον. Ἄργος γοῦν πολιορκοῦντος Δημητρίου τοῦ Ἀντιγόνου, οὐ δυναμένων τῶν 415 στρατιωτῶν τὴν ἑλέπολιν προσαγαγεῖν τοῖς τείχεσι διὰ τὸ βάρος, ταῖς δύο σάλπιγξι σημαίνων, ὑπὸ τῆς ἁδρότητος τοῦ ἤχου τοὺς στρατιώτας ἠνάγκασε προθυμηθέντας προσαγαγεῖν τὴν μηχανήν. ἐνίκησε δὲ τὴν περίοδον δεκάκις καὶ ἐδείπνει καθήμενος, ὡς ἱστορεῖ Νέστωρ ἐν τοῖς θεατρικοῖς ὑπομνήμασι. καὶ γυνὴ δὲ ἐσάλπισεν Ἀγλαῒς ἡ Μεγακλέους ἐν τῇ πρώτῃ ἀχθείσῃ μεγάλῃ πομπῇ ἐν Ἀλεξανδρείᾳ τὸ πομπικόν, περιθέτην ἔχουσα καὶ λόφον ἐπὶ τῆς κεφαλῆς, ὡς δηλοῖ Ποσείδιππος ἐν ἐπιγράμμασιν. b ἤσθιε δὲ καὶ αὐτὴ λίτρας μὲν κρεῶν δώδεκα, ἄρτων δὲ χοίνικας τέσσαρας, καὶ ἔπινεν οἴνου χόα.

8. Λιτυέρσας δὲ ἦν μὲν υἱὸς Μίδου νόθος, Κελαινῶν δὲ τῶν ἐν Φρυγίᾳ βασιλεύς, ἄγριος ἰδέσθαι καὶ ἀνήμερος ἄνθρωπος, ἀδηφάγος δ' ἰσχυρῶς. λέγει δὲ περὶ αὐτοῦ Σωσίθεος ὁ τραγῳδιοποιὸς ἐν δράματι Δάφνιδι ἢ Λιτυέρσᾳ οὕτως

ἔσθει μὲν ἄρτους τρεῖς ὅλους κανθηλίους
τρὶς τῆς βραχείας ἡμέρας, πίνει δ' ἕνα
καλῶν μετρητὴν τὸν δεκάμφορον πίθον. c

τοιοῦτός ἐστι καὶ ὁ παρὰ Φερεκράτει ἢ Στράττιδι ἐν Ἀγαθοῖς, περὶ οὗ φησίν

ἐγὼ κατεσθίω μόλις τῆς ἡμέρας

πένθ' ἡμιμέδιμν', ἐὰν βιάζωμαι. Β. μόλις;
ὡς ὀλιγόσιτος ἦσθ' ἄρ', ὃς κατεσθίεις
τῆς ἡμέρας μακρᾶς τριήρους σιτία.

Ξάνθος δὲ ἐν τοῖς Λυδιακοῖς Κάμβλητά φησι τὸν βασιλεύσαντα Λυδῶν πολυφάγον γενέσθαι καὶ πολυπότην, ἔτι δὲ γαστρίμαργον. τοῦτον οὖν ποτὲ νυκτὸς τὴν ἑαυτοῦ γυναῖκα κατακρεουργήσαντα κα-
d ταφαγεῖν, ἔπειτα πρωῒ εὑρόντα τὴν χεῖρα τῆς γυναικὸς ἐνοῦσαν ἐν τῷ στόματι ἑαυτὸν ἀποσφάξαι περιβοήτου τῆς πράξεως γενομένης. περὶ δὲ Θυὸς τοῦ Παφλαγόνων βασιλέως ὅτι καὶ αὐτὸς ἦν πολυφάγος προειρήκαμεν, παραθέμενοι Θεόπομπον ἱστοροῦντα ἐν τῇ πέμπτῃ καὶ τριακοστῇ. Ἀρχίλοχος δ' ἐν τετραμέτροις Χαρίλαν εἰς τὰ ὅμοια διαβέβληκεν, ὡς οἱ
e κωμῳδιοποιοὶ Κλεώνυμον καὶ Πείσανδρον. περὶ δὲ Χαιρίππου φησὶ Φοινικίδης ἐν Φυλάρχῳ οὕτως

τρίτον δὲ πρὸς τούτοισι τὸν σοφώτατον
Χαίριππον. οὗτος, ὥσπερ οἶδας, ἐσθίει
μέχρι ἂν διδῷ τις ἢ λάθῃ διαρραγείς.
τοιοῦτ' ἔχει ταμιεῖον ὥσπερ οἰκίας·

9. Νικόλαος δ' ὁ περιπατητικὸς ἐν τῇ τρίτῃ πρὸς ταῖς ἑκατὸν τῶν ἱστοριῶν Μιθριδάτην φησὶ τὸν Ποντικὸν βασιλέα προθέντ' ἀγῶνα πολυφαγίας καὶ πολυποσίας, ἦν δὲ τὸ ἆθλον τάλαντον ἀργυρίου, ἀμφότερα νικῆσαι. τοῦ μέντοι ἄθλου ἐκστῆναι τῷ μετ'
f αὐτὸν κριθέντι Καλαμόδρυϊ τῷ Κυζικηνῷ ἀθλητῇ. καὶ Τιμοκρέων δ' ὁ Ῥόδιος ποιητὴς καὶ ἀθλητὴς πένταθλος ἄδην ἔφαγε καὶ ἔπιεν, ὡς τὸ ἐπὶ τοῦ τάφου αὐτοῦ ἐπίγραμμα δηλοῖ

πολλὰ πιὼν καὶ πολλὰ φαγὼν καὶ πολλὰ κάκ' εἰπὼν
ἀνθρώπους κεῖμαι Τιμοκρέων Ῥόδιος.

Θρασύμαχος δ' ὁ Καλχηδόνιος ἔν τινι τῶν προοι- 416 μίων τὸν Τιμοκρέοντά φησιν ὡς μέγαν βασιλέα ἀφικόμενον καὶ ξενιζόμενον παρ' αὐτῷ πολλὰ ἐμφορεῖσθαι. πυθομένου δὲ τοῦ βασιλέως ὅ τι ἀπὸ τούτων ἐργάζοιτο, εἶπε Περσῶν ἀναριθμήτους συγκόψειν. καὶ τῇ ὑστεραίᾳ πολλοὺς καθ' ἕνα νικήσας μετὰ τοῦτο ἐχειρονόμησε. πυνθανομένου δὲ τὴν πρόφασιν ἀπολείπεσθαι ἔφη τοσαύτας, εἰ προσίοι τις, πληγάς. Κλέαρχος δ' ἐν πέμπτῳ βίων Καντιβάρι φησὶ τῷ b Πέρσῃ, ὁπότε κοπιάσειε τὰς σιαγόνας ἐσθίων, κεχηνότι καθάπερ εἰς ἄψυχον ἀγγεῖον εἰσαντλεῖν τὴν τροφὴν τοὺς οἰκείους. Ἑλλάνικος δὲ ἐν πρώτῳ Δευκαλιωνείας Ἐρυσίχθονά φησι τὸν Μυρμιδόνος, ὅτι ἦν ἄπληστος βορᾶς, Αἴθωνα κληθῆναι. Πολέμων δ' ἐν πρώτῳ τῶν πρὸς Τίμαιον παρὰ Σικελιώταις φησὶν ἀδηφαγίας ἱερὸν εἶναι καὶ σιτοῦς Δήμητρος ἄγαλμα, οὗ πλησίον ἱδρῦσθαι καὶ ἱμαλίδος, καθάπερ ἐν Δελφοῖς ἑρμούχου, ἐν δὲ Σκώλῳ τῷ βοιωτιακῷ μεγαλάρ- c του καὶ μεγαλομάζου.

10. καὶ Ἀλκμὰν δὲ ὁ ποιητὴς ἑαυτὸν ἀδηφάγον εἶναι παραδίδωσιν ἐν τῷ τρίτῳ διὰ τούτων

καί ποκά τοι δώσω τρίποδος κύτος,
ᾧ κ' ενιλεα ϝείρης.
ἀλλ' ἔτι νῦν γ' ἄπυρος, τάχα δὲ πλέος
ἔτνεος, οἷον ὁ παμφάγος Ἀλκμὰν
ἠράσθη χλιερὸν πέδα τὰς τροπὰς
ἔσθειν· οὔ τι γὰρ ἠὺ τετυγμένον,
ἀλλὰ τὰ κοινὰ γὰρ ὥσπερ ὁ δᾶμος d
ζατεύει.

κἀν τῷ πέμπτῳ δὲ ἐμφανίζει αὐτοῦ τὸ ἀδηφάγον λέγων οὕτως

ὥρας δ' ἔσηκε τρεῖς, θέρος

*καὶ χεῖμα κὠπώραν τρίταν*
*καὶ τέτρατον τὸ ἦρ, ὅκα*
*σάλλει μέν, ἐσθίεν δ' ἅδαν*
*οὐκ ἔστιν.*

*Ἀναξίλας δὲ ὁ κωμικὸς περὶ Κτησίου τινὸς διαλεγόμενος ἐν Χρυσοχόῳ δράματί φησιν*

*ἤδη σχεδόν τι πάντα σοι πλὴν Κτησίου.*
e *δεῖπνου γὰρ οὗτος, ὡς λέγουσιν οἱ σοφοί,*
*ἀρχήν, τελευτὴν δ' οὐκ ἐπίσταται μόνος.*

*κἀν Πλουσίοις*

*διαρραγήτω χἄτερος δειπνῶν τις εὖ,*
*μὴ Κτησίας μόνος. Β. τί γάρ σε κωλύει;*
*Α. δείπνου γὰρ οὗτος, ὡς λέγουσιν οἱ σοφοί,*
*ἀρχήν, τελευτὴν δ' ἔμαθεν οὐδεπώποτε.*

*κἀν Χάρισι δὲ Κραναόν τινα συγκαταλέγει οὕτως αὐτῷ*

*οὐκ ἐτὸς ἐρωτῶσίν με προσιόντες τινές,*
f *ὄντως ὁ Κραναὸς Κτησίου κατεσθίει*
*ἔλαττον, ἢ δειπνοῦσιν ἀμφότεροι συχνά;*

*Φιλέταιρος δ' ἐν Ἀταλάντῃ*

*κἂν δῇ, τροχάζω στάδια πλείω Σωτάδου,*
*τὸν Ταυρέαν δὲ τοῖς πόνοις ὑπερβαλῶ,*
*τὸν Κτησίαν δὲ τῷ φαγεῖν ὑπερδραμῶ.*

*Ἀνάξιππος Κεραυνῷ*

*ὁρῶ γὰρ ἐκ παλαίστρας τῶν φίλων*
*προσιόντα μοι Δάμιππον. Β. ἦ τοῦτον λέγεις*
417 *τὸν πέτρινον; τοῦτον οἱ δίφιλοι καλοῦσί σοι*
*νυνὶ δι' ἀνδρείαν κεραυνόν; Α. εἰκότως·*
*ἀβάτους ποιεῖν γὰρ τὰς τραπέζας οἴομαι*
*αὐτὸν κατασκήπτοντα ταύταις τῇ γνάθῳ.*

*ἐν τούτοις ἐδήλωσεν ὁ κωμικὸς διότι καὶ τὸ δρᾶμα Κεραυνὸν ἀπ' αὐτοῦ ἐπιγέγραφε. Θεόφιλος δ' ἐν Ἐπιδαυρίῳ*

Ἀτρεστίδας τις Μαντινεὺς λοχαγὸς ἦν,
ἀνδρῶν ἁπάντων πλεῖστα δυνάμενος φαγεῖν.

ἐν δὲ Παγκρατιαστῇ παραγαγὼν τὸν ἀθλητὴν ὡς πολλὰ ἐσθίοντα φησίν b

ἑφθῶν μὲν σχεδὸν
τρεῖς μνᾶς. Β. λέγ' ἄλλο. Α. ῥυγχίον, κωλῆν, πόδας
τέτταρας ὑείους. Β. Ἡράκλεις. Α. βοὸς δὲ τρεῖς,
ὄρνιθ'. Β. Ἄπολλον. λέγ' ἕτερον. Α. σύκων δύο
μνᾶς. Β. ἐπέπιες δὲ πόσον; Α. ἀκράτου δώδεκα
κοτύλας. Β. Ἄπολλον Ὧρε καὶ Σαβάζιε.

11. καὶ ἔθνη δὲ ὅλα εἰς πολυφαγίαν ἐκωμῳδεῖτο, ὡς τὸ Βοιωτόν. Εὔβουλος γοῦν ἐν Ἀντιόπῃ φησί

πώνειν μὲν ἁμὲς καὶ φαγεῖν μέγ' ἀνδρικοὶ c
καὶ καρτερῆμεν, τοὶ δ' Ἀθηναῖοι λέγειν
καὶ μικρὰ φαγέμεν, τοὶ δὲ Θηβαῖοι μέγα.

καὶ ἐν Εὐρώπῃ

κτίζε Βοιωτῶν πόλιν,
ἀνδρῶν ἀρίστων ἐσθίειν δι' ἡμέρας.

καὶ ἐν Ἴωνι

οὕτω σφόδρ' ἐστὶ τοὺς τρόπους Βοιώτιος,
ὥστ' οὐδὲ δειπνῶν, ὡς λέγουσ', ἐμπίμπλαται.

ἐν δὲ Κέρκωψι d

μετὰ ταῦτα Θήβας ἦλθον, οὗ τὴν νύχθ' ὅλην
τήν θ' ἡμέραν δειπνοῦσι καὶ κοπρῶν' ἔχει
ἐπὶ ταῖς θύραις ἕκαστος, οὗ πλήρει βροτῷ
οὐκ ἔστι μεῖζον ἀγαθόν· ὡς χεζητιῶν
μακρὰν βαδίζων πολλὰ δ' ἀσθμαίνων ἀνὴρ,
δάκνων τὰ χείλη, παγγέλοιός ἐστ' ἰδεῖν.

ἐν δὲ τοῖς Μυσοῖς πρὸς τὸν Ἡρακλέα ποιεῖ τινὰ τάδε λέγοντα

σὺ μὲν τὸ Θήβης, ὡς λέγεις, πέδον λιπών,

ἀνδρῶν ἀρίστων ἐσθίειν δι' ἡμέρας
e ὅλης τραχήλους καὶ κοπρῶνος πλησίον.

Δίφιλος δὲ ἐν Βοιωτίῳ

οἷος ἐσθίειν πρὸ ἡμέρας
ἀρξάμενος εἶτα καὶ πάλιν πρὸς ἡμέραν.

Μνησίμαχος Βουσίριδι

εἰμὶ γὰρ Βοιώτιος
ὀλίγα μὲν λαλῶν δίκαια, ταῦτα πολλὰ δ' ἐσθίων.

Ἄλεξις Τροφωνίῳ

νῦν δ' ἵνα μὴ παντελῶς Βοιώτιοι
φαίνησθ' εἶναι τοῖς διασύρειν ὑμᾶς εἰθισμένοις,
f ὡς ἀνίκητοι σύχν' ἀεὶ βοᾶν καὶ πίνειν μόνον
καὶ δειπνεῖν ἐπιστάμενοι διὰ τέλους τὴν νύχθ' ὅλην,
γυμνοῦθ' αὑτοὺς θᾶττον ἅπαντες.

Ἀχαιὸς δ' ἐν Ἄθλοις

πότερα θεωροῖς ἢ ταγηνισταῖς λέγεις;
418 Β. πόλλ' ἐσθίουσιν, ὡς ἐπασκούντων τρόπος.
Α. ποδαποὶ γάρ εἰσιν οἱ ξένοι; Β. Βοιώτιοι.

ἐκ τούτων εἰκός ἐστι καὶ Ἐρατοσθένη ἐν ταῖς ἐπιστολαῖς Πέμπελον φῆσαι ἐρωτηθέντα τί αὐτῷ δοκοῦσιν εἶναι Βοιωτοί, εἰπεῖν 'οὐδέν, τί γὰρ ἄλλο ἢ τοιαῦτα ἐλάλουν οἷ' ἂν καὶ τὰ ἀγγεῖα φωνὴν λαβόντα, πόσον ἕκαστος χωρεῖ.' Πολύβιος δ' ὁ Μεγαλοπολίτης ἐν τῇ εἰκοστῇ τῶν ἱστοριῶν φησὶν ὡς Βοιωτοὶ μεγίστην δόξαν λαβόντες μετὰ τὰ λευκτρικὰ κατὰ μικρὸν ἀνέπεσον ταῖς
b ψυχαῖς, καὶ ὁρμήσαντες ἐπ' εὐωχίας καὶ μέθας διέθεντο καὶ κοινωνεῖα τοῖς φίλοις. πολλοὶ δὲ καὶ τῶν ἐχόντων γενεὰς ἀπεμέριζον τοῖς συσσιτίοις τὸ πλέον μέρος τῆς οὐσίας, ὥστε πολλοὺς εἶναι Βοιωτῶν οἷς ὑπῆρχε δειλινὰ τοῦ μηνὸς πλείω τῶν εἰς τὸν μῆνα διατεταγμένων ἡμερῶν. διόπερ Μεγαρεῖς μισήσαντες

αὐτῶν τὴν τοιαύτην κατάστασιν ἀπένευσαν εἰς τοὺς Ἀχαιούς.’

12. καὶ Φαρσάλιοι δὲ κωμῳδοῦνται ὡς πολυφάγοι. Μνησίμαχος γοῦν ἐν Φιλίππῳ φησί

τῶν Φαρσαλίων
ἥκει τις, ἵνα καὶ τὰς τραπέζας καταφάγῃ; c
Β. οὐδεὶς πάρεστιν. Α. εὖ γε δρῶντες. ἆρά που
ὀπτὴν κατεσθίουσι πόλιν ἀχαΐκήν;

ὅτι δὲ καὶ πάντες Θετταλοὶ ὡς πολυφάγοι διεβάλλοντο Κράτης φησὶν ἐν Λαμίᾳ

ἔπη τριπήχη θετταλικῶς τετμημένα.

τοῦτο δ’ εἶπεν ὡς τῶν Θετταλῶν μεγάλα κρέα τεμνόντων. Φιλέταιρος δ’ ἐν Λαμπαδηφόροις

καὶ χειροβαρὲς σαρκὸς ὑείας
θετταλότμητον κρέας.

ἔλεγον δὲ καὶ θετταλικὴν ἔνθεσιν τὴν μεγάλην. Ἕρμιππος Μοίραις

ὁ Ζεὺς δὲ τούτων οὐδὲν ἐνθυμούμενος d
μύων ξυνέπλαττε θετταλικὴν τὴν ἔνθεσιν.

ταῦτα δὲ καπανικὰ εἴρηκεν Ἀριστοφάνης ἐν Ταγηνισταῖς

τί πρὸς τὰ Λυδῶν δεῖπνα καὶ τὰ Θετταλῶν;
Β. τὰ Θετταλῶν μὲν πολὺ καπανικώτερα.

οἷον τὰ ἁμαξιαῖα. Θετταλοὶ γὰρ τὰς ἀπήνας καπάνας ἔλεγον. Ξέναρχος Σκύθαις

ἑπτὰ δὲ καπάνας ἔτρεφον εἰς Ὀλύμπια. e
Β. τί λέγεις; καπάνας; πῶς; Α. καπάνας Θετταλοὶ
πάντες καλοῦσι τὰς ἀπήνας. Β. μανθάνω.

13. Αἰγυπτίους δ’ Ἑκαταῖος ἀρτοφάγους φησὶν εἶναι κυλλήστιας ἐσθίοντας, τὰς δὲ κριθὰς εἰς ποτὸν καταλέοντας. διὰ ταῦτα καὶ Ἀλεξῖνος ἐν τῷ περὶ αὐταρκείας ἔφη μετρίᾳ τροφῇ κεχρῆσθαι τὸν Βόκχοριν

καὶ τὸν πατέρα αὐτοῦ Νεόχαβιν. καὶ Πυθαγόρας δ' ὁ Σάμιος μετρίᾳ τροφῇ ἐχρῆτο, ὡς ἱστορεῖ Λύκων ὁ
f Ἰασεὺς ἐν τῷ περὶ Πυθαγόρου. οὐκ ἀπείχετο δὲ ἐμψύχων, ὡς Ἀριστόξενος εἴρηκεν. Ἀπολλόδωρος δὲ ὁ ἀριθμητικὸς καὶ θῦσαί φησιν αὐτὸν ἑκατόμβην ἐπὶ τῷ εὑρηκέναι ὅτι τριγώνου ὀρθογωνίου ἡ τὴν ὀρθὴν γωνίαν ὑποτείνουσα ἴσον δύναται ταῖς περιεχούσαις.

ἡνίκα Πυθαγόρης τὸ περικλεὲς εὕρετο γράμμα,
κλεινὸς ἐφ' ᾧ κλεινὴν ἤγαγε βουθυσίην.

419 ἦν δὲ καὶ ὀλιγοπότης ὁ Πυθαγόρας καὶ εὐτελέστατα διεβίω, ὡς καὶ πολλάκις μέλιτι μόνῳ ἀρκεῖσθαι. τὰ παραπλήσια δ' ἱστορεῖται καὶ περὶ Ἀριστείδου καὶ Ἐπαμινώνδου καὶ Φωκίωνος καὶ Φορμίωνος τῶν στρατηγῶν. Μάνιος δὲ Κούριος ὁ Ῥωμαίων στρατηγὸς ἐπὶ γογγυλίσι διεβίω πάντα τὸν χρόνον· καὶ Σαυνιτῶν αὐτῷ πολὺ χρυσίον προσπεμπόντων οὐκ ἔφη δεῖσθαι χρυσίου ἕως ἂν τοιαῦτα δειπνῇ. ἱστορεῖ δὲ ταῦτα Μεγακλῆς ἐν τῷ περὶ ἐνδόξων ἀνδρῶν.

14. τῶν δείπνων δὲ πολλοὶ τὰ μέτρια ἀσπάζον-
f ται, ὡς Ἄλεξις ἐν Φιλούσῃ παραδίδωσιν

ἀλλ' ἔγωγέ τοι τὰ δέοντ' ἔχων
τὰ περιττὰ μισῶ, τοῖς ὑπερβάλλουσι γὰρ
τέρψις μὲν οὐκ ἔνεστι, πολυτέλεια δέ.

καὶ ἐν Ψευδομένῳ

τὰ περιττὰ μισῶ, τοῖς ὑπερβάλλουσι γὰρ
δαπάνη πρόσεστιν, ἡδονὴ δ' οὐδ' ἡτισοῦν.

ἐν δὲ Συντρόφοις

ὡς ἡδὺ πᾶν τὸ μέτριον. οὔθ' ὑπεργέμων
c ἀπέρχομαι νῦν οὔτε κενός, ἀλλ' ἡδέως
ἔχων ἐμαυτοῦ. Μνησίθεος γάρ φησι δεῖν
φεύγειν ἁπάντων τὰς ὑπερβολὰς ἀεί.

Ἀρίστων δ' ὁ [Κεῖος] φιλόσοφος ἐν ἐρωτικῶν ὁμοίων

δευτέρῳ Πολέμωνά φησι τὸν ἀκαδημιακὸν παραινεῖν τοῖς ἐπὶ δεῖπνον πορευομένοις φροντίζειν ὅπως ἡδὺν πότον ποιῶνται μὴ μόνον εἰς τὸ παρὸν ἀλλὰ καὶ εἰς τὴν αὔριον. Τιμόθεος δ' ὁ Κόνωνος ἐκ τῶν πολυτελῶν καὶ στρατηγικῶν δείπνων παραληφθεὶς ὑπὸ τοῦ Πλάτωνος εἰς τὸ ἐν Ἀκαδημείᾳ συμπόσιον καὶ ἑστιαθεὶς d ἀφελῶς καὶ μουσικῶς ἔφη ὡς οἱ παρὰ Πλάτωνι δειπνοῦντες καὶ τῇ ὑστεραίᾳ καλῶς γίνονται. ὁ δ' Ἡγήσανδρος ἐν τοῖς ὑπομνήμασιν ἔφη ὡς καὶ τῇ ὑστεραίᾳ ὁ Τιμόθεος ἀπαντήσας τῷ Πλάτωνι εἶπεν 'ὑμεῖς, ὦ Πλάτων, εὐδειπνεῖτε μᾶλλον εἰς τὴν ὑστεραίαν ἢ εἰς τὴν παροῦσαν ἡμέραν.' Πύρρων δ' ὁ Ἠλεῖος, τῶν γνωρίμων τινὸς αὐτὸν ὑποδεξαμένου πολυτελῶς, ὡς ὁ αὐτὸς ἱστορεῖ 'εἰς τὸ λοιπόν, εἶπεν, οὐχ ἥξω πρὸς σέ, ἂν οὕτως ὑποδέχῃ· ἵνα μήτ' ἐγώ e σε ἀηδῶς ὁρῶ καταδαπανώμενον οὐκ ἀναγκαίως μήτε σὺ θλιβόμενος κακοπαθῇς. μᾶλλον γὰρ ἡμᾶς τῇ μεθ' ἑαυτῶν συνουσίᾳ προσῆκόν ἐστιν εὐεργετεῖν ἢ τῷ πλήθει τῶν παρατιθεμένων, ὧν οἱ διακονοῦντες τὰ πλεῖστα δαπανῶσι.'

15. Ἀντίγονος δ' ὁ Καρύστιος ἐν τῷ Μενεδήμου βίῳ τὴν διάταξιν διηγούμενος τοῦ παρὰ τῷ φιλοσόφῳ συμποσίου φησὶν ὅτι ἠρίστα μὲν δεύτερος ἢ τρίτος καθ' αὑτόν· καὶ ἔδει καὶ τοὺς λοιποὺς παρεῖναι δεδειπνηκότας. ἦν γὰρ τὸ τοῦ Μενεδήμου τοιοῦτον f ἄριστον. μετὰ δὲ ταῦτα εἰσεκάλουν τοὺς παραγενομένους· ὧν, ὡς ἔοικεν, ὅτε προτερήσειαν ἔνιοι τῆς ὥρας, ἀνακάμπτοντες παρὰ τὰς θύρας ἀνεπυνθάνοντο τῶν ἐξιόντων παίδων τί τὸ παρακείμενον εἴη καὶ πῶς ἔχοι τῆς τοῦ χρόνου συμμετρίας τὸ ἄριστον. ὅτε μὲν οὖν ἀκούσειαν λάχανον ἢ τάριχος, ἀνεχώρουν· ὅτε δ' ὅτι κρεάδιον, εἰσῄεσαν εἰς τὸν ἐπὶ τοῦτο

420 παρεσκευασμένον οἶκον. ἦν δὲ τοῦ μὲν θέρους ἡτοιμασμένη ψίαθος ἐφ' ἑκάστης κλίνης, τοῦ δὲ χειμῶνος κῴδιον· προσκεφάλαιον δὲ αὐτὸν φέρειν ἕκαστον ἔδει. τὸ δὲ περιαγόμενον ποτήριον οὐ μεῖζον ἦν κοτυλιαίου. τράγημα δὲ θέρμος μὲν ἢ κύαμος συνεχῶς, ποτὲ δὲ καὶ τῶν ὡραίων εἰσεφέρετό τι, τοῦ μὲν θέρους ἄπιος ἢ ῥόα, τοῦ δὲ ἔαρος ὦχροι, κατὰ δὲ τὴν χειμερινὴν ὥραν ἰσχάδες. μαρτυρεῖ δὲ καὶ περὶ τούτων Λυκόφρων ὁ Χαλκιδεὺς γράψας σατύρους Μενέδημον, ἐν οἷς φησὶν ὁ σειληνὸς πρὸς τοὺς σατύρους

b παῖδες κρατίστου πατρὸς ἐξωλέστατοι,
ἐγὼ μὲν ὑμῖν, ὡς ὁρᾶτε, στρηνιῶ.
δεῖπνον γὰρ οὔτ' ἐν Καρίᾳ, μὰ τοὺς θεούς,
οὔτ' ἐν Ῥόδῳ τοιοῦτον οὔτ' ἐν Λυδίᾳ
κατέχω δεδειπνηκώς. Ἄπολλον ὡς καλόν.

καὶ προελθών

ἀλλὰ κυλίκιον
ὑδαρὲς ὁ παῖς περιῆγε τοῦ πεντωβόλου
ἀτρέμα παρεξεστηκός· ὅ τ' ἀλιτήριος
καὶ δημόκοινος ἐπεχόρευε δαψιλὴς
θέρμος, πενήτων καὶ τρικλίνου συμπότης.

c ἑξῆς δέ φησιν ὅτι ζητήσεις ἦσαν παρὰ πότον

τράγημα γὰρ
ὁ σωφρονιστὴς πᾶσιν ἐν μέσῳ λόγος.

ἱστορεῖ δὲ καὶ ὅτι πολλάκις συνόντας αὐτοὺς ἐπὶ πλεῖον ὁ ὄρνις κατελάμβανε τὴν ἕω καλῶν, τοῖσι δ' οὐδέπω κόρος.

16. Ἀρκεσίλαος δ' ἑστιῶν τινάς, καὶ ἐλλιπόντων τῶν ἄρτων νεύσαντος τοῦ παιδὸς ὡς οὐκ ἔτ' εἰσίν, ἀνακαγχάσας καὶ τὼ χεῖρε συγκροτήσας 'οἷόν τι, ἔφη, τὸ συμπόσιόν ἐστιν ἡμῶν, ἄνδρες φίλοι. ἄρτους ἐπι-
d λελήσμεθ' ἀρκοῦντας πρίασθαι. τρέχε δὴ παῖ.' καὶ

τοῦτ᾽ ἔλεγεν αὐτὸς γελῶν· καὶ τῶν παρόντων δ᾽ ἄθρους ἐξεχύθη γέλως, καὶ διαγωγὴ πλείων ἐνέπεσε καὶ διατριβή, ὥστε ἥδυσμα γενέσθαι τῷ συμποσίῳ τὴν τῶν ἄρτων ἔνδειαν. ἄλλοτε δὲ ὁ Ἀρκεσίλαος Ἀπελλῇ τῷ γνωρίμῳ προστάξας καθυλίσαι τὸν οἶνον, ἐπειδὴ διὰ τὴν ἀπειρίαν ἐκεῖνος τὰ μὲν ἐτάραττε τὰ δὲ ἐξέχει, καὶ πολὺ θολώτερος ἐφαίνετο ὁ οἶνος, ὑπομειδιάσας ἔφη ‘ἐγὼ δὲ καθυλίσαι προσέταξα ἀνθρώπῳ μηδὲν ἑορακότι ἀγαθόν, ὥσπερ οὐδ᾽ ἐγώ. ἀνάστηθι οὖν σύ, Ἀρίδικε· σὺ δὲ ἀπελθὼν τὰ ἐκτὰ τρύπα.’ ταῦτα δ᾽ οὕτως εὔφραινε καὶ ἐξιλάρου τοὺς e παρόντας, ὡς εὐθυμίας πληροῦσθαι.

17. οἱ δὲ νῦν συνάγοντες τὰ δεῖπνα καὶ μάλιστα οἱ ἀπὸ τῆς καλῆς Ἀλεξανδρείας βοῶσι, κεκράγασι, βλασφημοῦσι τὸν οἰνοχόον, τὸν διάκονον, τὸν μάγειρον, κλάουσι δ᾽ οἱ παῖδες τυπτόμενοι κονδύλοις ἄλλος ἄλλοθεν. καὶ οὐχ οἷον οἱ κεκλημένοι μετὰ πάσης ἀηδίας δειπνοῦσιν, ἀλλὰ κἂν τύχῃ θυσία τις οὖσα, παρακαλυψάμενος ὁ θεὸς οἰχήσεται, καταλιπὼν οὐ μόνον τὸν οἶκον ἀλλὰ καὶ τὴν πόλιν ἅπασαν. γελοῖον f γάρ ἐστιν αὐτὸν εὐφημίαν κηρύξαντα καταρᾶσθαι τῇ γυναικὶ καὶ τοῖς τέκνοις. καὶ τοῖς δειπνοῦσι δ᾽ ἂν εἴποι ὁ τοιοῦτος

νῦν δ᾽ ἔρχεσθ᾽ ἐπὶ δεῖπνον, ἵνα ξυνάγωμεν Ἄρηα.

τῷ γὰρ τοιούτῳ ὁ οἶκος

ὁμοῦ μὲν θυμιαμάτων γέμει,
ὁμοῦ δὲ παιάνων τε καὶ στεναγμάτων. 421

τούτων λεχθέντων ἔφη τις τῶν παρόντων, παραιτητέον εἰς ταῦτ᾽ ἀποβλέποντας ἔστι τὸ γαστρίζεσθαι. ἀτελὲς γὰρ δεῖπνον οὐ ποιεῖ παροινίαν, ὡς Ἄμφις φησὶν ἐν Πανί, οὐδὲ ὕβρεις καὶ προπηλακισμούς, ὡς Ἄλεξις ἐν Ὀδυσσεῖ ὑφαίνοντι μαρτυρεῖ διὰ τούτων

φιλεῖ γὰρ ἡ μακρὰ συνουσία
καὶ τὰ συμπόσια τὰ πολλὰ καὶ καθ' ἡμέραν ποιεῖν
σκῶψιν. ἡ σκῶψις δὲ λυπεῖ πλεῖον ἢ τέρπει πολύ.
b τοῦ κακῶς λέγειν γὰρ ἀρχὴ γίγνετ'. ἂν δ' εἴπῃς ἅπαξ,
εὐθὺς ἀντήκουσας. ἤδη λοιδορεῖσθαι λείπεται.
εἶτα τύπτεσθαι δέδεικται καὶ παροινεῖν. ταῦτα γὰρ
κατὰ φύσιν πέφυκεν οὕτως· καὶ τί μάντεώς σε δεῖ;

18. καὶ Μνησίμαχος δὲ ἐν Φιλίππῳ διὰ τὸν ὑπερβάλλοντα κόρον ἐν τοῖς δείπνοις παράγει τι συμπόσιον, πολέμου παρασκευὴν ἐπαγγελλόμενον καὶ ὡς c ἀληθῶς κατὰ τὸν χαριέστατον Ξενοφῶντα πολέμου ἐργαστήριον. λέγει δ' οὕτως

ἆρ' οἶσθ' ὁτιὴ πρὸς ἄνδρας ἐστί σοι μάχη,
οἳ τὰ ξίφη δειπνοῦμεν ἠκονημένα,
ὄψον δὲ δᾷδας ἡμμένας καταπίνομεν;
ἐντεῦθεν εὐθὺς ἐπιφέρει τραγήματα
ἡμῖν ὁ παῖς μετὰ δεῖπνον ἀκίδας κρητικάς
ὥσπερ ἐρεβίνθους δορατίων τε λείψανα
κατεαγότ', ἀσπίδας δὲ προσκεφάλαια καὶ
θώρακας ἔχομεν, πρὸς ποδῶν δὲ σφενδόνας
καὶ τόξα, καταπέλταισι δ' ἐστεφανώμεθα.

d καὶ Κολοφώνιος δὲ Φοίνιξ φησίν

Νίνου κάδοι μάχαιρα, καὶ κύλιξ αἰχμή,
κύμβη δὲ τόξα, δήιοι δὲ κρητῆρες,
ἵπποι δ' ἄκρητος, κἀλαλὴ 'μύρον χεῖτε.'

ἐν δὲ τῷ Παρασίτῳ Ἄλεξις περὶ πολυφάγου τινὸς διαλεγόμενός φησι

καλοῦσι δ' αὐτὸν πάντες οἱ νεώτεροι
παράσιτον ὑποκόρισμα· τῷ δ' οὐδὲν μέλει.
δειπνεῖ δ' ἄφωνος Τήλεφος, νεύων μόνον
πρὸς τοὺς ἐπερωτῶντάς τι, ὥστε πολλάκις
αὐτὸν ὁ κεκληκὼς τοῖς Σαμόθραξιν εὔχεται e
λῆξαι πνέοντα καὶ γαληνίσαι ποτέ.
χειμὼν ὁ μειρακίσκος ἐστὶ τοῖς φίλοις.

Δίφιλος δ' ἐν Ἡρακλεῖ περί τινος τῶν ὁμοίων διαλεγόμενος διέξεισιν

ἐμὲ μὲν οὖν ὁρᾷς πεπωκότα
ἤδη τ' ἀκροθώρακ' ὄντα κεὐθυμούμενον,
τονδὶ δὲ ναστὸν Ἀστίωνος μείζονα
ἤδη σχεδὸν δωδέκατον ἠριστηκότα.

διὸ καλῶς ἔλεγεν ὁ Βορυσθενίτης Βίων οὐ δεῖν ἀπὸ τῆς τραπέζης τὰς ἡδονὰς πορίζεσθαι ἀλλ' ἀπὸ τοῦ f
φρονεῖν. ὁ δ' Εὐριπίδης φησί

φαύλῃ διαίτῃ προσβαλὼν ἥσθη στόμα,

ὡς τῆς ἀπὸ τῶν προσφορῶν τέρψεως περὶ τὸ στόμα μᾶλλον γινομένης. Αἰσχύλος τ' ἐν Φινεῖ

καὶ ψευδόδειπνα πολλὰ μαργώσης γνάθου
ἐρρυσίαζον στόματος ἐν πρώτῃ χαρᾷ.

ἐν Σθενεβοίᾳ δ' ὁ Εὐριπίδης περὶ εὐτελείας λέγων

βίος δὲ πορφυρέων θαλάσσιος
οὐκ εὐτράπεζος, ἀλλ' ἐπάκτιοι φάτναι. 422
ὑγρὰ δὲ μήτηρ οὐ πεδοστιβὴς τροφὸς
θάλασσα· τήνδ' ἀροῦμεν, ἐκ ταύτης βίος
βρόχοισι καὶ πέδαισιν οἴκαδ' ἔρχεται.

19. μέγα γὰρ ἀνθρώποις κακὸν ἡ γαστήρ, περὶ ἧς φησιν Ἄλεξις ἐν Συναποθνήσκουσι

μάθοις δ' ἂν οἷον ἀνθρώποις κακὸν
ἔστιν ἡ γαστήρ, διδάσκει δ' οἷ' ἀναγκάζει θ'
ὅσα.

εἴ τις ἀφέλοι τοῦτ' ἀφ' ἡμῶν τὸ μέρος ἀπὸ τοῦ σώματος,
b οὔτ' ἂν ἀδικοῖτ' οὐδὲν οὐδεὶς οὔθ' ὑβρίζοι τἂν ἑκών.
νῦν δὲ διὰ ταύτην ἅπαντα γίγνεται τὰ δυσχερῆ.

Δίφιλος δ' ἐν Παρασίτῳ

εὖ γ' ὁ κατάχρυσος εἶπε τοῦτ' Εὐριπίδης
'νικᾷ δὲ χρεία μ' ἡ ταλαίπωρός τέ μου
γαστήρ.' ταλαιπωρότερον οὐδέν ἐστι γὰρ
τῆς γαστρός, εἰς ἣν βρωτὸν ἐμβαλεῖς [ἅπαν],
ἀλλ' οὐχ ἕτερον εἰς ἄγγος. ἐν πήρᾳ φέροις
c ἄρτους ἂν ἀλλ' οὐ ζωμόν, ἢ διαφθερεῖς.
εἰς σπυρίδα μάζας ἐμβαλεῖς ἀλλ' οὐ φακῆν.
οἰνάριον εἰς λάγυνον ἀλλ' οὐ κάραβον.
εἰς τὴν θεοῖς ἐχθρὰν δὲ ταύτην εἰσφορεῖν
πάντ' ἔσθ' ἑαυτοῖς μηδὲν ὁμολογούμενα.
κοὐ προστίθημι τἆλλα, διότι πανταχοῦ
διὰ τὴν τάλαιναν πάντα ταύτην γίγνεται.

καὶ Κράτης δ' ὁ κυνικός, ὥς φησι Σωσικράτης ἐν ταῖς Διαδοχαῖς, ἐπερράπισε Δημήτριον τὸν Φαληρέα
d σὺν τῇ πήρᾳ τῶν ἄρτων καὶ λάγυνον πέμψαντα οἴνου· εἴθε γάρ, ἔφη, τὰς κρήνας καὶ ἄρτους ἦν φέρειν. Στίλπων δ' οὐ κατεπλάγη τὴν ἐγκράτειαν καταφαγὼν σκόροδα καὶ κατακοιμηθεὶς ἐν τῷ τῆς μητρὸς τῶν θεῶν ἱερῷ. ἀπείρητο δὲ τῷ τούτων τι φαγόντι μηδὲ εἰσιέναι. ἐπιστάσης δὲ αὐτῷ τῆς θεοῦ κατὰ τοὺς ὕπνους καὶ εἰπούσης ὅτι 'φιλόσοφος ὢν ὦ Στίλπων παραβαίνεις τὰ νόμιμα;' καὶ τὸν δοκεῖν ἀποκρίνασθαι [κατὰ τοὺς ὕπνους] 'σὺ δέ μοι πάρεχ' ἐσθίειν, καὶ σκορόδοις οὐ χρήσομαι.'

e 20. ἐπὶ τούτοις ὁ Οὐλπιανὸς ἔφη· ἐπεὶ δεδείπναμεν — εἴρηκε δὲ οὕτως Ἄλεξις ἐν Κουρίδι 'ἐπεὶ πά-

λαι δεδείπναμεν.' Εὔβουλος Προκρίδι 'ἡμεῖς δ' οὐδέπω δεδείπναμεν.' καὶ πάλιν 'ὃν χρῆν δεδειπνάναι πάλαι.' καὶ Ἀντιφάνης ἐν Λεωνίδῃ

ἀλλὰ πρὶν δεδειπνάναι
ἡμᾶς παρέσται.

καὶ Ἀριστοφάνης ἐν Προαγῶνι

ὥρα βαδίζειν μοὐστὶ πρὸς τὸν δεσπότην,
ἤδη γὰρ αὐτοὺς οἴομαι δεδειπνάναι.

καὶ ἐν Δαναΐσιν

ἤδη παροινεῖς εἴς με πρὶν δεδειπνάναι. f

καὶ Πλάτων Σοφισταῖς καὶ Ἐπικράτης ὁ Ἀμβρακιώτης, μέσης δ' ἐστὶ κωμῳδίας ποιητής, ἐν Ἀμαζόσιν

δεδειπνάναι γὰρ ἄνδρες εὐκαίρως πάνυ
δοκοῦσί μοι.

καὶ ἠρίσταμεν δ' εἴρηκεν Ἀριστοφάνης ἐν Ταγηνισταῖς

ὑποπεπώκαμεν [μέν], ὦνδρες, καὶ καλῶς ἠρίσταμεν.

καὶ Ἕρμιππος ἐν Στρατιώταις 'ἠριστάναι [καὶ παρι- 423
στάναι] τουτί.' Θεόπομπος Καλλαίσχρῳ

ἠρίσταμεν, δεῖ γὰρ συνάπτειν τὸν λόγον.

καταριστᾶν δὲ εἴρηκεν ἐν τῷ Πολιτικῷ Ἀντιφῶν οὕτως 'ὅτι δὴ τὰ πράγματα τὰ ἑαυτοῦ ἢ τὰ τῶν φίλων κατηρίστηκεν.' παραδεδειπνημένος δ' εἴρηκεν Ἄμφις ἐν Πλάνῳ 'παραδεδειπνημένος, παῖδες, πάλαι.'

21. 'τοῖς οὖν θεοῖς, κατὰ τὸν Πλάτωνα ὃς ἐν
Φιλήβῳ φησίν, εὐχόμενοι κεραννύωμεν, εἴτε Διόνυ- b
σος εἴθ' Ἥφαιστος εἴθ' ὅστις θεῶν ταύτην τὴν τιμὴν εἴληχε τῆς συγκράσεως. καθάπερ γὰρ ἡμῖν οἰνοχόοις τισὶ παρεστᾶσι κρῆναι. καὶ μέλιτος μὲν ἂν ἀπεικάζοι τις τὴν τῆς ἡδονῆς, τὴν δὲ τῆς φρονήσεως νηφαντικὴν καὶ ἄοινον αὐστηροῦ τινὸς καὶ ὑγιεινοῦ ὕδατος·

ἃς προθυμητέον ὡς κάλλιστα συμμιγνύναι.' ὥρα οὖν πίνειν ἡμῖν ἐστί, καὶ τῶν παίδων τις ἐκ τοῦ κυλικείου τῶν ποτηρίων παραφερέτω· ὁρῶ γὰρ

πλῆθος καλῶν καὶ ποικίλων ἐκπωμάτων.

c δοθέντος οὖν ποτηρίου μεγάλου ἔφη, ἀλλ' ἀκρατέστερόν μοι ὦ παῖ τῷ κυάθῳ πληρῶν ἔγχει εἰς τὴν κύλικα, μὴ κατὰ τὸν κωμῳδιοποιὸν Ἀντιφάνην, ὃς ἐν Διδύμοις φησί

τὸ ποτήριόν μοι τὸ μέγα προσφέρει λαβών.
ἐπεχεάμην ἄκρατον. ἔγχει, παιδίον,
κυάθους θεῶν τε καὶ θεαινῶν μυρίους,
ἔπειτ' ἐπὶ τούτοις πᾶσι τῆς σεμνῆς θεᾶς
καὶ τοῦ γλυκυτάτου βασιλέως διμοιρίαν.

ἐμοὶ οὖν ὦ παῖ ζωρότερον κέραιρε. οὔπω γὰρ λέγο-
d μεν περὶ ἀριθμοῦ κυάθων (δείξω δ' ὅτι καὶ ὁ κύαθος εἴρηται καὶ τὸ ἀκρατέστερον) καὶ περὶ οἰνοχόων.

22. πρότερον δέ μοι λέξεται περὶ τοῦ ζωρότερον. Ἀντιφάνης Μειλανίωνι

τοῦτον ἐγὼ κρίνω μετανιπτρίδα τῆς ὑγιείας
πίνειν ζωροτέρῳ χρώμενον οἰνοχόῳ.

ἐν δὲ Λάμπωνι

ὁ δεῖν' Ἰαπυξ, κέρασον εὐζωρέστερον.

Ἔφιππος Ἐφήβοις

φιάλην ἑκατέρᾳ
e ἔδωκε κεράσας ζωρότερον ὁμηρικῶς.

τινὲς δὲ καὶ τὸ παρ' Ὁμήρῳ 'ζωρότερον δὲ κέραιρε' οὐκ ἄκρατον σημαίνειν φασὶν ἀλλὰ θερμόν, ἀπὸ τοῦ ζωτικοῦ καὶ τῆς ζέσεως. ἑταίρων γὰρ παρόντων νέον ἐξ ὑπαρχῆς κεράννυσθαι κρατῆρα ἄτοπον. ἄλλοι δὲ τὸ εὔκρατον ὥσπερ τὸ δεξιτερὸν ἀντὶ τοῦ δεξιοῦ. τινὲς δὲ ἐπεὶ οἱ ἐνιαυτοὶ ὧροι λέγονται καὶ τὸ ζα ὅτι

μέγεθος ἢ πλῆθος σημαίνει, ζωρὸν τὸν πολυετῆ λέγεσθαι. Δίφιλος δὲ ἐν Παιδερασταῖς φησίν

ἔγχεον σὺ δὴ πιεῖν. f
εὐζωρότερόν γε νὴ Δί᾽ ὦ παῖ δός· τὸ γὰρ
ὑδαρὲς ἅπαν τοῦτ᾽ ἐστὶ τῇ ψυχῇ κακόν.

Θεόφραστος δ᾽ ἐν τῷ περὶ μέθης ζωρότερόν φησιν εἶναι τὸ κεκραμένον παρατιθέμενος Ἐμπεδοκλέους τάδε

αἶψα δὲ θνητὰ φύοντο τὰ πρὶν μάθον ἀθάνατ᾽ 424
εἶναι,
ζωρά τε τὰ πρὶν ἄκρητα, διαλλάσσοντα κελεύθους.

23. κύαθον δ᾽ ἐπὶ τοῦ ἀντλητῆρος Πλάτων εἴρηκεν ἐν Φάωνι οὕτως

τῷ στόματι τὸν κύαθον ὧδ᾽ εἰληφότες.

καὶ ἐν Πρέσβεσι

κυάθους ὅσους ἐκλέπτεθ᾽ ἑκάστοτε.

Ἄρχιππος Ἰχθύσι

κύαθον ἐπριάμην παρὰ Δαισίου. b

τοιοῦτόν ἐστι καὶ τὸ ἐν Εἰρήνῃ Ἀριστοφάνους

ὑπωπιασμέναι
ἁπαξάπασαι καὶ κυάθους προσκείμεναι.

τὰ γὰρ ὑπώπια τοῖς κυάθοις περιθλώμενα ἀμαυροῦται. μνημονεύει τοῦ κυάθου καὶ Ξενοφῶν ἐν πρώτῳ Παιδείας καὶ Κρατῖνος, ἔτι δ᾽ Ἀριστοφάνης πολλαχοῦ, καὶ Εὔβουλος ἐν Ὀρθάνῃ. Φερεκράτης δ᾽ ἐν Λήροις ἀργυροῦν κύαθον ὠνόμασε. Τίμων δ᾽ ἐν δευτέρῳ σίλλων ἀρυσαίνας κέκληκε τοὺς κυάθους φάσκων οὑτωσί 'ἀπληστοίνους τ᾽ ἀρυσαίνας' ἀπὸ τοῦ c
ἀρύσασθαι ὀνομάσας. καλοῦνται δὲ καὶ ἀρυστῆρες καὶ ἀρύστιχοι. Σιμωνίδης

ἔδωκεν οὐδεὶς οὐδ᾽ ἀρυστῆρα τρυγός.

Ἀριστοφάνης δ᾽ ἐν Σφηξίν

ἐγὼ γὰρ εἶχον τούσδε τοὺς ἀρυστίχους.

Φρύνιχος Ποαστρίαις ʽκύλικ᾽ ἀρύστιχον.᾽ ἔνθεν καὶ ἡ ἀρύταινα. ἔλεγον δὲ καὶ ἔφηβον τὸ τοιοῦτον σκεῦος, ὡς Ζηνοφάνης ἐν τῷ Συγγενικῷ. Πολύβιος δ᾽ ἐν τῇ ἐνάτῃ τῶν ἱστοριῶν καὶ ποταμόν τινα ἀνα-
d γράφει Κύαθον καλούμενον περὶ Ἀρσινόην πόλιν Αἰτωλίας.

24. τῷ δὲ ἀκρατέστερον Ὑπερείδης κέχρηται ἐν τῷ κατὰ Δημοσθένους γράφων οὕτως ʽεἰ μέν τις ἀκρατέστερον ἔπινεν, ἐλύπει σέ.᾽ τούτῳ ὅμοιόν ἐστι τὸ ἀνιηρέστερον καὶ τὸ ἐν Ἡλιάσιν Αἰσχύλου ʽἀφθονέστερον λίβα.᾽ καὶ Ἐπίχαρμος δ᾽ ἐν Πύρρᾳ εὐωνέστερον ἔφη. καὶ ἐν τῷ κατὰ Δημάδου δὲ ὁ Ὑπερείδης εἴρηκε ʽῥᾳδιεστέραν τὴν πόλιν.᾽ τῷ δὲ κεραυνύειν κέχρηται Πλάτων μὲν ἐν Φιλήβῳ ʽτοῖς δὴ θεοῖς ὦ Πρώταρχε εὐχόμενοι κεραννύωμεν.᾽ καὶ Ἀλκαῖος
e ἐν Ἱερῷ γάμῳ ʽκεραννύουσιν ἀφανίζουσί τε.᾽ Ὑπερείδης Δηλιακῷ ʽκαὶ τὸν κρατῆρα τὸν πανιώνιον κοινῇ οἱ Ἕλληνες κεραννύουσιν.᾽ ᾠνοχόουν τε παρὰ τοῖς ἀρχαίοις οἱ εὐγενέστατοι παῖδες, ὡς ὁ τοῦ Μενελάου υἱός

ᾠνοχόει δ᾽ υἱὸς Μενελάου κυδαλίμοιο.

καὶ Εὐριπίδης ὁ ποιητὴς ἐν παισὶν ᾠνοχόησε. Θεόφραστος γοῦν ἐν τῷ περὶ μέθης φησί ʽπυνθάνομαι δ᾽ ἔγωγε καὶ Εὐριπίδην τὸν ποιητὴν οἰνοχοεῖν Ἀθή-
f νησι τοῖς ὀρχησταῖς καλουμένοις. ὠρχοῦντο δ᾽ οὗτοι περὶ τὸν τοῦ Ἀπόλλωνος νεὼν τοῦ Δηλίου, τῶν πρώτων ὄντες Ἀθηναίων, καὶ ἐνεδύοντο ἱμάτια τῶν θηραϊκῶν. ὁ δὲ Ἀπόλλων οὗτός ἐστιν ᾧ τὰ θαργήλια ἄγουσι. καὶ διασώζεται Φλυῆσιν ἐν τῷ δαφνηφορείῳ γραφὴ περὶ τούτων.᾽ τὰ αὐτὰ ἱστορεῖ καὶ Ἱερώνυμος

ὁ Ῥόδιος, Ἀριστοτέλους ὢν μαθητής, καὶ οὗτος ἐν τῷ περὶ μέθης. Σαπφώ τε ἡ καλὴ πολλαχοῦ Λάριχον τὸν ἀδελφὸν ἐπαινεῖ ὡς οἰνοχοοῦντα ἐν τῷ πρυτα- 425
νείῳ τοῖς Μυτιληναίοις. καὶ παρὰ Ῥωμαίοις δὲ οἱ εὐγενέστατοι τῶν παίδων τὴν λειτουργίαν ταύτην ἐκτελοῦσιν ἐν ταῖς δημοτελέσι τῶν θυσιῶν, πάντα τοὺς Αἰολεῖς μιμούμενοι, ὡς καὶ κατὰ τοὺς τόνους τῆς φωνῆς.

25. τοσαύτη δ᾽ ἦν ἡ τῶν παλαιοτέρων τρυφὴ περὶ τὰς πολυτελείας, ὥστε μὴ μόνον οἰνοχόους ἔχειν ἀλλὰ καὶ οἰνόπτας. ἀρχὴ γοῦν ἐστὶν οἱ οἰνόπται παρὰ Ἀθηναίοις, ἧς μνημονεύει ἐν ταῖς Πόλεσιν Εὔπολις ἐν τούτοις

οὓς δ᾽ οὐκ ἂν εἵλεσθ᾽ οὐδ᾽ ἂν οἰνόπτας πρὸ τοῦ, b
νυνὶ στρατηγοὺς [ἔχομεν]. ὦ πόλις πόλις,
ὡς εὐτυχὴς εἶ μᾶλλον ἢ καλῶς φρονεῖς.

οἱ δὲ οἰνόπται οὗτοι ἐφεώρων τὰ ἐν τοῖς δείπνοις εἰ κατ᾽ ἴσον πίνουσιν οἱ συνόντες. καὶ ἦν ἡ ἀρχὴ εὐτελής, ὡς ὁ ῥήτωρ φησὶ Φιλῖνος ἐν τῇ Κροκωνιδῶν διαδικασίᾳ. καὶ ὅτι τρεῖς ἦσαν οἱ οἰνόπται, οἵτινες καὶ παρεῖχον τοῖς δειπνοῦσι λύχνους καὶ θρυαλλίδας. ἐκάλουν δέ τινες τούτους καὶ ὀφθαλμούς. παρὰ δὲ e
Ἐφεσίοις οἱ οἰνοχοοῦντες ἤθεοι τῇ τοῦ Ποσειδῶνος ἑορτῇ ταῦροι ἐκαλοῦντο, ὡς Ἀμερίας φησίν. Ἑλλησπόντιοι δὲ ἐπεγχύτην ὀνομάζουσι τὸν οἰνοχόον, καὶ τὴν κρεανομίαν κρεοδαισίαν, ὥς φησι Δημήτριος ὁ Σκήψιος ἐν ἕκτῳ καὶ εἰκοστῷ τοῦ τρωικοῦ διακόσμου. τοῖς δὲ θεοῖς οἰνοχοοῦσαν τινὲς ἱστοροῦσι τὴν Ἁρμονίαν, ὡς Καπίτων ἱστορεῖ ὁ ἐποποιός, Ἀλεξανδρεὺς δὲ γένος, ἐν δευτέρῳ Ἐρωτικῶν. Ἀλκαῖος δὲ καὶ τὸν Ἑρμῆν εἰσάγει αὐτῶν οἰνοχόον, ὡς καὶ Σαπφὼ λέγουσα

d κάδδ' ἀμβροσίας μὲν κρατὴρ ἐκέκρατο,
Ἑρμᾶς δὲ ἑλὼν ὄλπιν θεοῖς οἰνοχόησε.

26. οἱ δὲ παλαιοὶ τοὺς πρὸς ταῖς ὑπηρεσίαις ταύταις κήρυκας ἐκάλουν. Ὅμηρος

κήρυκες δ' ἀνὰ ἄστυ φέρον θεῶν ὅρκια πιστά,
ἄρνε δύω καὶ οἶνον ἐύφρονα, καρπὸν ἀρούρης,
ἀσκῷ ἐν αἰγείῳ· φέρε δὲ κρητῆρα φαεινὸν
κῆρυξ Ἰδαῖος ἠδὲ χρύσεια κύπελλα.

καὶ πάλιν

e ἀτὰρ κήρυκες ἀγαυοὶ
ὅρκια πιστὰ θεῶν σύναγον, κρητῆρι δὲ οἶνον
μίσγον, ἀτὰρ βασιλεῦσιν ὕδωρ ἐπὶ χεῖρας ἔχευαν.

Κλείδημος δὲ τοὺς μαγείρους κήρυκάς φησι καλεῖσθαι. καὶ τὴν Ἥβην δέ τινες ἀνέπλασαν οἰνοχοοῦσαν αὐτοῖς, ἴσως διὰ τὸ ἡβητήρια καλεῖσθαι τὰ συμπόσια. Κλεινοῦς δὲ τῆς οἰνοχόου Πτολεμαίου τοῦ βασιλέως ἐπίκλην δὲ φιλαδέλφου μνημονεύει Πτολεμαῖος ὁ
f τοῦ Ἀγησάρχου ἐν τῇ τρίτῃ τῶν περὶ φιλοπάτορα ἱστοριῶν. Πολύβιος δὲ ἐν τῇ τεσσαρεσκαιδεκάτῃ τῶν ἱστοριῶν καὶ ἀνδριάντας αὐτῆς ἐν Ἀλεξανδρείᾳ ἑστάναι φησὶ κατὰ πολλὰ μέρη τῆς πόλεως μονοχίτωνας, ῥυτὸν κρατοῦντας ἐν ταῖς χερσίν.

27. ἐπὶ τούτοις τοῖς λόγοις ἐκπίνων τὸ ποτήριον ὁ Οὐλπιανὸς ἔφη

426 τήνδ' ἐγὼ
μεστὴν ἅπαξ ἐπονομάσας προπίομαι
συγγενέσι πίστωμα φιλίας.

πρὸς ὃν ἔτι πίνοντα τῶν παρόντων τις προσέθηκε τὰ λειπόμενα ἰαμβεῖα

πιὼν ἐρῶ
τὰ λοιπά· πνίγομαι γάρ. Β. ἀλλ' ἐπιρρόφει.

*καὶ ὁ Οὐλπιανὸς ἐκπιὼν ἔφη, ταῦτα μὲν Κλέαρχος ἐν Κιθαρῳδῷ. ἐγὼ δὲ κατὰ τοὺς Ἄμφιδος Ἐρίθους παρακελεύομαι*

*ὁ παῖς σοβείτω τοῖς ποτηρίοις συχνούς.*

*καί*

*πίμπλη σὺ μὲν ἐμοί, σοὶ δ' ἐγὼ δώσω πιεῖν·* b
*ἀμυγδαλῇ μὲν παιζέτω παρ' ἀμυγδαλῆν.*

*ταῦτα δ' ἔφη Ξέναρχος ἐν Διδύμοις. αἰτούντων οὖν τῶν μὲν πλέον οἴνου τῶν δὲ ἴσον ἴσῳ φασκόντων κίρνασθαι, καὶ εἰπόντος τινὸς Ἄρχιππον εἰρηκέναι ἐν δευτέρῳ Ἀμφιτρύωνι*

*τίς ἐκέρασε σφῶν ὦ κακόδαιμον ἴσον ἴσῳ;*

*καὶ Κρατῖνος ἐν Πυτίνῃ*

*τὸν δ' ἴσον ἴσῳ φέροντ' ἔγωγ' ἐκτήκομαι·*

*ἔδοξε πᾶσι λέγειν περὶ τῶν κράσεων τῶν παρὰ τοῖς ἀρχαίοις.*

28. *καί τινος εἰπόντος ὅτι Μένανδρος ἐν Ἥρῳ ἔφη*

*χοῦς κεκραμένου*
*οἴνου· λαβὼν ἔκπιθι τοῦτον*

*ὁ Δημόκριτος ἔφη, Ἡσίοδος μὲν ὦ ἑταῖροι παραινεῖ*

*τρὶς ὕδατος προχέειν, τὸ δὲ τέτρατον ἱέμεν οἴνου.*

*διὸ καὶ Ἀναξίλας ἐν Νηρεῖ ἔφη*

*καίτοι πολύ γ' ἔσθ' ἥδιον. οὐ γὰρ ἄν ποτε*
*ἔπινον ἂν τρί' ὕδατος, οἴνου δ' ἓν μόνον.*

*Ἄλεξις δ' ἐν Τιτθῇ ἔτι σωφρονικώτερον κιρνάναι παρακελεύεται*

*ἰδοὺ πάρεστιν οἶνος· οὔκουν ἐγχέω,* d
*Κρίτων, πολύν; Β. βέλτιον ἕνα καὶ τέτταρας.*
*Β. ὑδαρῆ λέγεις. ὅμως δὲ ταύτην ἐκπιὼν*
*. . λέγε τι καὶ διατριβήν γε τῷ πότῳ*
*ποιῶμεν.*

καὶ Διοκλῆς ἐν Μελίσσαις

πῶς δὲ καὶ κεκραμένον
πίνειν τὸν οἶνον δεῖ με; Β. τέτταρα καὶ δύο.

ἡ δ' οὖν κρᾶσις αὕτη παρὰ τὸ ἔθος οὖσα ἐπέμνησε τάχα καὶ τὴν θρυλουμένην παροιμίαν

ἢ πέντε πίνειν ἢ τρί' ἢ μὴ τέτταρα.

e ἢ γὰρ δύο πρὸς πέντε πίνειν φασὶ δεῖν ἢ ἕνα πρὸς τρεῖς. περὶ δὲ ταύτης τῆς κράσεως Ἴων ὁ ποιητὴς ἐν τῷ περὶ Χίου φησὶν ὅτι εὑρὼν ὁ μάντις Παλαμήδης ἐμαντεύσατο πλοῦν ἔσεσθαι τοῖς Ἕλλησι πίνουσι τρεῖς πρὸς ἕνα κυάθους. οἱ δ' ἐπιτεταμένως χρώμενοι τῷ ποτῷ δύο οἴνου ἔπινον πρὸς πέντε ὕδατος. Νικοχάρης γοῦν ἐν Ἀμυμώνῃ πρὸς τοὔνομα παίζων ἔφη

f Οἰνόμαος οὗτος, χαῖρε πέντε καὶ δύο·
κἀγώ τε καὶ σὺ συμπόται γενοίμεθ' ἄν.

τὰ παραπλήσια εἴρηκε καὶ ἐν Λημνίαις. Ἀμειψίας δ' ἐν Ἀποκοτταβίζουσιν

ἐγὼ δὲ (Διόνυσος) πᾶσιν (ὑμῖν) εἰμὶ πέντε καὶ δύο.

Εὔπολις Αἰξί

Διόνυσε χαῖρε, μή τι πέντε καὶ δύο;

Ἕρμιππος Θεοῖς

ἔπειθ', ὅταν πεινώμεθ' ἢ διψώμεθα,
εὐχόμεθα πρὸς τοῦτ' 'οἶνος ὦ κέρας γενοῦ.'
427 κἀς τοῦ καπήλου 'γὼ φέρω παίζων ἅμα,
κεὐθὺς γεγένηται τοῦτο πέντε καὶ δύο.

29. παρὰ δὲ Ἀνακρέοντι εἷς οἴνου πρὸς δύο ὕδατος

ἄγε δὴ φέρ' ἡμὶν ὦ παῖ
κελέβην, ὅκως ἄμυστιν
προπίω, τὰ μὲν δέκ' ἐγχέας

ὕδατος τὰ πέντε δ᾽ οἴνου
κυάθους, ὡς ἀνυβριστὶ
ἀνὰ δηῦτε βασσαρήσω.

καὶ προελθὼν τὴν ἀκρατοποσίαν σκυθικὴν καλεῖ πόσιν

ἄγε δηῦτε μηκέθ᾽ οὕτω
πατάγῳ τε κἀλαλητῷ
σκυθικὴν πόσιν παρ᾽ οἴνῳ b
μελετῶμεν, ἀλλὰ καλοῖς
ὑποπίνοντες ἐν ὕμνοις.

καὶ Λακεδαιμόνιοι δ᾽, ὥς φησιν Ἡρόδοτος ἐν τῇ ἕκτῃ, Κλεομένη τὸν βασιλέα Σκύθαις ὁμιλήσαντα καὶ ἀκρατοπότην γενόμενον ἐκ τῆς μέθης φασὶ μανῆναι. καὶ αὐτοὶ δ᾽ οἱ Λάκωνες, ὅταν βούλωνται ἀκρατέστερον πίνειν, ἐπισκυθίσαι λέγουσι. Χαμαιλέων γοῦν ὁ Ἡρακλεώτης ἐν τῷ περὶ μέθης περὶ τούτων οὕτως γράφει ‛ἐπεὶ καὶ Κλεομένη τὸν Σπαρτιάτην φασὶν οἱ Λάκωνες μανῆναι, διὰ τὸ Σκύθαις ὁμιλήσαντα μαθεῖν ἀκρατοποτεῖν. ὅθεν ὅταν βούλωνται πιεῖν ἀκρατέ- c
στερον ‛ἐπισκύθισον᾽ λέγουσιν.᾽ Ἀχαιὸς δ᾽ ἐν Αἴθωνι σατυρικῷ τοὺς σατύρους ποιεῖ δυσχεραίνοντας ἐπὶ τῷ ὑδαρῆ πίνειν καὶ λέγοντας

μῶν ἀχελῷος ἐγκεκραμένος πολύς;
Β. ἀλλ᾽ οὐδὲ λεῖξαι τοῦδε τῷ γένει θέμις.
Α. καλῶς μὲν οὖν ἂν ἐγχέαις Σκύθῃ πιεῖν.

30. ἦσαν δ᾽ αἱ τῶν ἀκρατοποτῶν ἐπιχύσεις, ὥς φησι Θεόφραστος ἐν τῷ περὶ μέθης, οὐ παλαιαί· d
ἀλλ᾽ ἦν ἀπ᾽ ἀρχῆς τὸ μὲν σπένδειν ἀποδεδομένον τοῖς θεοῖς, ὁ δὲ κότταβος τοῖς ἐρωμένοις. ἐχρῶντο γὰρ ἐπιμελῶς τῷ κοτταβίζειν, ὄντος τοῦ παιγνίου σικελικοῦ, καθάπερ καὶ ὁ Ἀνακρέων ὁ Τήιος πεποίηκε ‛σικελὸν κότταβον ἀγκύλῃ παΐζων.᾽ διὸ καὶ τὰ σκο-

λιὰ καλούμενα μέλη τῶν ἀρχαίων ποιητῶν πλήρη ἐστί. λέγω δ' οἷον καὶ Πίνδαρος πεποίηκε

χάριτάς τ' ἀφροδισίων ἐρώτων,
ὄφρα σὺν Χιμάρῳ μεθύων
e 'Αγάθωνί τε καλῷ κότταβον.

τοῖς δὲ τετελευτηκόσι τῶν φίλων ἀπένεμον τὰ πίπτοντα τῆς τροφῆς ἀπὸ τῶν τραπεζῶν. διὸ καὶ Εὐριπίδης περὶ τῆς Σθενεβοίας φησίν, ἐπειδὴ νομίζει τὸν Βελλεροφόντην τεθνάναι

πεσὸν δέ νιν λέληθεν οὐδὲν ἐκ χερός,
ἀλλ' εὐθὺς αὐδᾷ 'τῷ κορινθίῳ ξένῳ.'

31. οὐκ ἐμέθυον δ' οἱ πάλαι. ἀλλὰ καὶ Πιττακὸς Περιάνδρῳ τῷ Κορινθίῳ παρῄνει μὴ μεθύσκεσθαι
f μηδὲ κωμάζειν, ἵν', ἔφη, μὴ γνωσθῇς οἷος ὢν τυγχάνεις, ἀλλ' οὐχ οἷος προσποιῇ. 'κάτοπτρον' γὰρ 'εἴδους χαλκός ἐστ' οἶνος δὲ νοῦ.' διὸ καὶ καλῶς οἱ παροιμιαζόμενοι λέγουσι τὸν οἶνον οὐκ ἔχειν πηδάλια. Ξενοφῶν γοῦν ὁ Γρύλλου, παρὰ Διονυσίῳ ποτὲ τῷ Σικελιώτῃ πίνειν ἀναγκάζοντος τοῦ οἰνοχόου, προσαγορεύσας ὀνομαστὶ τὸν τύραννον, τί δή, ἔφη, ὦ Διο-
428 νύσιε, οὐχὶ καὶ ὁ ὀψοποιὸς ἀγαθὸς ὢν καὶ ποικίλος ἀναγκάζει ἡμᾶς εὐωχουμένους ἐσθίειν καὶ μὴ βουλομένους, ἀλλὰ κοσμίως ἡμῖν παρατίθησι τὴν τράπεζαν σιγῶν; καὶ ὁ Σοφοκλῆς δὲ ἐν . . . σατυρικῷ φησὶν ὡς ἄρα

τὸ πρὸς βίαν
πίνειν ἴσον πέφυκε τῷ διψῆν κακόν.

ὅθεν εἴρηται καὶ τό

οἶνος ἄνωγε γέροντα καὶ οὐκ ἐθέλοντα χορεύειν.

Σθένελός τε ὁ ποιητὴς οὐ κακῶς εἴρηκεν

οἶνος καὶ φρονέοντας ἐς ἀφροσύνας ἀναβάλλει.

b ὁ δὲ Φωκυλίδης ἔφη

χρὴ δ' ἐν συμποσίῳ κυλίκων περινισομενάων
ἡδέα κωτίλλοντα καθήμενον οἰνοποτάζειν.

ἔτι δὲ καὶ νῦν τοῦτο παραμένει παρ' ἐνίοις τῶν Ἑλλήνων. ἐπεὶ δὲ τρυφᾶν ἤρξαντο καὶ χλιδῶσι, κατερρύησαν ἀπὸ τῶν δίφρων ἐπὶ τὰς κλίνας, καὶ λαβόντες σύμμαχον τὴν ἀνάπαυσιν καὶ ῥᾳστώνην ἀνειμένως ἤδη καὶ ἀτάκτως ἐχρῶντο τῇ μέθῃ, χορηγούσης οἶμαι τῆς παρασκευῆς εἰς τὰς ἡδονάς.

32. διὸ καὶ Ἡσίοδος ἐν ταῖς Ἠοίαις εἶπεν

οἷα Διώνυσος δῶκ' ἀνδράσι χάρμα καὶ ἄχθος. c
ὅστις ἄδην πίνει, οἶνος δέ οἱ ἔπλετο μάργος,
σὺν δὲ πόδας χεῖράς τε δέει γλῶσσάν τε νόον τε
δεσμοῖς ἀφράστοισι· φιλεῖ δέ ἑ μαλθακὸς ὕπνος.

καὶ Θέογνις δέ φησιν

ἥξω δ' ὡς οἶνος χαριέστατος ἀνδρὶ πεπόσθαι,
οὔτε τι νήφων εἴμ' οὔτε λίην μεθύων.
ὃς δ' ἂν ὑπερβάλλῃ πόσιος μέτρον, οὐκ ἔτ' ἐκεῖνος
τῆς αὑτοῦ γλώσσης καρτερὸς οὐδὲ νόου· d
μυθεῖται δ' ἀπάλαμνα, τὰ νήφοσι γίγνεται αἰσχρά·
αἰδεῖται δ', ἔρδων οὐδέν, ὅταν μεθύῃ,
τὸ πρὶν ἐὼν σώφρων, τότε νήπιος. ἀλλὰ σὺ ταῦτα
γιγνώσκων μὴ πῖν' οἶνον ὑπερβολάδην.
πρὶν μεθύειν ἄρξῃ δ', ἀπανίστασο, μή σε βιάσθω
γαστὴρ ὥστε κακὸν λάτριν ἐφημέριον.

Ἀνάχαρσίς τε ὁ σοφὸς ἐπιδεικνύμενος τὴν τῆς ἀμπέλου δύναμιν τῷ τῶν Σκυθῶν βασιλεῖ καὶ τὰ κλήματα e αὐτῆς δεικνὺς ἔλεγεν ὡς, εἰ μὴ καθ' ἕκαστον ἔτος ἔτεμνον οἱ Ἕλληνες τὴν ἄμπελον, ἤδη κἂν ἐν Σκύθαις ἦν.

33. οὐ καλῶς δὲ οἱ πλάττοντες καὶ γράφοντες τὸν Διόνυσον, ἔτι δὲ οἱ ἄγοντες ἐπὶ τῆς ἁμάξης διὰ μέσης τῆς ἀγορᾶς οἰνωμένον. ἐπιδείκνυνται γὰρ τοῖς

θεαταῖς ὅτι καὶ τοῦ θεοῦ κρείττων ἐστὶν ὁ οἶνος.
καίτοι γ' οὐδ' ἄν, οἶμαι, ἄνθρωπος σπουδαῖος τοῦθ'
ὑπομείνειεν. εἰ δ' ὅτι κατέδειξεν ἡμῖν τὸν οἶνον,
διὰ τοῦτο ποιοῦσιν αὐτὸν οὕτως διακείμενον, δῆλον
ὅτι καὶ τὴν Δήμητρα θερίζουσαν ἢ ἐσθίουσαν ποιή-
f σουσιν. ἐπεὶ καὶ τὸν Αἰσχύλον ἐγὼ φαίην ἂν τοῦτο
διαμαρτάνειν· πρῶτος γὰρ ἐκεῖνος καὶ οὐχ ὡς ἔνιοί
φασιν Εὐριπίδης παρήγαγε τὴν τῶν μεθυόντων
ὄψιν εἰς τραγῳδίαν. ἐν γὰρ τοῖς Καβείροις εἰσάγει
τοὺς περὶ τὸν Ἰάσονα μεθύοντας. ἃ δ' αὐτὸς ὁ τρα-
γῳδιοποιὸς ἐποίει, ταῦτα τοῖς ἥρωσι περιέθηκε· με-
θύων γοῦν ἔγραφε τὰς τραγῳδίας. διὸ καὶ Σοφοκλῆς
αὐτῷ μεμφόμενος ἔλεγεν ὅτι, ὦ Αἰσχύλε, εἰ καὶ τὰ
δέοντα ποιεῖς, ἀλλ' οὖν οὐκ εἰδώς γε ποιεῖς· ὡς ἱστο-
429 ρεῖ Χαμαιλέων ἐν τῷ περὶ Αἰσχύλου. ἀγνοοῦσί τε οἱ
λέγοντες πρῶτον Ἐπίχαρμον ἐπὶ τὴν σκηνὴν παρα-
γαγεῖν μεθύοντα, μεθ' ὃν Κράτητα ἐν Γείτοσι. καὶ
Ἀλκαῖος δὲ ὁ μελοποιὸς καὶ Ἀριστοφάνης ὁ κωμῳδιο-
ποιὸς μεθύοντες ἔγραφον τὰ ποιήματα, πολλοί τε καὶ
ἄλλοι μεθυσκόμενοι λαμπρότερον ἐν τῷ πολέμῳ ἠγω-
νίσαντο. παρὰ δὲ Λοκροῖς τοῖς ἐπιζεφυρίοις εἴ τις
ἄκρατον ἔπιε μὴ προστάξαντος ἰατροῦ θεραπείας
ἕνεκα, θάνατος ἦν ἡ ζημία, Ζαλεύκου τὸν νόμον
θέντος. παρὰ δὲ Μασσαλιήταις ἄλλος νόμος, τὰς
γυναῖκας ὑδροποτεῖν. ἐν δὲ Μιλήτῳ ἔτι καὶ νῦν φησὶ
b Θεόφραστος τοῦτ' εἶναι τὸ νόμιμον. παρὰ δὲ Ῥωμαί-
οις οὔτε οἰκέτης οἶνον ἔπινεν οὔτε γυνὴ ἐλευθέρα
οὔτε τῶν ἐλευθέρων οἱ ἔφηβοι μέχρι τριάκοντα ἐτῶν.
ἄτοπος δὲ ὁ Ἀνακρέων ὁ πᾶσαν αὑτοῦ τὴν ποίησιν
ἐξαρτήσας μέθης. τῇ γὰρ μαλακίᾳ καὶ τῇ τρυφῇ ἐπι-
δοὺς ἑαυτὸν ἐν τοῖς ποιήμασι διαβέβληται, οὐκ εἰδό-

των τῶν πολλῶν ὅτι νήφων ἐν τῷ γράφειν καὶ ἀγαθὸς ὢν προσποιεῖται μεθύειν οὐκ οὔσης ἀνάγκης.

34. οἱ δὲ ἀγνοοῦντες τὴν τοῦ οἴνου δύναμιν τὸν Διόνυσον φάσκουσι μανιῶν εἶναι αἴτιον τοῖς ἀνθρώποις, βλασφημοῦντες οὐ μετρίως. ὅθεν ὁ Μελανιππίδης ἔφη c

πάντες δ' ἀπεστύγεον ὕδωρ
τὸ πρὶν ἐόντες αἴδριες οἴνου.
τάχα δὴ τάχα τοὶ μὲν ἀπ' ὦν ὄλοντο,
τοὶ δὲ παράπληκτον χέον ὀμφάν.

Ἀριστοτέλης δ' ἐν τῷ περὶ μέθης φησὶν 'εἰ ὁ οἶνος μετρίως ἀφεψηθείη, πινόμενος ἧττον μεθύσκει. τὴν γὰρ δύναμιν ἀφεψηθέντος αὐτοῦ ἀσθενεστέραν γίγνεσθαι. μεθύσκονται δέ, φησίν, οἱ γεραίτεροι τάχιστα, δι' ὀλιγότητα καὶ ἀσθένειαν τοῦ περὶ αὐτοὺς ἐνυπάρχοντος φύσει θερμοῦ. καὶ οἱ παντελῶς δὲ d νέοι τάχιον μεθύσκονται, διὰ τὸ πλῆθος τοῦ ἐνυπάρχοντος θερμοῦ· τῷ γὰρ ἐκ τοῦ οἴνου προσγινομένῳ κρατοῦνται ῥᾳδίως. μεθύσκονται δὲ κἀν τοῖς ἀλόγοις ζῴοις ὕες μὲν σταφυλῆς στεμφύλων χορτασθέντες, καὶ τὸ τῶν κοράκων καὶ τῶν κυνῶν γένος τὴν οἰνοῦτταν καλουμένην φαγόντα βοτάνην, πίθηκος δὲ καὶ ἐλέφας πιόντες οἶνον. διὸ καὶ τὰς θήρας ποιοῦνται τῶν πιθήκων καὶ τῶν κοράκων μεθυσθέντων τῶν μὲν οἴνῳ τῶν δὲ τῇ οἰνούττῃ.'

τὸ δ' ἐνδελεχῶς μεθύειν
(φησὶ Κρώβυλος ἐν Ἀπολιπούσῃ)
τίν' ἡδονὴν ἔχει e
ἀποστεροῦντα ζῶνθ' ἑαυτὸν τοῦ φρονεῖν,
ὃ μέγιστον ἡμῶν ἀγαθὸν ἔσχεν ἡ φύσις;

καὶ Ἄλεξις δὲ ἐν τῇ τοῦ Φρυγίου διασκευῇ φησίν
εἰ τοῦ μεθύσκεσθαι πρότερον τὸ κραιπαλᾶν

παρεγίγνεθ' ἡμῖν, οὐδ' ἂν εἷς οἶνόν ποτε
προσίετο πλείω τοῦ μετρίου. νυνὶ δὲ τὴν
τιμωρίαν οὐ προσδοκῶντες τῆς μέθης
ἥξειν προχείρως τοὺς ἀκράτους πίνομεν.

f τὸν δὲ σαμαγόρειον οἶνον καλούμενον φησὶν ὁ Ἀριστοτέλης ἀπὸ τριῶν κοτυλῶν κερασθεισῶν μεθύσκειν ὑπὲρ τεσσαράκοντα ἄνδρας.

35. ταῦτ' εἰπὼν ὁ Δημόκριτος καὶ πιὼν ἔφη, τούτοις εἴ τις ἀντιλέγειν ἔχοι, παρίτω. ἀκούσεται γὰρ κατὰ τὸν Εὔηνον

σοὶ μὲν ταῦτα δοκοῦντ' ἔστω ἐμοὶ δὲ τάδε.

ἐγὼ δ' ἐπεὶ παρεξέβην περὶ τῶν ἀρχαίων κράσεων διαλεγόμενος, ἐπαναλήψομαι τὸν λόγον, τὰ ὑπὸ
430 Ἀλκαίου τοῦ μελοποιοῦ λεχθέντα ἐπὶ νοῦν βαλλόμενος. φησὶ γάρ που οὗτος

ἔγχεε κίρναις ἕνα καὶ δύο.

ἐν τούτοις γάρ τινες οὐ τὴν κρᾶσιν οἴονται λέγειν αὐτόν, ἀλλὰ σωφρονικὸν ὄντα καθ' ἕνα κύαθον ἄκρατον πίνειν, καὶ πάλιν κατὰ δύο. τοῦτο δὲ ὁ Ποντικὸς Χαμαιλέων ἐνδέδεκται τῆς Ἀλκαίου φιλοινίας ἀπείρως ἔχων. κατὰ γὰρ πᾶσαν ὥραν καὶ περίστασιν πίνων ὁ ποιητὴς οὗτος εὑρίσκεται. χειμῶνος μὲν ἐν τούτοις

ὕει μὲν ὁ Ζεύς, ἐκ δ' ὀρανῶ μέγας
χειμών, πεπάγασιν δ' ὑδάτων ῥοαί.
b κάββαλλε τὸν χειμῶν', ἐπὶ μὲν τιθεὶς
πῦρ, ἐν δὲ κίρναις οἶνον ἀφειδέως
μελιχρόν, αὐτὰρ ἀμφὶ κόρσᾳ
μαλθακὸν ἀμφι[βαλὼν] γνάφαλλον.

θέρους δέ

τέγγε πνεύμονας οἴνῳ· τὸ γὰρ ἄστρον περιτέλλεται·

ἁ δ᾽ ὤρα χαλεπά, πάντα δὲ δίψαισ᾽ ὐπὸ καύ-
ματος.

τοῦ δὲ ἔαρος

ἦρος ἀνθεμόεντος ἐπάιον ἐρχομένοιο.

καὶ προελθών

ἐν δὲ κίρνατε τῶ μελιαδέος ὄττι τάχιστα
κρατῆρα.

ἐν δὲ τοῖς συμπτώμασιν

οὐ χρὴ κακοῖσι θυμὸν ἐπιτρέπειν.
προκόψομεν γὰρ οὐδὲν ἀσάμενοι,
ὦ Βυκχί. φάρμακον δ᾽ ἄριστον, c
οἶνον ἐνεικαμένοις μεθύσθην.

ἐν δὲ ταῖς εὐφροσύναις

νῦν χρὴ μεθύσθην καί τινα πρὸς βίαν
πώνην, ἐπειδὴ κάτθανε Μυρσίλος.

καὶ καθόλου δὲ συμβουλεύων φησίν

μηδὲν ἄλλο φυτεύσῃς πρότερον δένδριον ἀμ-
πέλω.

πῶς οὖν ἔμελλεν ὁ ἐπὶ τοσοῦτον φιλοπότης νηφάλιος εἶναι καὶ καθ᾽ ἕνα καὶ δύο κυάθους πίνειν; αὐτὸ γοῦν τὸ ποιημάτιον, φησὶ Σέλευκος, ἀντιμαρτυρεῖ τοῖς οὕτως ἐκδεχομένοις. φησὶ γάρ

πίνωμεν· τί τὰ λύχν᾽ ἀμμένομεν; δάκτυλος d
ἁμέρα.
κάδδ᾽ ἄειρε κυλίχναις μεγάλαις αἵ τὰ ποικίλαις.
οἶνον γὰρ Σεμέλας καὶ Διὸς υἶος λαθικαδέα
ἀνθρώποισιν ἔδωκ᾽. ἔγχεε κίρναις ἕνα καὶ δύο
πλέαις κακκεφαλᾶς· ἁ δ᾽ ἑτέρα τὰν ἑτέραν κύλιξ
ὠθείτω.

ἕνα πρὸς δύο ῥητῶς κιρνάναι κελεύων.

36. ὁ δ᾽ Ἀνακρέων ἔτι ζωρότερον, ἐν οἷς φησί

καθαρῇ δ᾽ ἐν κελέβῃ πέντε τε καὶ τρεῖς ἀναχείσθω.

Φιλέταιρος δ' ἐν Τηρεῖ δύο ὕδατος πρὸς τρεῖς ἀκράτου. λέγει δὲ οὕτως

πεπωκέναι δοκεῖ τὸν κατὰ δύο
e καὶ τρεῖς ἀκράτου.

Φερεκράτης δ' ἐν Κοριαννοῖ δύο ὕδατος πρὸς τέσσαρας οἴνου, λέγων ὧδε

ἄποτ' ἔστ', ὦ Γλύκη.
Β. ὑδαρῆ 'νέχεέ σοι; Α. παντάπασι μὲν οὖν ὕδωρ.
Β. τί εἰργάσω; πῶς ὦ κατάρατε δ' ἐνέχεας;
Γ. δύ' ὕδατος, ὦ μάμμη. Β. τί δ' οἴνου; Γ. τέτταρας.
Β. ἔρρ' ἐς κόρακας· βατράχοισιν οἰνοχοεῖν σε δεῖ.

f Ἔφιππος δ' ἐν Κίρκῃ τρεῖς πρὸς τέτταρας
οἶνον πίοις ἂν ἀσφαλέστερον πολὺ
ὑδαρῆ. Β. μὰ τὴν γῆν, ἀλλὰ τρία καὶ τέτταρα.
Α. οὕτως ἄκρατον, εἰπέ μοι, πίει; τί φῄς;

37. ἴσον ἴσῳ δὲ Τιμοκλῆς ἐν Κονισάλῳ
πατάξω τ' ἴσον ἴσῳ ποτηρίοις
μεγάλοις, ἅπασαν τὴν ἀλήθειαν φράσαι.

431 καὶ Ἄλεξις ἐν Δορκίδι ἢ Ποππυζούσῃ
τρεῖς φιλοτησίας ἐγὼ
μεστὰς προπίνων ἴσον ἴσῳ κεκραμένας.

καὶ Ξέναρχος ἢ Τιμοκλῆς ἐν Πορφύρᾳ
μὰ τὸν Διόνυσον, ὃν σὺ κάπτεις ἴσον ἴσῳ.

Σώφιλος δ' ἐν Ἐγχειριδίῳ
συνεχῶς ἄκρατος ἐδίδοτ' ἴσον ἴσῳ. πάλιν
τὴν μείζον' ᾔτουν.

Ἄλεξις Τοκιστῇ ἢ Καταψευδομένῳ
μὴ παντελῶς αὐτῷ δίδου
b ὑδαρῆ. κατανοεῖς; ἴσον ἴσῳ μικροῦ. Β. καλῶς.
Γ. ἡδύ γε τὸ πῶμα. ποδαπὸς ὁ βρόμιος, Τρύφη;

*ΤΡ. θάσιος. Γ. ὅμοιον καὶ δίκαιον τοὺς ξένους*
*πίνειν ξενικόν, τοὺς δ' ἐγγενεῖς ἐπιχώριον.*

*ἐν δὲ Ὑποβολιμαίῳ*

*ἀπνευστί τ' ἐκπιὼν*
*ὡς ἄν τις ἥδιστ' ἴσον ἴσῳ κεκραμένον.*

*Μένανδρος Ἀδελφοῖς*

*ὀκτώ τις ὑποχεῖν ἀνεβόα καὶ δώδεκα*
*κυάθους, ἕως κατέσειε φιλοτιμούμενον.* c

*κατασείειν δὲ ἔλεγον ἐπὶ τῶν ἐν τοῖς πότοις προπινόντων, τὴν μεταφορὰν λαμβάνοντες ἀπὸ τῶν τοὺς καρποὺς κατασειόντων. Ἄλεξις δ' ἐν Ἀποκοπτομένῃ*

*οὐ συμποσίαρχος ἦν γάρ, ἀλλὰ δήμιος,*
*ὁ Χαιρέας κυάθους προπίνων εἴκοσιν.*

38. *Διόδωρος δ' ὁ Σινωπεὺς ἐν Αὐλητρίδι*

*ἐπὰν κυάθους πίνῃ τις, ὦ Κρίτων, δέκα,*
*ἀεὶ παρ' ἕκαστον ἐνδελεχῶς τὸ ποτήριον,* d
*πίνει τὸ λοιπόν, τοὺς λογισμοὺς δ' ἐξεμεῖ.*
*ταῦτα σκόπει πρὸς σαυτόν.*

*οὐκ ἀγλαφύρως δὲ Λύσανδρος ὁ Σπαρτιάτης, ὥς φησιν Ἡγήσανδρος ἐν ὑπομνήμασι, τὸν οἶνον ὑδαρῆ πωλούντων τῶν καπήλων ἐν τῷ στρατοπέδῳ, κεκραμένον ἐκέλευσεν αὐτὸν πωλεῖν, ἵν' αὐτὸν ἀκρατέστερον ὠνοῖντο. τὸ παραπλήσιον καὶ Ἄλεξις εἴρηκεν ἐν Αἰσώπῳ οὕτως*

*κομψόν γε τοῦτ' ἐστὶν παρ' ὑμῖν, ὦ Σόλων,*
*ἐν ταῖς Ἀθήναις δεξιῶς θ' εὑρημένον.* e
*Β. τὸ ποῖον; Α. ἐν τοῖς συμποσίοις οὐ πίνετε*
*ἄκρατον. Β. οὐ γὰρ ῥᾴδιον. πωλοῦσι γὰρ*
*ἐν ταῖς ἁμάξαις εὐθέως κεκραμένον,*
*οὐχ ἵνα τι κερδαίνωσι, τῶν δ' ὠνουμένων*
*προνοούμενοι τοῦ τὰς κεφαλὰς ὑγιεῖς ἔχειν*
*ἐκ κραιπάλης. τοῦτ' ἔσθ', ὁρᾷς, ἑλληνικὸς*

πότος, μετρίοισι χρωμένους ποτηρίοις
λαλεῖν τι καὶ ληρεῖν πρὸς αὑτοὺς ἡδέως.
f τὸ μὲν γὰρ ἕτερον λουτρόν ἐστιν, οὐ πότος,
ψυκτῆρι πίνειν καὶ κάδοις· θάνατος μὲν οὖν.

39. ʽπίνειν δʼ εἰς μέθην (φησὶν ἐν ἕκτῳ Νόμων Πλάτων) οὔτε ἄλλοθί που πρέπει, πλὴν ἐν ταῖς τοῦ τὸν οἶνον δόντος θεοῦ ἑορταῖς, οὐδʼ ἀσφαλές, οὔτʼ οὖν περὶ γάμους ἐσπουδακότα, ἐν οἷς ἔμφρονα εἶναι πρέπει μάλιστα νύμφην καὶ νυμφίον, μεταβολὴν βίου οὐ μικρὰν μεταλλάττοντας, ἅμα δὲ καὶ τὸ γεννώμενον ὅπως ὅτι μάλιστα ἐξ ἐμφρόνων ἀεὶ γίγνηται.
432 σχεδὸν γὰρ ἄδηλον ὁποία νὺξ ἢ φῶς αὐτὸ γεννήσει.ʼ κἀν τῷ πρώτῳ δὲ τῶν Νόμων φησί ʽμέθης δὲ αὐτῆς ὥσπερ Λυδοὶ χρῶνται καὶ Πέρσαι καὶ Καρχηδόνιοι καὶ Κελτοὶ καὶ Ἴβηρες καὶ Θρᾷκες καὶ τὰ τοιαῦτα γένη, καθάπερ ὑμεῖς, ὦ Λακεδαιμόνιοι, τὸ παράπαν ἀπέχεσθε. Σκύθαι δὲ καὶ Θρᾷκες ἀκράτῳ παντάπασι χρώμενοι, γυναῖκές τε καὶ πάντες αὐτοί, καὶ κατὰ τῶν ἱματίων καταχεόμενοι, καλὸν καὶ εὔδαιμον ἐπιτήδευμα ἐπιτηδεύειν νενομίκασι. Πέρσαι δὲ καὶ
b σφόδρα μὲν χρῶνται καὶ ταῖς ἄλλαις τρυφαῖς, ἃς ὑμεῖς ἀποβάλλετε, ἐν τάξει δὲ μᾶλλον τούτων.ʼ

40. ἔπινον οἱ πολλοὶ καὶ ἄλφιτα ἐπιβάλλοντες τῷ οἴνῳ, ὡς ὁ Δελφὸς Ἡγήσανδρος φησίν. Ἐπίνικος γοῦν, Μνησιπτολέμου ἀνάγνωσιν ποιησαμένου τῶν ἱστοριῶν, ἐν αἷς ἐγέγραπτο ὡς Σέλευκος ἐπηλφίτωσε, γράφων δρᾶμα Μνησιπτόλεμον καὶ κωμῳδῶν αὐτὸν καὶ περὶ τῆς πόσεως ταῖς ἐκείνου χρώμενος φωναῖς, ἐποίησε λέγοντα

ἐπαλφιτοῦντα τοῦ θέρους ποτὲ
c ἰδὼν Σέλευκον ἡδέως τὸν βασιλέα,
ἔγραψα καὶ παρέδειξα τοῖς πολλοῖς ὅτι

κἂν τὸ τυχὸν ᾖ πραγμάτιον ἢ σφόδρ' εὐτελές,
σεμνὸν δύναται τοῦθ' ἡ δύναμις ἡ 'μὴ ποιεῖν.
γέροντα θάσιον τόν τε γῆς ἀπ' ἀτθίδος
ἑσμὸν μελίσσης τῆς ἀκραχόλου γλυκύν,
συγκυρκανήσας ἐν σκύφῳ χυτῆς λίθου,
Δήμητρος ἀκτῇ πᾶν γεφυρώσας ὑγρόν,
κατησίμωσε πῶμα καύματος λύσιν.

ὁ δ' αὐτὸς ἱστορεῖ κἀν Θηράσι ταῖς νήσοις ἐπιπάττοντας λέκιθον ἀντὶ ἀλφίτου πίνειν, καὶ λέγεσθαι ταύ- d
την τὴν πόσιν καλλίονα τῆς ἐξ ἀλφίτων.

41. προπόσεις δὲ τὰς γινομένας ἐν τοῖς συμποσίοις Λακεδαιμονίοις οὐκ ἦν ἔθος ποιεῖν, οὐδὲ φιλοτησίας διὰ τούτων πρὸς ἀλλήλους ποιεῖσθαι. δηλοῖ δὲ ταῦτα Κριτίας ἐν τοῖς ἐλεγείοις

καὶ τόδ' ἔθος Σπάρτῃ μελέτημά τε κείμενόν ἐστιν,
πίνειν τὴν αὐτὴν οἰνοφόρον κύλικα,
μηδ' ἀποδωρεῖσθαι προπόσεις ὀνομαστὶ λέγοντα,
μηδ' ἐπὶ δεξιτερὰν χεῖρα κύκλῳ θιάσου . . . e
ἄγγε' ἃ Λυδὴ χεὶρ εὗρ' ἀσιατογενὴς
καὶ προπόσεις ὀρέγειν ἐπιδέξια, καὶ προκαλεῖσθαι
ἐξονομακλήδην ᾧ προπιεῖν ἐθέλει.
εἶτ' ἀπὸ τοιούτων πόσεων γλώσσας τε λύουσιν
εἰς αἰσχροὺς μύθους, σῶμά τ' ἀμαυρότερον
τεύχουσιν· πρὸς δ' ὄμματ' ἀχλὺς ἀμβλωπὸς ἐφίζει·
λῆστις δ' ἐκτήκει μνημοσύνην πραπίδων·
νοῦς δὲ παρέσφαλται· δμῶες δ' ἀκόλαστον ἔχουσιν f
ἦθος· ἐπεισπίπτει δ' οἰκοτριβὴς δαπάνη.
οἱ Λακεδαιμονίων δὲ κόροι πίνουσι τοσοῦτον,
ὥστε φρέν' εἰς ἱλαρὰν ἐλπίδα πάντας ἄγειν,
εἴς τε φιλοφροσύνην γλῶσσαν μέτριόν τε γέλωτα.
τοιαύτη δὲ πόσις σώματί τ' ὠφέλιμος
γνώμῃ τε κτήσει τε· καλῶς δ' εἰς ἔργ' Ἀφροδίτης

433 πρός θ' ὕπνον ἥρμοσται, τὸν καμάτων λιμένα,
πρὸς τὴν τερπνοτάτην τε θεῶν θνητοῖς ὑγίειαν,
καὶ τὴν εὐσεβίης γείτονα σωφροσύνην.

ἑξῆς τε πάλιν φησίν

αἱ γὰρ ὑπὲρ τὸ μέτρον κυλίκων προπόσεις παραχρῆμα
τέρψασαι λυποῦσ' εἰς τὸν ἅπαντα χρόνον.
ἡ Λακεδαιμονίων δὲ δίαιθ' ὁμαλῶς διάκειται,
b ἔσθειν καὶ πίνειν σύμμετρα πρὸς τὸ φρονεῖν
καὶ τὸ πονεῖν εἶναι δυνατούς· οὐκ ἔστ' ἀπότακτος
ἡμέρα οἰνῶσαι σῶμ' ἀμέτροισι πότοις.

42. φίλοινος δέ ἐστιν ὁ πρὸς οἶνον ἕτοιμος. φιλοπότης δὲ ὁ πρὸς πότους. κωθωνιστὴς δὲ ὁ μέχρι μέθης. πλεῖστον δὲ ἔπιε τῶν μὲν ἡρώων Νέστωρ ὁ τριγέρων. φανερῶς γὰρ αὐτὸς προσέκειτο τῶν ἄλλων μᾶλλον τῷ οἴνῳ, καὶ τοῦ Ἀγαμέμνονος αὐτοῦ, ὃν ὡς πολυπότην ἐπιπλήσσει ὁ Ἀχιλλεύς. ὁ δὲ Νέστωρ καὶ
c τῆς μεγίστης μάχης ἐνεστηκυίας οὐκ ἀπέχεται καὶ τοῦ πίνειν. φησὶ γοῦν Ὅμηρος

Νέστορα δ' οὐκ ἔλαθεν ἰαχή, πίνοντά περ ἔμπης.

καὶ μόνου δὲ τούτου τῶν ἡρώων τὸ ποτήριον ἡρμήνευκεν, ὡς τὴν Ἀχιλλέως ἀσπίδα. ἐστρατεύετο γὰρ μετ' αὐτοῦ, καθάπερ καὶ τῆς ἀσπίδος ἐκείνης, ἧς φησὶν ὁ Ἕκτωρ καὶ μέχρι οὐρανοῦ ἥκειν τὸ κλέος. οὐκ ἂν ἁμάρτοι δέ τις καὶ τὸ ποτήριον αὐτοῦ λέγων φιάλην Ἄρεως κατὰ τὸν Ἀντιφάνους Καινέα, ἐν ᾧ λέγεται οὕτως

εἰ τῇ δῆλος φιάλην Ἄρεως,
κατὰ Τιμόθεον, ξυστόν τε βέλος.

d ἀλλὰ μὴν καὶ διὰ τὴν φιλοποσίαν ὁ Νέστωρ καὶ παρ' Ἀχιλλέως λαμβάνει δῶρον φιάλην ἐν τῷ ἐπὶ Πατρόκλῳ ἐπιτελουμένῳ ἀγῶνι, οὐχ ὅτι καὶ οὐχὶ τῷ νικη-

θέντι ἔδωκε δέπας ὁ Ἀχιλλεύς. τοῖς γὰρ φιλοπόταις οὐ παρέπεται τὸ νικᾶν διὰ τὸ ῥάθυμον ἢ ὅτι διὰ δίψαν μάλιστα λείπονται οἱ πύκται, διὰ τὸ βαρεῖσθαι τὰς χεῖρας ἀνατείνοντες. ὁ δὲ Εὔμηλος λαμβάνει θώρακα, δραμὼν ἆθλον ἐπισφαλῶς καὶ ἀμυχθείς, ἀσφαλείας ὅπλον.

43. τῆς δὲ δίψης οὐδέν ἐστι πολυποθητότερον. e
διόπερ καὶ τὸ Ἄργος πολυδίψιον ὁ ποιητὴς ἔφη, τὸ πολυπόθητον διὰ τὸν χρόνον. τὸ δίψος γὰρ πᾶσιν ἰσχυρὰν ἐπιθυμίαν ἐμποιεῖ τῆς περιττῆς ἀπολαύσεως. διὸ καὶ ὁ Σοφοκλῆς φησί

διψῶντι γάρ τοι πάντα προσφέρων σοφὰ
οὐκ ἂν πλέον τέρψειας ἢ πιεῖν διδούς.

καὶ ὁ Ἀρχίλοχος

μάχης δὲ τῆς σῆς, ὥστε διψέων πιεῖν,
ὣς ἐρέω.

καὶ τῶν τραγικῶν δέ τις ἔφη

ἴσχειν κελεύω χεῖρα διψῶσαν φόνου. f

καὶ Ἀνακρέων

φίλη γὰρ εἶ ξένοις·
ἔασον δέ με διψῶντα πιεῖν.

καὶ Ξενοφῶν δὲ ἐν τῷ πέμπτῳ τῆς Παιδείας ποιεῖ τὸν Κῦρον τάδε λέγοντα 'ἐγὼ ὑμῖν διψῶ χαρίσασθαι.' Πλάτων δ' ἐν τῇ Πολιτείᾳ 'ὅταν οἶμαι δημοκρατουμένη πόλις ἐλευθερίας διψήσασα κακῶν οἰνοχόων προστατούντων τύχῃ, καὶ πορρωτέρω τοῦ δέοντος ἀκράτου μεθυσθῇ.'

44. ἔπινε δὲ καὶ Πρωτέας ὁ Μακεδὼν πλεῖστον, 434
ὥς φησιν Ἔφιππος ἐν τῷ περὶ τῆς Ἀλεξάνδρου καὶ Ἡφαιστίωνος ταφῆς· καὶ εὐρώστῳ τῷ σώματι διῆγε, καίτοι τῷ πιεῖν ἐγγεγυμνασμένος ὤν. Ἀλέξανδρος γοῦν αἰτήσας ποτὲ ποτήριον δίχουν καὶ πιὼν προὔπιε

τῷ Πρωτέᾳ. καὶ ὃς λαβὼν καὶ πολλὰ ὑμνήσας τὸν βασιλέα ἔπιεν ὡς ὑπὸ πάντων κροταλισθῆναι. καὶ μετ᾽ ὀλίγον τὸ αὐτὸ ποτήριον αἰτήσας ὁ Πρωτέας καὶ πάλιν πιὼν προὔπιε τῷ βασιλεῖ. ὁ δὲ Ἀλέξανδρος b λαβὼν ἔσπασε μὲν γενναίως, οὐ μὴν ὑπήνεγκεν, ἀλλ᾽ ἀπέκλινεν ἐπὶ τὸ προσκεφάλαιον, ἀφεὶς τῶν χειρῶν τὸ ποτήριον. καὶ ἐκ τούτου νοσήσας ἀπέθανε, τοῦ Διονύσου, φησί, μηνίσαντος αὐτῷ, διότι τὴν πατρίδα αὐτοῦ τὰς Θήβας ἐπολιόρκησεν. ἔπινε δὲ ὁ Ἀλέξανδρος πλεῖστον, ὡς καὶ ἀπὸ τῆς μέθης συνεχῶς κοιμᾶσθαι δύο ἡμέρας καὶ δύο νύκτας. δηλοῦται δὲ τοῦτο ἐν ταῖς ἐφημερίσιν αὐτοῦ, ἃς ἀνέγραψαν Εὐμένης τε ὁ Καρδιανὸς καὶ Διόδοτος ὁ Ἐρυθραῖος. Μένανδρος δ᾽ ἐν Κόλακί φησι

c κοτύλας χωροῦν δέκα
ἐν Καππαδοκίᾳ κόνδυ χρυσοῦν, Στρουθία,
τρὶς ἐξέπιον εἷς ὤν. Β. Ἀλεξάνδρου πλέον
τοῦ βασιλέως πέπωκας. Α. οὐκ ἔλαττον οὔ,
μὰ τὴν Ἀθηνᾶν. Β. μέγα γε.

Νικοβούλη δὲ ἢ ὁ ἀναθεὶς ταύτῃ τὰ συγγράμματα φησὶν ὅτι παρὰ Μηδείῳ τῷ Θεσσαλῷ δειπνῶν ὁ Ἀλέξανδρος εἴκοσιν οὖσιν ἐν τῷ συμποσίῳ πᾶσι προὔπιε, παρὰ πάντων τὰ ἴσα λαμβάνων, καὶ ἀναστὰς τοῦ συμποσίου μετ᾽ οὐ πολὺ ἀνεπαύετο. Καλλισθένης δὲ d ὁ σοφιστής, ὡς Λυγκεὺς ὁ Σάμιός φησιν ἐν τοῖς ἀπομνημονεύμασι καὶ Ἀριστόβουλος καὶ Χάρης ἐν ταῖς ἱστορίαις, ἐν τῷ συμποσίῳ τοῦ Ἀλεξάνδρου τῆς τοῦ ἀκράτου κύλικος εἰς αὐτὸν ἐλθούσης, ὡς διωθεῖτο, εἰπόντος τινὸς αὐτῷ, διὰ τί οὐ πίνεις; οὐδὲν δέομαι, ἔφη, Ἀλεξάνδρου πιὼν τοῦ Ἀσκληπιοῦ δεῖσθαι.

45. Δαρεῖος δὲ ὁ τοὺς μάγους ἀνελὼν ἐπιγεγραμμένον εἶχεν ἐπὶ τοῦ μνήματος ἠ δ υ ν ά μ η ν  κ α ὶ  ο ἶ-

νον πίνειν πολὺν καὶ τοῦτον φέρειν καλῶς. Κτησίας δὲ παρ' Ἰνδοῖς φησὶν οὐκ εἶναι τῷ βασιλεῖ e
μεθυσθῆναι. παρὰ δὲ Πέρσαις τῷ βασιλεῖ ἐφίεται μεθύσκεσθαι μιᾷ ἡμέρᾳ, ἐν ᾗ θύουσι τῷ Μίθρῃ. γράφει δὲ οὕτως περὶ τούτου Δοῦρις ἐν τῇ ἑβδόμῃ τῶν ἱστοριῶν 'ἐν μόνῃ τῶν ἑορτῶν τῶν ἀγομένων ὑπὸ Περσῶν τῷ Μίθρῃ βασιλεὺς μεθύσκεται καὶ τὸ περσικὸν ὀρχεῖται· τῶν δὲ λοιπῶν οὐδεὶς κατὰ τὴν Ἀσίαν, ἀλλὰ πάντες ἀπέχονται κατὰ τὴν ἡμέραν ταύτην τῆς ὀρχήσεως. Πέρσαι γὰρ ὥσπερ ἱππεύειν οὕτω καὶ ὀρχεῖσθαι μανθάνουσι· καὶ νομίζουσι τὴν ἐκ τῆς ἐργασίας ταύτης κίνησιν ἐμμελῆ τινὰ λαμβάνειν f
γυμνασίαν τῆς τοῦ σώματος ῥώμης.' εἰς τοσοῦτον δὲ Ἀλέξανδρος ἐμέθυεν, ὥς φησι Καρύστιος ὁ Περγαμηνὸς ἐν ἱστορικοῖς ὑπομνήμασιν, ὡς καὶ ἐπὶ ὄνων ἅρματος κωμάζειν. ἐποίουν δὲ τοῦτο, φησί, καὶ οἱ τῶν Περσῶν βασιλεῖς. μήποτ' οὖν διὰ τοῦτο οὐδὲ πρὸς τὰ ἀφροδίσια εἶχεν ὁρμήν. ἐξυδαροῦσθαι γάρ φησιν ὁ Ἀριστοτέλης ἐν τοῖς φυσικοῖς προβλήμασι τῶν τοιούτων τὴν γονήν. Ἱερώνυμός τε ἐν ταῖς Ἐπιστολαῖς Θεόφραστόν φησι λέγειν ὅτι Ἀλέξανδρος οὐκ 435
εὖ διέκειτο πρὸς τὰ ἀφροδίσια. Ὀλυμπιάδος γοῦν καὶ παρανακλινάσης αὐτῷ Καλλιξέναν τὴν θετταλὴν ἑταίραν περικαλλεστάτην οὖσαν, συνειδότος τοῦτο καὶ τοῦ Φιλίππου (εὐλαβοῦντο γὰρ μὴ γύννις εἴη) πολλάκις ᾔτει αὐτὴ τὸν Ἀλέξανδρον συγγενέσθαι.

46. καὶ Φίλιππος ὁ τοῦ Ἀλεξάνδρου πατὴρ φιλοπότης ἦν, ὡς ἱστορεῖ Θεόπομπος ἐν τῇ ἕκτῃ καὶ εἰκοστῇ τῶν ἱστοριῶν. κἀν ἄλλῳ δὲ μέρει τῆς ἱστορίας b
γράφει 'Φίλιππος ἦν τὰ μὲν φύσει μανικὸς καὶ προπετὴς ἐπὶ τῶν κινδύνων, τὰ δὲ διὰ μέθην. ἦν γὰρ πολυπότης καὶ πολλάκις μεθύων ἐξεβοήθει.' ἐν δὲ

τῇ τρίτῃ καὶ πεντηκοστῇ περὶ τῶν ἐν Χαιρωνείᾳ γε-
νομένων εἰπὼν καὶ ὡς ἐπὶ δεῖπνον ἐκάλεσε τοὺς πα-
ραγενομένους τῶν Ἀθηναίων πρέσβεις, φησίν ‛ὁ δὲ
Φίλιππος ἀποχωρησάντων ἐκείνων εὐθέως μετε-
πέμπετό τινας τῶν ἑταιρῶν, καλεῖν τ᾽ ἐκέλευε τὰς
αὐλητρίδας καὶ Ἀριστόνικον τὸν κιθαρῳδὸν καὶ Δω-
c ρίωνα τὸν αὐλητὴν καὶ τοὺς ἄλλους τοὺς εἰθισμένους
αὐτῷ συμπίνειν. περιήγετο γὰρ πανταχοῦ τοὺς τοι-
ούτους ὁ Φίλιππος, καὶ κατασκευασάμενος ἦν ὄργανα
πολλὰ συμποσίου καὶ συνουσίας. ὢν γὰρ φιλοπότης
καὶ τὸν τρόπον ἀκόλαστος καὶ βωμολόχους εἶχε περὶ
αὑτὸν συχνούς, καὶ τῶν περὶ τὴν μουσικὴν ὄντων
καὶ τῶν τὰ γελοῖα λεγόντων. πιὼν δὲ τὴν νύκτα πᾶ-
σαν καὶ μεθυσθεὶς πολὺ καὶ πατάξας, ἀφεὶς ἅπαντας
τοὺς ἄλλους ἀπαλλάττεσθαι, ἤδη πρὸς ἡμέραν ἐκώ-
d μαζεν ὡς τοὺς πρέσβεις τοὺς τῶν Ἀθηναίων.᾽ Κα-
ρύστιος δὲ ἐν τοῖς ἱστορικοῖς ὑπομνήμασιν ‛ὅτε (φησὶ)
μεθύειν προῃρεῖτο Φίλιππος, τοῦτ᾽ ἔλεγε, χρὴ πίνειν,
Ἀντίπατρος γὰρ ἱκανός ἐστι νήφων. κυβεύοντος δέ
ποτε αὐτοῦ καί τινος ἀγγείλαντος ὡς Ἀντίπατρος
πάρεστι, διαπορήσας ὦσεν ὑπὸ τὴν κλίνην τὸν ἄβακα.᾽

47. Φιλοπότας δὲ καὶ μεθύσους καταλέγει Θεό-
πομπος, Διονύσιον τὸν νεώτερον Σικελίας τύραννον,
ὃν καὶ τὰς ὄψεις ὑπὸ τοῦ οἴνου διαφθαρῆναι. Ἀρι-
e στοτέλης δ᾽ ἐν τῇ Συρακοσίων πολιτείᾳ καὶ συνεχῶς
φησὶν αὐτὸν ἔσθ᾽ ὅτε ἐπὶ ἡμέρας ἐνενήκοντα μεθύ-
ειν· διὸ καὶ ἀμβλυωπότερον γενέσθαι τὰς ὄψεις.
Θεόφραστος δέ φησι καὶ τοὺς ἑταίρους αὐτοῦ τοὺς
κολακεύοντας τὴν τυραννίδα προσποιεῖσθαι μὴ βλέ-
πειν καὶ ὑπ᾽ αὐτοῦ τοῦ Διονυσίου χειραγωγεῖσθαι,
καὶ μήτε τὰ παρατιθέμενα τῶν ἐδεσμάτων μήτε τὰς
κύλικας ὁρᾶν. διὸ κληθῆναι Διονυσοκόλακας. ἔπινε

δὲ πλεῖστον καὶ Νυσαῖος ὁ τυραννήσας Συρακοσίων καὶ Ἀπολλοκράτης· Διονυσίου δὲ τοῦ προτέρου οὗ- f τοι υἱοί, ὡς ὁ Θεόπομπος ἱστορεῖ ἐν τῇ τετταρακοστῇ κἀν τῇ ἑξῆς τῶν ἱστοριῶν. γράφει δὲ οὕτως περὶ τοῦ Νυσαίου ‘Νυσαῖος ὁ τυραννήσας ὕστερον Συρακοσίων, ὥσπερ ἐπὶ θανάτῳ συνειλημμένος καὶ προειδὼς ὅτι μῆνας ὀλίγους ἤμελλε βιώσεσθαι, γαστριζόμενος καὶ μεθύων διῆγεν.’ ἐν δὲ τῇ τριακοστῇ ἐνάτῃ φησίν ‘Ἀπολλοκράτης ὁ Διονυσίου τοῦ τυράννου υἱὸς ἀκόλαστος ἦν καὶ φιλοπότης· καὶ τῶν κολα- 436 κευόντων τινὲς αὐτὸν παρεσκεύαζον ὡς ἔνι μάλιστα ἀλλοτριώτατα πρὸς τὸν πατέρα διακεῖσθαι.’ καὶ Ἱππαρῖνον δὲ τὸν τοῦ Διονυσίου φησὶν ὑπὸ μέθης παροινοῦντα ἀποσφαγῆναι. περὶ δὲ τοῦ Νυσαίου καὶ τάδε γράφει ‘Νυσαῖος, ὁ Διονυσίου τοῦ προτέρου υἱός, κύριος τῶν ἐν Συρακούσαις γενόμενος πραγμάτων κατεσκευάσατο τέθριππον καὶ τὴν ἐσθῆτα τὴν ποικίλην ἀνέλαβεν, ἔτι δὲ καὶ τὴν ὀψοφαγίαν καὶ τὴν οἰνοφλυγίαν καὶ τὴν τῶν παίδων καὶ τὴν b τῶν γυναικῶν ὕβριν καὶ τὴν τῶν ἄλλων ὅσα συντελεῖν τούτοις πέφυκε καὶ τὴν δίαιταν διῆγεν οὕτως.’ ἐν δὲ τῇ τεσσαρακοστῇ πέμπτῃ ὁ αὐτὸς περὶ Τιμολάου λέγων τοῦ Θηβαίου φησίν ‘οὐκ ὀλίγων γὰρ ἤδη γενομένων ἀσελγῶν περὶ τὸν βίον τὸν καθ’ ἡμέραν καὶ τοὺς πότους οὐδένα νομίζω τῶν ἐν ταῖς πολιτείαις ὄντων οὔτ’ ἀκρατέστερον οὔτε λιχνότερον οὔτε δοῦλον γεγονέναι μᾶλλον τῶν ἡδονῶν εἰ μή, ὥσπερ εἶπον, Τιμόλαον.’ ἐν δὲ τῇ τρίτῃ καὶ εἰκοστῇ περὶ Χαριδήμου τοῦ Ὠρείτου διηγούμενος, ὃν Ἀθηναῖοι πολίτην ἐποιήσαντο, φησί c ‘τήν τε γὰρ δίαιταν ἑωρᾶτο τὴν καθ’ ἡμέραν ἀσελγῆ καὶ τοιαύτην ποιούμενος ὥστε πίνειν καὶ μεθύειν

ἀεί, καὶ γυναῖκας ἐλευθέρας ἐτόλμα διαφθείρειν, καὶ εἰς τοσοῦτον προῆλθεν ἀκρασίας, ὥστε μειράκιόν τι παρὰ τῆς βουλῆς τῆς τῶν Ὀλυνθίων αἰτεῖν ἐπεχείρησεν, ὃ τὴν μὲν ὄψιν ἦν εὐειδὲς καὶ χάριεν, ἐτύγχανε δὲ μετὰ Δέρδου τοῦ Μακεδόνος αἰχμάλωτον γεγενημένον.'

48. ἔπινε δὲ πλεῖστον καὶ Ἀρκαδίων (ἄδηλον δ'
d εἰ ὁ Φιλίππῳ διεχθρεύσας), ὡς τὸ ἐπίγραμμα δηλοῖ ὅπερ ἀνέγραψε Πολέμων ἐν τῷ περὶ τῶν κατὰ πόλεις ἐπιγραμμάτων

τοῦ πολυκώθωνος τοῦτ' ἠρίον Ἀρκαδίωνος
ἄστεος ὤρθωσαν τᾷδε παρ' ἀτραπιτῷ
υἷες Δόρκων καὶ Χαρμύλος. ἔφθιτο δ' ὠνήρ,
ἄνθρωπ', εὐχανδεῖς ζωροποτῶν κύλικας.

Ἐρασίξενον δέ τινα πεπωκέναι πλεῖστόν φησι τὸ ἐπ' αὐτῷ ἐπίγραμμα

e τὸν βαθὺν οἰνοπότην Ἐρασίξενον ἡ δὶς ἐφεξῆς
ἀκρήτου προποθεῖσ' ᾤχετ' ἔχουσα κύλιξ.

ἔνιπε δὲ πλεῖστον καὶ Ἀλκέτας ὁ Μακεδών, ὥς φησιν Ἄριστος ὁ Σαλαμίνιος, καὶ Διότιμος ὁ Ἀθηναῖος. οὗτος δὲ καὶ χώνη ἐπεκαλεῖτο· ἐντιθέμενος γὰρ τῷ στόματι χώνην ἀπαύστως ἔπινεν ἐπιχεομένου οἴνου, ὅθεν καὶ χώνη ἐπεκλήθη, ὥς φησι Πολέμων. Κλεομένης δ' ὁ Λακεδαιμόνιος ὅτι καὶ ἀκρατοπότης ἦν προείρηται· ὅτι δὲ διὰ μέθην ἑαυτὸν καὶ μαχαίρᾳ
f κατέτεμεν Ἡρόδοτος ἱστόρησε. καὶ Ἀλκαῖος δὲ ὁ ποιητὴς φιλοπότης ἦν, ὡς προεῖπον. Βάτων δ' ὁ Σινωπεὺς ἐν τοῖς περὶ Ἴωνος τοῦ ποιητοῦ φιλοπότην φησὶ γενέσθαι καὶ ἐρωτικώτατον τὸν Ἴωνα. καὶ αὐτὸς δὲ ἐν τοῖς ἐλεγείοις ἐρᾶν μὲν ὁμολογεῖ Χρυσίλλης τῆς Κορινθίας, Τελέου δὲ θυγατρός, ἧς καὶ Περικλέα τὸν ὀλύμπιον ἐρᾶν φησὶ Τηλεκλείδης ἐν Ἡσιό-

δοις. Ξέναρχος δ' ὁ Ῥόδιος διὰ τὴν πολυποσίαν με-
τρητὴς ἐπεκαλεῖτο· μνημονεύει δὲ αὐτοῦ Εὐφορίων
ὁ ἐποποιὸς ἐν Χιλιάσι.

49. Χάρης δ' ὁ Μυτιληναῖος ἐν ταῖς περὶ Ἀλέξαν-
δρον ἱστορίαις περὶ Καλάνου εἰπὼν τοῦ Ἰνδοῦ φιλο- 437
σόφου ὅτι ῥίψας ἑαυτὸν εἰς πυρὰν νενημένην ἀπέ-
θανε, φησὶν ὅτι καὶ ἐπὶ τῷ μνήματι αὐτοῦ διέθηκεν
Ἀλέξανδρος γυμνικὸν ἀγῶνα καὶ μουσικὸν ἐγκωμίων.
'ἔθηκε δὲ (φησὶ) καὶ διὰ τὴν φιλοινίαν τῶν Ἰνδῶν
καὶ ἀκρατοποσίας ἀγῶνα. καὶ ἦν ἆθλον τῷ μὲν πρώ-
τῳ τάλαντον, τῷ δὲ δευτέρῳ τριάκοντα μναῖ, καὶ τῷ
τρίτῳ δέκα. τῶν οὖν πιόντων τὸν οἶνον παραχρῆμα
μὲν ἐτελεύτησαν ὑπὸ τοῦ ψύχους τριάκοντα καὶ
πέντε, μικρὸν δὲ διαλιπόντες ἐν ταῖς σκηναῖς ἕξ. ὁ δὲ
πλεῖστον πιὼν καὶ νικήσας ἔπιε μὲν ἀκράτου χόας b
τέσσαρας καὶ τὸ τάλαντον ἔλαβεν, ἐβίωσε δὲ ἡμέρας
τέσσαρας, ἐκαλεῖτο δὲ Πρόμαχος.' Τίμαιος δέ φησιν
ὡς Διονύσιος ὁ τύραννος τῇ τῶν χοῶν ἑορτῇ τῷ
πρώτῳ ἐκπιόντι χόα ἆθλον ἔθηκε στέφανον χρυσοῦν·
καὶ ὅτι πρῶτος ἐξέπιε Ξενοκράτης ὁ φιλόσοφος, καὶ
λαβὼν τὸν χρυσοῦν στέφανον καὶ ἀναλύων τῷ Ἑρμῇ
τῷ ἱδρυμένῳ ἐπὶ τῆς αὐλῆς ἐπέθηκεν, ᾧπερ εἰώθει
καὶ τοὺς ἀνθινοὺς ἑκάστοτε ἐπιτιθέναι στεφάνους,
ἑσπέρας ἀπαλλασσόμενος ὡς αὑτόν. καὶ ἐπὶ τούτῳ
ἐθαυμάσθη. τὴν δὲ τῶν χοῶν ἑορτὴν τὴν Ἀθήνησιν
ἐπιτελουμένην Φανόδημός φησι [κτίσαι] Δημοφῶντα c
τὸν βασιλέα βουλόμενον ὑποδέξασθαι παραγενόμενον
τὸν Ὀρέστην Ἀθήναζε. πρὸς δὲ τὰ ἱερὰ οὐ θέλων
αὐτὸν προσιέναι οὐδ' ὁμόσπονδον γενέσθαι μήπω
δικασθέντα, ἐκέλευσε συγκλεισθῆναί τε τὰ ἱερὰ καὶ
χόα οἴνου ἑκάστῳ παρατεθῆναι, τῷ πρώτῳ ἐκπιόντι
εἰπὼν ἆθλον δοθήσεσθαι πλακοῦντα. παρήγγειλέ τε

καὶ τοῦ πότου παυσαμένους τοὺς μὲν στεφάνους οἷς ἐστεφάνωντο πρὸς τὰ ἱερὰ μὴ τιθέναι, διὰ τὸ ὁμο- d ρόφους γενέσθαι τῷ Ὀρέστῃ, περὶ δὲ τὸν χόα τὸν ἑαυτοῦ ἕκαστον περιθεῖναι καὶ τῇ ἱερείᾳ ἀποφέρειν τοὺς στεφάνους πρὸς τὸ ἐν Λίμναις τέμενος, ἔπειτα θύειν ἐν τῷ ἱερῷ τὰ ἐπίλοιπα. καὶ ἔκτοτε τὴν ἑορτὴν κληθῆναι χόας. τῇ δὲ ἑορτῇ τῶν χοῶν ἔθος ἐστὶν Ἀθήνησι πέμπεσθαι δῶρά τε καὶ τοὺς μισθοὺς τοῖς σοφισταῖς, οἵπερ καὶ αὐτοὶ συνεκάλουν ἐπὶ ξένια τοὺς γνωρίμους, ὥς φησιν Εὐβουλίδης ὁ διαλεκτικὸς ἐν δράματι Κωμασταῖς οὕτως

σοφιστιᾷς, κάκιστε, καὶ χοῶν δέει
e τῶν μισθοδώρων, σῦκα δειπνῶν ἐν τρυφῇ.

50. Ἀντίγονος δὲ ὁ Καρύστιος ἐν τῷ περὶ τοῦ Διονυσίου βίου τοῦ Ἡρακλεώτου τοῦ ἐπικληθέντος Μεταθεμένου φησὶ τὸν Διονύσιον τοῖς οἰκέταις συνεορτάζοντα ἐν τῇ τῶν χοῶν ἑορτῇ καὶ μὴ δυνάμενον διὰ γῆρας χρῆσθαι ᾗ παρειλήφεσαν ἑταίρᾳ ὑποστρέψαντα εἰπεῖν πρὸς τοὺς συνδειπνοῦντας

οὐ δύναμαι τανύσαι, λαβέτω δὲ καὶ ἄλλος.

ἦν δὲ ὁ Διονύσιος ἔτι ἐκ νέου, ὥς φησι Νικίας ὁ Νικαεὺς ἐν ταῖς Διαδοχαῖς, πρὸς τὰ ἀφροδίσια ἐκμανὴς f καὶ πρὸς τὰς δημοσίας εἰσῄει παιδίσκας ἀδιαφόρως. καί ποτε πορευόμενος μετά τινων γνωρίμων ὡς ἐγένετο κατὰ τὸ παιδισκεῖον, εἰς ὃ τῇ προτεραίᾳ παρεληλυθὼς ὤφειλε χαλκοῦς ἓξ ἔχων τότε κατὰ τύχην ἐκτείνας τὴν χεῖρα πάντων ὁρώντων ἀπεδίδου. Ἀνάχαρσις δ' ὁ Σκύθης, παρὰ Περιάνδρῳ τεθέντος ἄθλου περὶ τοῦ πίνειν, ᾔτησε τὸ νικητήριον πρῶτος με- 438 θυσθεὶς τῶν συμπαρόντων, ὡς ὄντος τέλους τούτου καὶ τῆς ἐν τῷ πότῳ νίκης ὥσπερ καὶ τῆς ἐν τῷ τρέχειν. Λακύδης δὲ καὶ Τίμων οἱ φιλόσοφοι κληθέντες

πρός τινα τῶν γνωρίμων ἐπὶ δύο ἡμέρας, καὶ βουλόμενοι συμπεριφέρεσθαι τοῖς παροῦσιν, ἔπινον προθυμότερον. τῇ μὲν οὖν πρώτῃ τῶν ἡμερῶν ὁ Λακύδης ἀπῄει πρότερος ἐπιπολάσαντος αὐτῷ τοῦ ποτοῦ. καὶ ὁ Τίμων ὁρῶν αὐτὸν ἀπιόντα ἔφη

ἠράμεθα μέγα κῦδος, ἐπέφνομεν Ἕκτορα δῖον.

τῇ δ᾽ ὑστεραίᾳ προαπιόντος τοῦ Τίμωνος, διὰ τὸ μὴ δυνηθῆναι ἐκπιεῖν τὴν προποθεῖσαν αὐτῷ κύλικα, ὁ Λακύδης ἰδὼν αὐτὸν ἐπανάγοντα εἶπε b

δυστήνων δέ τε παῖδες ἐμῷ μένει ἀντιόωσι.

51. *Μυκερῖνον* δὲ τὸν *Αἰγύπτιον* ὁ *Ἡρόδοτος* ἱστορεῖ διὰ τῆς δευτέρας ἀκούσαντα παρὰ τῶν μάντεων ὅτι ὀλιγοχρόνιός ἐστι, λύχνα ποιησάμενον πολλὰ ὁπότε γένοιτο νύξ, πίνειν καὶ εὐπαθεῖν οὔτε ἡμέρας οὔτε νυκτὸς ἀνιέντα· καὶ εἰς τὰ ἕλεα δὲ καὶ τὰ ἄλσεα νεμόμενον, ἔτι δὲ ὅπου πύθοιτο ἡβητήρια εἶναι, μεθύσκεσθαι. καὶ Ἄμασιν δὲ τὸν καὶ αὐτὸν Αἰγυπτίων βασιλέα Ἡρόδοτος πολλὰ πεπωκέναι φησί. Ἑρμείας δ᾽ ὁ Μηθυμναῖος ἐν τρίτῃ Σικελικῶν φιλοπότην φησὶ c γενέσθαι Νικοτέλη τὸν Κορίνθιον. Φανίας δὲ ὁ Ἐρέσιος ἐν τῷ ἐπιγραφομένῳ Τυράννων ἀναίρεσις ἐκ τιμωρίας Σκόπαν φησὶ τὸν Κρέοντος μὲν υἱόν, Σκόπα δὲ τοῦ παλαιοῦ υἱδοῦν, φιλοποτοῦντα διατελέσαι καὶ τὴν ἐπάνοδον τὴν ἀπὸ τῶν συμποσίων ποιεῖσθαι ἐπὶ θρόνου καθήμενον, καὶ ὑπὸ τεσσάρων βασταζόμενον οὕτως οἴκαδε ἀπιέναι. Φύλαρχος δὲ ἐν τῇ ἕκτῃ τῶν ἱστοριῶν Ἀντίοχόν φησι τὸν βασιλέα φίλοινον γενόμενον μεθύσκεσθαί τε καὶ κοιμᾶσθαι ἐπὶ πλέον, εἶθ᾽ d ἑσπέρας πάλιν ἀφυπνιζόμενον ἐπιπίνειν. ἐχρημάτιζέ τε, φησί, νήφων μὲν βραχέα τελέως, μεθύων δὲ τὰ πολλά. διὸ περὶ αὐτὸν δύο ἦσαν οἱ διοικοῦντες τὴν βασιλείαν, Ἄριστος καὶ Θεμίσων, Κύπριοι μὲν γέ-

νος καὶ ἀδελφοί, ἐρώμενοι δὲ ἀμφότεροι τοῦ Ἀντιόχου.

52. πολυπότης δὲ ἦν καὶ Ἀντίοχος ὁ βασιλεὺς ὁ κληθεὶς ἐπιφανής, ὁ ὁμηρεύσας παρὰ Ῥωμαίοις, ὃν ἱστορεῖ Πτολεμαῖος ὁ εὐεργέτης ἐν τῷ πρώτῳ τῶν
e ὑπομνημάτων κἀν τῷ πέμπτῳ, φάσκων αὐτὸν εἰς τοὺς νεανικοὺς κώμους καὶ μέθας τραπέντα πολλὰ ἀναλίσκειν. καὶ τὰ περιλειπόμενα δὲ τῶν χρημάτων μεθ᾽ ἡμέραν κωμάζων ὁτὲ μὲν ἐξέχει, ἄλλοτε δὲ ἐν ταῖς δημοσίαις ὁδοῖς ἱστάμενος ἔλεγε, τίνι ἡ τύχη δίδωσι λαβέτω. καὶ ῥίψας τὸ ἀργύριον ᾤχετο. πολλάκις δὲ καὶ πλεκτὸν στέφανον ῥόδων ἔχων ἐπὶ τῆς κεφαλῆς καὶ χρυσοϋφῆ τήβενναν φορῶν μόνος ἐρέμβετο, λίθους ὑπὸ μάλης ἔχων, οἷς ἔβαλλε τῶν ἰδιωτῶν τοὺς ἀκολουθοῦντας αὐτῷ. ἐλούετό τε καὶ εἰς τοὺς
f κοινοὺς λουτρῶνας μύροις ἀλειφόμενος. ὅτε καί ποτε συνιδών τις αὐτὸν ἰδιώτης ἔφη, μακάριος εἶ, ὦ βασιλεῦ, πολυτελὲς ὄζεις. καὶ ὃς ἡσθείς, ἐγώ σε, φησίν, ὑπέρκορον τούτου ποιήσω. καὶ κατὰ τῆς κεφαλῆς αὐτοῦ ὑδρίσκην ὑπὲρ δύο χόας ἔχουσαν παχέος μύρου καταχυθῆναι ἐκέλευσεν, ὡς καὶ τὸ πλῆθος τῶν ἀγοραιοτέρων εἰς τὸ ἐκχυθὲν συγκυλισθῆναι. ὀλίσθου τε γενομένου αὐτός τε ὁ Ἀντίοχος ἔπεσε καχάζων καὶ οἱ πλεῖστοι τῶν λουομένων τὸ αὐτὸ
439 ἔπασχον. Πολύβιος δ᾽ ἐν τῇ ἕκτῃ καὶ εἰκοστῇ τῶν ἱστοριῶν καλεῖ αὐτὸν ἐπιμανῆ, καὶ οὐκ ἐπιφανῆ, διὰ τὰς πράξεις. οὐ μόνον γὰρ μετὰ δημοτῶν ἀνθρώπων κατέβαινεν εἰς ὁμιλίας, ἀλλὰ καὶ μετὰ τῶν παρεπιδημούντων ξένων καὶ τῶν εὐτελεστάτων συνέπινεν. εἰ δὲ καὶ τῶν νεωτέρων, φησί, συναίσθοιτό τινας εὐωχουμένους ὁπουδήποτε, παρῆν μετὰ κεραμίου καὶ συμφωνίας, ὥστε τοὺς πολλοὺς διὰ τὸ πα-

ράδοξον ἀνισταμένους φεύγειν. πολλάκις δὲ καὶ τὴν βασιλικὴν ἐσθῆτα ἀποβαλὼν τήβενναν ἀναλαβὼν b περιήει τὴν ἀγοράν.'

53. ἐν δὲ τῇ πρώτῃ καὶ τριακοστῇ ὁ αὐτὸς Πολύβιός φησι συντελοῦντα αὐτὸν ἐν τῇ Ἀντιοχείᾳ ἀγῶνας συγκαλέσαι πάντας Ἕλληνας καὶ τῶν βουλομένων τοὺς πολλοὺς ἐπὶ τὴν θέαν. καὶ πλείστων παραγινομένων ἐν τοῖς γυμνασίοις πάντας ἐκ χρυσῶν ὁλκείων ἤλειφε κροκίνῳ μύρῳ καὶ κινναμωμίνῳ καὶ ναρδίνῳ καὶ ἀμαρακίνῳ καὶ ἰρίνῳ. καὶ συγκαλῶν αὐτοὺς εἰς εὐωχίαν ποτὲ μὲν χίλια τρίκλινα ποτὲ δὲ χίλια πεντακόσια συνεπλήρου μετὰ πολυτελεστάτης c κατασκευῆς. καὶ ὁ χειρισμὸς τῆς διακονίας δι' αὐτοῦ ἐγίνετο. κατὰ γὰρ τὰς εἰσόδους ἐφιστάμενος οὓς μὲν εἰσῆγεν οὓς δ' ἀνέκλινεν. καὶ τοὺς διακόνους δὲ τοὺς τὰς παραθέσεις εἰσφέροντας αὐτὸς εἰσῆγεν. καὶ περιπορευόμενος οὗ μὲν προσεκάθιζεν οὗ δὲ προσανέπιπτε. καὶ ποτὲ μὲν ἀποθέμενος μεταξὺ τὸν ψωμὸν ποτὲ δὲ τὸ ποτήριον ἀνεπήδα καὶ μετανίστατο, καὶ περιήει τὸν πότον προπόσεις λαμβάνων ὀρθὸς ἄλλοτε παρ' ἄλλοις, ἅμα δὲ τοῖς ἀκροάμασι προσπαί- d ζων, καὶ ὑπὸ τῶν μίμων εἰσεφέρετο ὅλος συγκεκαλυμμένος καὶ ἐτίθετο εἰς τὴν γῆν ὡς εἷς ὢν τῶν μίμων· καὶ τῆς συμφωνίας προκαλουμένης ὁ βασιλεὺς ἀναπηδήσας ὠρχεῖτο καὶ προσέπαιζε τοῖς μίμοις, ὥστε πάντας αἰσχύνεσθαι. τοιαῦτα ἀπεργάζεται τοὺς ταλαιπώρους ἡ πρὸς τῇ μέθῃ ἀπαιδευσία.' φιλοπότης δ' ἦν καὶ ὁ ὁμώνυμος αὐτῷ Ἀντίοχος ἐν Μηδίᾳ πρὸς Ἀρσάκην πολεμήσας, ὡς ἱστορεῖ Ποσειδώνιος ὁ Ἀπα- e μεὺς ἐν τῇ ἑκκαιδεκάτῃ τῶν ἱστοριῶν. ἀναιρεθέντος γοῦν αὐτοῦ τὸν Ἀρσάκην θάπτοντα αὐτὸν λέγειν 'ἔσφηλέ σε Ἀντίοχε θράσος καὶ μέθη. ἤλπιζες γὰρ

ἐν μεγάλοις ποτηρίοις τὴν Ἀρσάκου βασιλείαν ἐκπιεῖν.'

54. ''Ἀντίοχος δὲ ὁ μέγας ἐπικαλούμενος, ὃν Ῥωμαῖοι καθεῖλον, ὡς ἱστορεῖ Πολύβιος ἐν τῇ εἰκοστῇ, παρελθὼν εἰς Χαλκίδα τῆς Εὐβοίας συνετέλει γάμους, πεντήκοντα μὲν ἔτη γεγονώς, καὶ δύο τὰ μέγιστα τῶν ἔργων ἀνειληφώς, τήν τε τῶν Ἑλλήνων ἐλευθέρωσιν, ὡς αὐτὸς ἐπηγγέλλετο, καὶ τὸν πρὸς
f Ῥωμαίους πόλεμον. ἐρασθεὶς γοῦν παρθένου Χαλκιδικῆς, κατὰ τὸν τοῦ πολέμου καιρὸν ἐφιλοτιμήσατο γῆμαι αὐτὴν οἰνοπότης ὢν καὶ μέθαις χαίρων. ἦν δ' αὕτη Κλεοπτολέμου μὲν θυγάτηρ ἑνὸς τῶν ἐπιφανῶν, κάλλει δὲ πάσας ὑπερβάλλουσα. καὶ τοὺς γάμους συντελῶν ἐν τῇ Χαλκίδι, αὐτόθι διέτριψε τὸν χειμῶνα τῶν ἐνεστώτων οὐδ' ἡντινοῦν ποιούμενος πρόνοιαν. ἔθετο δὲ καὶ τῇ παιδὶ ὄνομα Εὔβοιαν. ἡττηθεὶς οὖν τῷ πολέμῳ ἔφυγεν εἰς Ἔφεσον μετὰ τῆς νεογάμου.' ἐν δὲ τῇ δευτέρᾳ ὁ αὐτὸς Πολύβιος ἱστορεῖ Ἄγρωνα τὸν Ἰλλυριῶν βασιλέα ἡσθέντα ἐπὶ
440 τῷ νενικηκέναι τοὺς μέγα φρονοῦντας Αἰτωλούς, πολυπότην ὄντα καὶ εἰς μέθας καὶ εὐωχίας τραπέντα, πλευρίτιδι ληφθέντα ἀποθανεῖν. ἐν δὲ τῇ ἐνάτῃ καὶ εἰκοστῇ ὁ αὐτὸς Γενθίωνά φησι τὸν τῶν Ἰλλυριῶν βασιλέα διὰ τὴν πολυποσίαν πολλὰ ποιεῖν ἀσελγῆ κατὰ τὸν βίον, νύκτωρ τε ἀεὶ καὶ μεθ' ἡμέραν μεθύοντα. ἀποκτείναντα δὲ καὶ Πλεύρατον τὸν ἀδελφόν, γαμεῖν μέλλοντα τὴν Μενουνίου θυγατέρα, αὐτὸν γῆμαι τὴν παῖδα καὶ ὠμῶς χρῆσθαι τοῖς ἀρχο-
b μένοις. καὶ Δημήτριον δέ φησι τὸν ἐκ τῆς Ῥώμης τὴν ὁμηρείαν διαφυγόντα ἐν τῇ τρίτῃ καὶ τριακοστῇ βασιλεύσαντα Σύρων πολυπότην ὄντα τὸ πλεῖστον τῆς ἡμέρας μεθύσκεσθαι. Ὀροφέρνην τε ὀλίγον χρόνον Καππαδοκίας βασιλεύσαντα καὶ παριδόντα τὰς

πατρίους ἀγωγάς φησιν ἐν τῇ τριακοστῇ δευτέρᾳ εἰσαγαγεῖν τὴν ἰακὴν καὶ τεχνητὴν ἀσωτίαν.

55. διόπερ ὁ θειότατος Πλάτων καλῶς νομοθετεῖ ἐν τῷ δευτέρῳ ‘τοὺς παῖδας μέχρι ἐτῶν ὀκτωκαίδεκα τὸ παράπαν οἴνου μὴ γεύεσθαι· οὐ γὰρ χρὴ πῦρ ἐπὶ c πῦρ ὀχετεύειν· οἴνου δὲ μετρίου γεύεσθαι μέχρι τριάκοντα ἐτῶν, μέθης δὲ καὶ πολυοινίας τὸ παράπαν τὸν νέον ἀπέχεσθαι· τετταράκοντα δὲ ἐπιβαίνοντα ἐτῶν ἐν τοῖς συσσιτίοις εὐωχηθέντα καλεῖν τούς τε ἄλλους θεοὺς καὶ δὴ Διόνυσον παρακαλεῖν εἰς τὴν τῶν πρεσβυτῶν τελετὴν ἅμα καὶ παιδείαν, ἣν τοῖς ἀνθρώποις ἐπίκουρον τῆς τοῦ γήρως αὐστηρότητος ἐδωρήσατο τὸν οἶνον φάρμακον, ὥστε ἀνηβᾶν ἡμᾶς καὶ δυσθυμίας λήθην γίγνεσθαι.’ καὶ ἑξῆς δέ φησι ‘λόγος καὶ φήμη ὑπορρεῖ ὡς ὁ θεὸς οὗτος ὑπὸ d τῆς μητρυιᾶς Ἥρας διεφορήθη τῆς ψυχῆς τὴν γνώμην· διὸ τάς τε βακχείας καὶ τὴν μανικὴν πᾶσαν ἐμβάλλει χορείαν τιμωρούμενος· ὅθεν καὶ τὸν οἶνον ἐπὶ τοῦτ’ αὐτὸ δεδώρηται.’

56. Φάλαικος δ’ ἐν τοῖς ἐπιγράμμασι γυναῖκά τινα ἀναγράφει πολυπότιν Κλεὼ ὄνομα

χρυσῷ τὸν κροκόεντα περιζώσασα χιτῶνα
τόνδε Διωνύσῳ δῶρον ἔδωκε Κλεώ,
οὕνεκα συμποσίοισι μετέπρεπεν· ἶσα δὲ πίνειν
οὔτις οἱ ἀνδρῶν ἤρισεν οὐδαμά πω. e

ὅτι δὲ φίλοινον τὸ τῶν γυναικῶν γένος κοινόν. οὐκ ἀχαρίτως δὲ καὶ ὁ Ξέναρχος ἐν τῷ Πεντάθλῳ γυναῖκά τινα εἰσάγει φρικτότατον ὅρκον ὀμνύουσαν τόνδε

ἐμοὶ γένοιτο σοῦ ζώσης, τέκνον,
ἐλευθέριον πιοῦσαν οἶνον ἀποθανεῖν.

παρὰ Ῥωμαίοις δέ, ὥς φησι Πολύβιος ἐν τῇ ἕκτῃ, ἀπείρηται γυναιξὶ πίνειν οἶνον. τὸν δὲ καλούμενον

πάσσον πίνουσι. τοῦτο δὲ ποιεῖται μὲν ἐκ τῆς ἀστα-
f φίδος, καὶ ἔστι παραπλήσιος πινόμενος τῷ αἰγοσθε-
νίτῃ τῷ γλυκεῖ καὶ τῷ κρητικῷ. διὸ πρὸς τὸ κατ-
επεῖγον τοῦ δίψους χρῶνται αὐτῷ. λαθεῖν δέ ἐστιν
ἀδύνατον τὴν γυναῖκα πιοῦσαν οἶνον. πρῶτον μὲν
γὰρ οὐδ' ἔχει οἴνου κυρείαν ἡ γυνή· πρὸς δὲ τούτοις
φιλεῖν δεῖ τοὺς συγγενεῖς τοὺς ἑαυτῆς καὶ τοὺς τοῦ
ἀνδρὸς ἕως ἐξανεψίων, καὶ τοῦτο ποιεῖν καθ' ἡμέραν
ὁπόταν ἴδῃ πρῶτον. λοιπόν, ἀδήλου τῆς ἐντυχίας
οὔσης τίσιν ἀπαντήσει, φυλάσσεται· τὸ γὰρ πρᾶγμα,
441 κἂν γεύσηται μόνον, οὐ προσδεῖ διαβολῆς. Ἄλκι-
μος δ' ὁ Σικελιώτης ἐν τῇ ἐπιγραφομένῃ τῶν βίβλων
Ἰταλικῇ πάσας φησὶ τὰς ἐν Ἰταλίᾳ γυναῖκας μὴ πί-
νειν οἶνον ἀπὸ ταύτης τῆς αἰτίας. ‛Ἡρακλῆς περὶ τὴν
Κροτωνιᾶτιν γενόμενος, ἐπεὶ πρός τινα οἰκίαν οὖσαν
παρὰ τὴν ὁδὸν διψῶν ἀφίκετο, προσελθὼν ᾔτει πιεῖν
ἐντεῦθεν. ἔτυχε δ' ἡ γυνὴ τοῦ τὴν οἰκίαν κεκτημέ-
νου πίθον οἴνου λαθραίως ὑποίξασα· καὶ πρὸς μὲν
τὸν ἄνδρα δεινὸν ἔφη ποιήσειν αὐτόν, εἰ ξένου χάριν
τὸν πίθον τοῦτον ἀνοίξειεν, ὕδωρ δ' ἐκέλευσεν αὐ-
b τὸν προσενεγκεῖν. Ἡρακλῆς δ' ἐπὶ θύραις ἑστὼς καὶ
ἀκούσας ταῦτα τὸν μὲν ἄνδρα αὐτῆς σφόδρα ἐπήνε-
σεν· ὃν καὶ ἐκέλευσεν αὐτὸν παρελθόντα εἴσω σκο-
πεῖν τὸν πίθον. καὶ ὃς εἰσελθὼν λίθινον εὗρε τὸν
πίθον γεγονότα. τούτου δὲ τὸ σημεῖον ἔτι καὶ νῦν
ἐστὶν ἐν ταῖς ἐπιχωρίαις γυναιξὶ πάσαις, ἐν αἰσχρῷ
κεῖσθαι τὸ πίνειν οἶνον, διὰ τὴν προκειμένην αἰτίαν.'

57. οἷαι δ' εἰσὶ παρὰ τοῖς Ἕλλησι μεθύουσαι αἱ γυναῖκες παραδίδωσιν Ἀντιφάνης μὲν ἐν τῇ Ἀκοντιζομένῃ οὕτω

γείτων ἐστί τις
c κάπηλος· οὗτος εὐθύς, ὅταν ἔλθω ποτὲ

διψῶσα, μόνος οἶδ' ὥς γέ μοι κεράννυται,
οὔθ' ὑδαρὲς οὔτ' ἄκρατον. Β. οἶδ' ἐγώ ποτε
πιοῦσα.

καὶ ἐν Μύστιδι (γυναῖκες δ' εἰσὶν αἱ διαλεγόμεναι)

βούλει καὶ σύ, φιλτάτη, πιεῖν;
Β. καλῶς ἔχει μοι. Γ. τοιγαροῦν [ἐμοὶ] φέρε·
μέχρι γὰρ τριῶν δεῖν φασὶ τιμᾶν τοὺς θεούς.

Ἄλεξις δ' Ὀρχηστρίδι

γυναιξὶ δ' ἀρκεῖ πάντ', ἐὰν οἶνος παρῇ
πίνειν διαρκής. Β. ἀλλὰ μήν, νὴ τὼ θεώ, d
ἔσται γ' ὅσον ἂν βουλώμεθ', ἔσται καὶ μάλα
ἡδύς γ', ὀδόντας οὐκ ἔχων, ἤδη σαπρός,
λέγων, γέρων τε δαιμονίως. Α. ἀσπάζομαι
γραῦν σφίγγα.

[πρὸς ἐμὲ ὡς αἰνίγματα λέγει καὶ τὰ λοιπά.] ἐν δὲ Δὶς πενθοῦντι Ζωπύρας τινὸς μνημονεύων φησὶ καί 'Ζωπύρα οἰνηρὸν ἀγγεῖον.' Ἀντιφάνης Βάκχαις

ἐπεὶ δὲ τοῦτ' οὐκ ἔστι, κακοδαίμων σφόδρα
ὅστις γαμεῖ γυναῖκα, πλὴν ἐν τοῖς Σκύθαις·
ἐκεῖ μόνον γὰρ οὐχὶ φύετ' ἄμπελος. e

Ξέναρχος Πεντάθλῳ

ὅρκον δ' ἐγὼ γυναικὸς εἰς οἶνον γράφω.

58. Πλάτων Φάωνι διηγούμενος ὅσα διὰ τὸν οἶνον συμβαίνει ταῖς γυναιξὶ φησίν

εἶεν γυναῖκες . . . ὡς ὑμῖν πάλαι
οἶνον γενέσθαι τὴν ἄνοιαν εὔχομαι.
ὑμῖν γὰρ οὐδέν, καθάπερ ἡ παροιμία,
ἐν τῷ καπήλῳ νοῦς ἐνεῖναί μοι δοκεῖ.
εἰ γὰρ Φάωνα δεῖσθ' ἰδεῖν, προτέλεια δεῖ
ὑμᾶς ποιῆσαι πολλὰ πρότερον τοιαδί. f
πρῶτα μὲν ἐμοὶ γὰρ κουροτρόφῳ προθύεται
πλακοῦς ἐνόρχης, ἄμυλος ἐγκύμων, κίχλαι

ἑκκαίδεχ᾽ ὁλόκληροι μέλιτι μεμιγμέναι,
λαγῷα δώδεκ᾽ ἐπισέλινα. τἆλλα δὲ
ἤδη τὰ μετὰ ταῦτ᾽ εὐτελῆ 'στ᾽. ἄκουε δή.
βολβῶν μὲν Ὀρθάνῃ τρί᾽ ἡμιεκτέα,
Κονισάλῳ δὲ καὶ παραστάταιν δυοῖν
442 μύρτων πινακίσκος χειρὶ παρατετιλμένων,
λύχνων γὰρ ὀσμὰς οὐ φιλοῦσι δαίμονες·
πύργης τετάρτης κυσί τε καὶ κυνηγέταις,
Λόρδωνι δραχμή, Κυβδάσῳ τριώβολον,
ἥρῳ Κέλητι δέρμα καὶ θυλήματα.
ταῦτ᾽ ἐστὶ τἀναλώματ᾽. εἰ μὲν οὖν τάδε
προσοίσετ᾽, εἰσέλθοιτ᾽ ἄν· εἰ δὲ μή, μάτην
ἔξεστιν ὑμῖν διὰ κενῆς βινητιᾶν.

Ἀξιόνικος δ᾽ ἐν Φιλίννῃ φησί

γυναικὶ δὴ πίστευε μὴ πίνειν ὕδωρ.

59. καὶ ὅλα δὲ ἔθνη περὶ μέθας διατρίβοντα μνή-
b μης ἠξίωται. Βαίτων γοῦν ὁ Ἀλεξάνδρου βηματιστὴς ἐν τῷ ἐπιγραφομένῳ Σταθμοὶ τῆς Ἀλεξάνδρου πορείας καὶ Ἀμύντας ἐν τοῖς Σταθμοῖς τὸ τῶν Ταπύρων ἔθνος φησὶν οὕτω φίλοινον εἶναι ὡς καὶ ἀλείμματι ἄλλῳ μηδενὶ χρῆσθαι ἢ τῷ οἴνῳ. τὰ δ᾽ αὐτὰ ἱστορεῖ καὶ Κτησίας ἐν τῷ περὶ τῶν κατὰ τὴν Ἀσίαν φόρων. οὗτος δὲ καὶ δικαιοτάτους αὐτοὺς λέγει εἶναι. Ἁρμόδιος δὲ ὁ Λεπρεάτης ἐν τῷ περὶ τῶν παρὰ Φιγαλεῦσι νομίμων φιλοπότας φησὶ γενέσθαι Φιγαλεῖς, Μεσσηνίοις ἀστυγείτονας ὄντας, καὶ ἀποδημεῖν ἐθι-
c σθέντας. Φύλαρχος ἐν ἕκτῃ Βυζαντίους οἰνόφλυγας ὄντας ἐν τοῖς καπηλείοις οἰκεῖν, ἐκμισθώσαντας τοὺς ἑαυτῶν θαλάμους μετὰ τῶν γυναικῶν τοῖς ξένοις, πολεμίας σάλπιγγος οὐδ᾽ ἐν ὕπνοις ὑπομένοντας ἀκοῦσαι. διὸ καὶ πολεμουμένων ποτὲ αὐτῶν καὶ οὐ προσκαρτερούντων τοῖς τείχεσι Λεωνίδης ὁ στρατηγὸς

ἐκέλευσε τὰ καπηλεῖα ἐπὶ τῶν τειχῶν σκηνοπηγεῖν, καὶ μόλις ποτὲ ἐπαύσαντο λιποτακτοῦντες, ὥς φησι Δάμων ἐν τῷ περὶ Βυζαντίου. Μένανδρος δ' ἐν Ἀρρηφόρῳ ἢ Αὐλητρίδι

πάντας μεθύσους τοὺς ἐμπόρους d
ποιεῖ τὸ Βυζάντιον. ὅλην ἐπίνομεν
τὴν νύκτα διὰ σὲ καὶ σφόδρ' ἄκρατόν μοι δοκῶ.
ἀνίσταμαι γοῦν τέτταρας κεφαλὰς ἔχων.

κωμῳδοῦνται δὲ ὡς μέθυσοι Ἀργεῖοι μὲν καὶ Τιρύνθιοι ὑπ' Ἐφίππου ἐν Βουσίριδι. ποιεῖ δὲ τὸν Ἡρακλέα λέγοντα

οὐκ οἶσθά μ' ὄντα, πρὸς θεῶν, Τιρύνθιον
Ἀργεῖον, οἳ μεθύοντες ἀεὶ τὰς μάχας
πάσας μάχονται. Β. τοιγαροῦν φεύγουσ' ἀεί. e

Μιλησίους δ' Εὔβουλος ἐν Κατακολλωμένῳ ὑβριστὰς εἶναί φησι μεθυσθέντας. Πολέμων δὲ ἐν τῷ περὶ τῶν κατὰ πόλεις ἐπιγραμμάτων περὶ Ἠλείων λέγων παρατίθεται τόδε τὸ ἐπίγραμμα

Ἦλις καὶ μεθύει καὶ ψεύδεται. οἷος ἑκάστου
οἶκος, τοίη δὴ καὶ ξυνάπασα πόλις.

60. Θεόπομπος δ' ἐν τῇ δευτέρᾳ καὶ εἰκοστῇ περὶ Χαλκιδέων ἱστορῶν τῶν ἐν Θρᾴκῃ φησίν 'ἐτύγχανον γὰρ τῶν μὲν βελτίστων ἐπιτηδευμάτων ὑπερορῶντες, ἐπὶ δὲ τοὺς πότους καὶ ῥᾳθυμίαν καὶ πολλὴν ἀκολα- f σίαν ὡρμηκότες. ἐπιεικῶς [τὸ] δ' εἰσὶ πάντες οἱ Θρᾷκες πολυπόται'. διὸ καὶ Καλλίμαχος ἔφη

καὶ γὰρ ὁ θρηικίην μὲν ἀπέστυγε χανδὸν ἄμυστιν
οἰνοποτεῖν, ὀλίγῳ δ' ἥδετο κισσυβίῳ.

ἐν δὲ τῇ πεντηκοστῇ ὁ Θεόπομπος περὶ Μηθυμναίων τάδε λέγει 'καὶ τὰ μὲν ἐπιτήδεια προσφερομένους πολυτελῶς μετὰ τοῦ κατακεῖσθαι καὶ πίνειν, ἔργον δ' οὐδὲν ἄξιον τῶν ἀναλωμάτων ποιοῦντας. ἔπαυσεν

443 οὖν αὐτοὺς τούτων Κλεομένης ὁ τύραννος, ὃ καὶ τὰς μαστροποὺς τὰς εἰθισμένας προαγωγεύειν τὰς ἐλευθέρας γυναῖκας τρεῖς ἢ τέτταρας τὰς ἐπιφανεστάτας πορευομένας ἐνδήσας εἰς σάκκους καταποντίσαι τισὶ προστάξας.’ καὶ Ἕρμιππος δὲ ἐν τοῖς περὶ τῶν ἑπτὰ σοφῶν Περίανδρον τὸ αὐτὸ ποιῆσαι. ἐν δὲ τῇ δευτέρᾳ τῶν Φιλιππικῶν ‘Ἰλλυριοὶ (φησὶ) δειπνοῦσι καθήμενοι καὶ πίνουσιν. ἄγουσι δὲ καὶ τὰς γυναῖκας εἰς τὰς συνουσίας· καὶ καλὸν αὐταῖς προπίνειν οἷς ἂν τύχωσι τῶν παρόντων. ἐκ δὲ τῶν συμποσίων αὗται τοὺς ἄν-
b δρας ἀπάγουσι. καὶ κακόβιοι δὲ πάντες εἰσὶ καὶ ζώννυνται τὰς κοιλίας ζώναις πλατείαις, ὅταν πίνωσι. καὶ τοῦτο μὲν πρῶτον μετρίως ποιοῦσιν· ἐπειδὰν δὲ σφοδρότερον πίνωσι, μᾶλλον ἀεὶ συνάγουσι τὴν ζώνην. Ἀριαῖοι δὲ (φησὶ) κέκτηνται προσπελατῶν ὥσπερ εἱλώτων τριάκοντα μυριάδας. καθ’ ἑκάστην δὲ ἡμέραν μεθύουσι καὶ ποιοῦνται συνουσίας καὶ διάκεινται πρὸς ἐδωδὴν καὶ πόσιν ἀκρατέστερον. διὸ καὶ Κελτοὶ πολεμοῦντες αὐτοῖς καὶ εἰδότες αὐτῶν
c τὴν ἀκρασίαν παρήγγειλαν ἅπασι τοῖς στρατιώταις δεῖπνον ὡς λαμπρότατον παρασκευάσαντας κατὰ σκηνήν, ἐμβαλεῖν εἰς τὰ σιτία πόαν τινὰ φαρμακώδη, δυναμένην διακόπτειν τὰς κοιλίας καὶ διακαθαίρειν. γενομένου δὲ τούτου οἳ μὲν αὐτῶν καταληφθέντες ὑπὸ τῶν Κελτῶν ἀπώλοντο, οἳ δὲ καὶ εἰς τοὺς ποταμοὺς αὑτοὺς ἔρριψαν ἀκράτορες τῶν γαστέρων γενόμενοι.’

61. τοιαῦτα πολλὰ ἐφεξῆς καταλέξαντος τοῦ Δημοκρίτου ὁ Ποντιανὸς ἔφη πάντων τούτων εἶναι τῶν
d δεινῶν μητρόπολιν τὸν οἶνον, δι’ ὃν καὶ τὰς μέθας καὶ τὰς μανίας, ἔτι δὲ καὶ τὰς παροινίας γίγνεσθαι· οὗ τοὺς ἐκπαθῶς μεταλαμβάνοντας οὐ κακῶς ὁ χαλ-

κοῦς ἐπικαλούμενος Διονύσιος ἐν τοῖς ἐλεγείοις κυλίκων ἐρέτας ἔφη

καί τινες οἶνον ἄγοντες ἐν εἰρεσίῃ Διονύσου,
συμποσίου ναῦται καὶ κυλίκων ἐρέται,
. . . περὶ τοῦδε· τὸ γὰρ φίλον οὐκ ἀπόλωλεν.

Ἄλεξις δ' ἐν Κουρίδι περί τινος πλέον πιόντος διαλεγόμενός φησιν

ὁ μὲν οὖν ἐμὸς υἱός, οἷον ὑμεῖς ἀρτίως
εἴδετε, τοιοῦτος γέγονεν, Οἰνοπίων τις ἢ
Μάρων τις ἢ Κάπηλος ἤ τις Τιμοκλῆς· e
μεθύει γὰρ οὐδὲν ἧττον. ὁ δ' ἕτερος, τί ἂν
τύχοιμ' ὀνομάσας; βῶλος, ἄροτρον, γηγενὴς
ἄνθρωπος.

χαλεπὸν οὖν ἐστίν, ἄνδρες φίλοι, τὸ μεθύειν· καὶ καλῶς πρὸς τοὺς οὕτω λάπτοντας τὸν οἶνον ὁ αὐτὸς Ἄλεξις ἐν Ὀπώρᾳ (ἑταίρας δὲ ὄνομα τὸ δρᾶμα ἔχει) φησίν

οἶνον πολὺν
οὐ κεκραμένον σὺ πίνεις μεστὸς ὢν κοὐκ ἐξεμεῖς.

κἀν Δακτυλίῳ

εἶτ' οὐχ ἁπάντων ἐστὶ τὸ μεθύειν κακὸν
μέγιστον ἀνθρώποισι καὶ βλαβερώτατον; f

κἀν Ἐπιτρόπῳ δ' ἔφη

πολὺς γὰρ οἶνος πόλλ' ἁμαρτάνειν ποιεῖ.

Κρώβυλός τ' ἐν Ἀπολιπούσῃ

τὸ γὰρ ἐνδελεχῶς μεθύειν τίν' ἡδονὴν ἔχει
ἀποστεροῦντα ζῶνθ' ἑαυτὸν τοῦ φρονεῖν,
ὃ μέγιστον ἡμῶν ἀγαθὸν ἔσχεν ἡ φύσις;

οὐ χρὴ οὖν μεθύειν. καὶ γὰρ 'δημοκρατουμένη πόλις (φησὶν ὁ Πλάτων ἐν ὀγδόῃ Πολιτείας) ἐλευθερίας διψήσασα ἢν κακῶν οἰνοχόων προστατούντων τύχῃ, 444 καὶ πορρωτέρω τοῦ δέοντος ἀκράτου αὐτῆς μεθυσθῇ,

τοὺς ἄρχοντας δή, ἂν μὴ πάνυ πρᾶοι ὦσι καὶ πολλὴν παρέχωσι τὴν ἐλευθερίαν, κολάζει αἰτιωμένη ὡς μιαρούς τε καὶ ὀλιγαρχικούς, τοὺς δὲ κατηκόους τῶν ἀρχόντων προπηλακίζει.' ἐν δὲ τῷ τῶν Νόμων ἕκτῳ φησί 'τὴν πόλιν εἶναι δεῖ δίκην κεκραμένην κρατῆρος, οὗ μαινόμενος μὲν ὁ οἶνος ἐγκεχυμένος ζεῖ, κολαζόμενος δὲ ὑπὸ νήφοντος ἑτέρου θεοῦ καλὴν
b κοινωνίαν λαβὼν ἀγαθὸν πῶμα καὶ μέτριον ἀπεργάζεται.'

62. τὸ γὰρ παροινεῖν ἐκ τοῦ μεθύειν γίνεται. διὸ καὶ Ἀντιφάνης ἐν Ἀρκάδι φησίν

οὔτε γὰρ νήφοντα δεῖ
οὐδαμοῦ, πάτερ, παροινεῖν, οὔθ', ὅταν πίνειν δέῃ,
νοῦν ἔχειν. ὅστις δὲ μεῖζον ἢ κατ' ἄνθρωπον φρονεῖ,
[μικρῷ πεποιθὼς ἀθλίῳ νομίσματι,]
εἰς ἄφοδον ἐλθὼν ὅμοιον πᾶσιν αὑτὸν ὄψεται,
c ἂν σκοπῇ τὰ τῶν ἰατρῶν τοῦ βίου τεκμήρια,
τὰς φλέβας θ' ὅποι φέρονται, τὰς ἄνω καὶ τὰς κάτω
τεταμένας, δι' ὧν ὁ θνητὸς πᾶς κυβερνᾶται βίος.

ἐν δὲ Αἰόλῳ διαβάλλων ὅσα δεινὰ πράττουσιν οἱ πλέον πίνοντες φησί

Μακαρεὺς ἔρωτι τῶν ὁμοσπόρων μιᾶς
πληγεὶς τέως μὲν ἐπεκράτει τῆς συμφορᾶς,
κατεῖχέ θ' αὑτόν· εἶτα παραλαβών ποτε
οἶνον στρατηγόν, ὃς μόνος θνητοῖς ἄγει
d τὴν τόλμαν εἰς τὸ πρόσθε τῆς εὐβουλίας,
νύκτωρ ἀναστὰς ἔτυχεν ὧν ἠβούλετο.

καλῶς οὖν ἄρα καὶ Ἀριστοφάνης Ἀφροδίτης γάλα τὸν οἶνον ἔφη εἰπών

ἡδύς γε πίνειν οἶνος Ἀφροδίτης γάλα.

ὃν πολὺν σπῶντες ἔνιοι παρανόμων ἀφροδισίων ὄρεξιν λαμβάνουσιν.

63. Ἡγήσανδρος δ' ὁ Δελφὸς καὶ ἐξοίνους τινὰς κέκληκε λέγων οὕτως 'Κομηῶν καὶ Ῥοδοφῶν τῶν ἐν Ῥόδῳ πολιτευσαμένων ὄντες ἦσαν ἔξοινοι. καὶ ὁ Κομηῶν εἰς κυβευτὴν σκώπτων τὸν Ῥοδοφῶντα ἔλεγεν

ὦ γέρον, ἦ μάλα δή σε νέοι τείρουσι κυβευταί. e

Ῥοδοφῶν τε ἐκείνῳ τὴν περὶ τὰς γυναῖκας σπουδὴν καὶ τὴν ἀκρασίαν ὠνείδιξεν οὐδεμιᾶς ἀπεχόμενος λοιδορίας.' Θεόπομπος δ' ἐν τῇ ἑκκαιδεκάτῃ τῶν ἱστοριῶν περὶ ἄλλου Ῥοδίου διαλεγόμενός φησι 'τοῦ Ἡγησιλόχου τὰ μὲν ἀχρείου γεγονότος ὑπὸ οἰνοφλυγίας καὶ κύβων, καὶ παντάπασιν οὐκ ἔχοντος ἰδίωμα παρὰ τοῖς Ῥοδίοις, ἀλλὰ διαβεβλημένου διὰ τὴν ἀσωτίαν τὴν τοῦ βίου καὶ παρὰ τοῖς ἑταίροις καὶ παρὰ f τοῖς ἄλλοις πολίταις.' εἶθ' ἑξῆς λέγων περὶ τῆς ὀλιγαρχίας, ἣν κατεστήσατο μετὰ τῶν φίλων, ἐπιφέρει 'καὶ πολλὰς μὲν γυναῖκας εὐγενεῖς καὶ τῶν πρώτων ἀνθρώπων ᾔσχυναν, οὐκ ὀλίγους δὲ παῖδας καὶ νεανίσκους διέφθειραν· εἰς τοῦτο δὲ προέβησαν ἀσελγείας ὥστε καὶ κυβεύειν ἠξίωσαν πρὸς ἀλλήλους περὶ τῶν γυναικῶν τῶν ἐλευθέρων, καὶ διωμολογοῦντο τοὺς ἐλάττω τοῖς ἀστραγάλοις βάλλοντας ἥντινα χρὴ τῶν πολιτίδων τῷ νικῶντι εἰς συνουσίαν ἀγαγεῖν, οὐδεμίαν ὑπεξαιρούμενοι πρόφασιν, ἀλλ' ὅπως δὴ 445
ἕκαστος ἦν δυνατός, πείθων ἢ βιαζόμενος, οὕτω προστάττοντες ἄγειν. καὶ ταύτην τὴν κυβείαν ἔπαιζον μὲν καὶ τῶν ἄλλων Ῥοδίων τινές, ἐπιφανέστατα δὲ καὶ πλειστάκις αὐτὸς ὁ Ἡγησίλοχος, ὁ προστατεῖν τῆς πόλεως ἀξιῶν.' Ἀνθέας δὲ ὁ Λίνδιος, συγγενὴς

δὲ εἶναι φάσκων Κλεοβούλου τοῦ σοφοῦ, ὥς φησι Φιλόμνηστος ἐν τῷ περὶ τῶν ἐν Ῥόδῳ Σμινθίων, πρεσβύτερος καὶ εὐδαίμων ἄνθρωπος εὐφυής τε περὶ b ποίησιν ὢν πάντα τὸν βίον ἐδιονυσίαζεν, ἐσθῆτά τε διονυσιακὴν φορῶν καὶ πολλοὺς τρέφων συμβάκχους, ἐξῆγέ τε κῶμον ἀεὶ μεθ' ἡμέραν καὶ νύκτωρ. καὶ πρῶτος εὗρε τὴν διὰ τῶν συνθέτων ὀνομάτων ποίησιν, ᾗ Ἀσωπόδωρος ὁ Φλιάσιος ὕστερον ἐχρήσατο ἐν τοῖς καταλογάδην ἰάμβοις. οὗτος δὲ καὶ κωμῳδίας ἐποίει καὶ ἄλλα πολλὰ ἐν τούτῳ τῷ τρόπῳ τῶν ποιημάτων, ἃ ἐξῆρχε τοῖς μεθ' αὑτοῦ φαλλοφοροῦσι.

64. τούτων ἀκούσας ὁ Οὐλπιανός, ὁ δὲ πάροιc νος, ἔφη, καλέ μου Ποντιανέ, παρὰ τίνι κεῖται; καὶ ὃς ἔφη

ἀπολεῖς μ' ἐρωτῶν (κατὰ τὸν καλὸν Ἀγάθωνα)
καὶ σὺ χὠ νέος τρόπος,
ἐν οὐ πρέποντι τοῖς λόγοισι χρώμενος.

ἐπεὶ δὲ πάντων ἡμᾶς εὐθύνας σοι διδόναι κέκριται, Ἀντιφάνης ἐν Λυδῷ εἴρηκε

Κολχὶς ἄνθρωπος πάροινος.

σὺ δὲ παροινῶν καὶ μεθύων οὐδέπω κόρον ἔχεις, οὐδ' ἐπὶ νοῦν λαμβάνεις ὅτι ὑπὸ μέθης ἀπέθανεν Εὐμέd νης ὁ Περγαμηνός, ὁ Φιλεταίρου τοῦ Περγάμου βασιλεύσαντος ἀδελφιδοῦς, ὡς ἱστορεῖ Κτησικλῆς ἐν τρίτῳ Χρόνων. ἀλλ' οὐ Περσεὺς ὁ ὑπὸ Ῥωμαίων καθαιρεθείς· κατ' οὐδὲν γὰρ τὸν πατέρα Φίλιππον ἐμιμήσατο. οὔτε γὰρ περὶ γυναῖκας ἐσπουδάκει οὔτε φίλοινος ἦν, [ἀλλὰ] καὶ οὐ μόνον αὐτὸς μέτριον ἔπινε δειπνῶν ἀλλὰ καὶ οἱ συνόντες αὐτῷ φίλοι, ὡς ἱστορεῖ Πολύβιος ἐν τῇ ἕκτῃ καὶ εἰκοστῇ. σὺ δέ, ὦ Οὐλπιανέ, ἀρρυθμοπότης μὲν εἶ, κατὰ τὸν Φλιάσιον Τί-

μωνα. οὕτως γὰρ ἐκεῖνος ὠνόμασε τοὺς τὸν πολὺν σπῶντας οἶνον ἄκρατον ἐν τῷ δευτέρῳ τῶν σίλλων e

ἠὲ βαρὺν βουπλῆγα τομώτερον ἢ Λυκόοργος,
ὅς ῥα διωνύσου ἀρρυθμοπότας ἐπέκοπτεν,
ἐκ δὲ ῥυτὰ ῥίπτασκεν ἀπληστοίνους τ' ἀρυσάνας.

οὐ ποτικὸς δέ. ὠνόμασε δὲ ποτικὸν Ἀλκαῖος Γανυμήδει οὕτως. ὅτι δὲ τὸ μεθύειν καὶ τὰς ὄψεις ἡμῶν πλανᾷ σαφῶς ἔδειξεν Ἀνάχαρσις δι' ὧν εἴρηκε, δηλώσας ὅτι ψευδεῖς δόξαι τοῖς μεθύουσι γίγνονται. f συμπότης γάρ τις ἰδὼν αὐτοῦ τὴν γυναῖκα ἐν τῷ συμποσίῳ ἔφη, ὦ Ἀνάχαρσι, γυναῖκα γεγάμηκας αἰσχράν. καὶ ὃς ἔφη, πάνυ γε κἀμοὶ δοκεῖ· ἀλλά μοι ἔγχεον, ὦ παῖ, ποτήριον ἀκρατέστερον, ὅπως αὐτὴν καλὴν ποιήσω.

65. μετὰ ταῦτα ὁ Οὐλπιανὸς προπιών τινι τῶν ἑταίρων ἔφη, ἀλλὰ κατὰ τὸν Ἀντιφάνην, ὦ φιλότης, ὃς ἐν Ἀγροίκοις φησίν

ὅλην μύσας ἔκπινε. Β. μέγα τὸ φορτίον. 446
Α. οὐχ ὅστις αὐτῆς ἐστιν ἐμπείρως ἔχων.

πῖθι οὖν, ὦ ἑταῖρε. καί

μὴ μεστὰς ἀεὶ
ἕλκωμεν,

(ὁ αὐτός φησιν Ἀντιφάνης ἐν τῷ Τραυματίᾳ)

ἀλλὰ καὶ λογισμὸς εἰς μέσον
παραξάτω τις καί τι καὶ μελίσκιον,
στροφὴ λόγων παρελθέτω τις. ἡδύ τοι
ἐστὶν μεταβολὴ παντὸς ἔργου πλὴν ἑνός.
. . . . παραδίδου δ' ἑξῆς ἐμοὶ
τὸν ἀρκεσίγυιον, ὡς ἔφασκ' Εὐριπίδης.
Α. Εὐριπίδης γὰρ τοῦτ' ἔφασκεν; Β. ἀλλὰ τίς; b
Α. Φιλόξενος δήπουθεν. Β. οὐδὲν διαφέρει,
ὦ τᾶν· ἐλέγχεις μ' ἕνεκα συλλαβῆς μιᾶς.

*καὶ ὅς, τὸ δὲ πῖθι τίς εἴρηκεν; ἀπεσκοτώθης φίλτατε, ἔφη ὁ Οὐλπιανός, σπάσας οἴνου τοσοῦτον. παρὰ Κρατίνῳ ἔχεις ἐν Ὀδυσσεῦσι*

*τῆ νῦν τόδε πῖθι λαβὼν ἤδη καὶ τοὔνομά μ'*
*εὐθὺς ἐρώτα.*

*καὶ Ἀντιφάνης ἐν Μύστιδι*

c *σὺ δ' ἀλλὰ πῖθι. Β. τοῦτο μέν σοι πείσομαι·*
*καὶ γὰρ ἐπαγωγόν, ὦ θεοί, τὸ σχῆμά πως*
*τῆς κύλικός ἐστιν ἄξιόν τε τοῦ κλέους*
*τοῦ τῆς ἑορτῆς. οὐ μὲν ἦμεν ἄρτι γὰρ*
*ἐξ ὀξυβαφίων κεραμέων ἐπίνομεν.*
*τούτῳ δέ, τέκνον, πολλὰ κἀγάθ' οἱ θεοὶ*
*τῷ δημιουργῷ δοῖεν, ὃς ἐποίησέ σε,*
*τῆς συμμετρίας καὶ τῆς ἀφελείας οὕνεκα.*

d *καὶ Δίφιλος ἐν Βαλανείῳ*

*ἔγχεον μεστήν· τὸ θνητὸν περικάλυπτε τῷ θεῷ.*
*πῖθι. ταῦτα γὰρ παρ' ἡμῖν Διὸς ἑταιρείου,*
*πάτερ.*

*Ἀμειψίας Σφενδόνῃ*

*λαγὸν ταράξας πῖθι τὸν θαλάσσιον.*

*Μένανδρος Αὐλητρίδι*

*ἐλλέβορον ἤδη πώποτ' ἔπιες Σωσία;*
*Β. ἅπαξ. Α. πάλιν νῦν πῖθι· μαίνει γὰρ κακῶς.*

66. *πίομαι δὲ ἄνευ τοῦ υ λεκτέον, ἐκτείνοντας δὲ τὸ ι. οὕτω γὰρ ἔχει καὶ τὸ ὁμηρικόν*

*πιόμεν' ἐκ βοτάνης.*

*καὶ Ἀριστοφάνης Ἱππεῦσι*

e *κοὔποτ' ἐκ ταὐτοῦ μεθ' ἡμῶν πίεται ποτηρίου.*

*καὶ ἐν ἄλλοις*

*πικρότατον οἶνον τήμερον πίει τάχα.*

[*ὡς ἀπὸ τοῦ πιοῦμαι.*] *ἐνίοτε δὲ καὶ συστέλλουσι τὸ ι. ὡς Πλάτων ἐν Ταῖς ἀφ' ἱερῶν*

οὐδ' ὅστις αὐτῆς ἐκπίεται τὰ χρήματα.

καὶ ἐν Σύρφακι 'καὶ πίεσθ' ὕδωρ πολύ.' πίε δὲ ἀεὶ συνεσταλμένως. Μένανδρος ἐν Ἐγχειριδίῳ

πίε. Β. πιεῖν ἀναγκάσω
τὴν ἱερόσυλον πρῶτα.

καὶ 'τῇ πίε.' καὶ [πῖνε. καὶ] σὺ οὖν, ὦ ἑταῖρε, κατὰ f τὸν Ἄλεξιν, ὃς ἐν Διδύμοις φησί

τούτῳ πρόπιθ', ἵνα καὐτὸς ἄλλῳ,

καὶ γένηται ἡ παρ' Ἀνακρέοντι καλουμένη ἐπίστιος. φησὶ γὰρ ὁ μελοποιός

μηδ' ὥστε κῦμα πόντιον 447
λάλαζε τῇ πολυκρότῃ
σὺν Γαστροδώρῃ καταχύδην
πίνουσα τὴν ἐπίστιον.

τοῦτο δ' ἡμεῖς ἀνίσωμα φαμέν.

67. σὺ δὲ πιὼν μὴ φοβηθῇς ὡς εἰς τοὐπίσω μέλλων καταπεσεῖσθαι. τοῦτο γὰρ παθεῖν οὐ δύνανται οἱ τὸν κατὰ Σιμωνίδην πίνοντες οἶνον ἀμύντορα δυσφροσυνάων. ἀλλ', ὥς φησιν Ἀριστοτέλης ἐν τῷ περὶ μέθης, εἰς τὰ νῶτα καταπίπτουσιν οἱ τὸν κρίθινον πεπωκότες, ὃν πῖνον καλοῦσι, λέγων οὕτως 'πλὴν ἴδιόν τι συμβαίνει περὶ τὰς τῶν κριθῶν, τὸ καλούμενον πῖνον. ὑπὸ μὲν γὰρ τῶν λοιπῶν τε καὶ b μεθυστικῶν οἱ μεθυσθέντες ἐπὶ πάντα τὰ μέρη πίπτουσι. καὶ γὰρ ἐπὶ τὰ ἀριστερὰ καὶ δεξιὰ καὶ πρηνεῖς καὶ ὕπτιοι. μόνοι δὲ οἱ τῷ πίνῳ μεθυσθέντες εἰς τοὐπίσω καὶ ὕπτιοι κλίνονται.' τὸν δὲ κρίθινον οἶνον καὶ βρῦτον τινὲς καλοῦσιν. ὡς Σοφοκλῆς ἐν Τριπτολέμῳ

βρῦτον δὲ τὸν χερσαῖον οὐ δυεῖν.

καὶ Ἀρχίλοχος

ὥσπερ παρ' αὐλῷ βρῦτον ἢ Θρῆιξ ἀνὴρ

ἢ Φρὺξ ἔβρυξε, κύβδα δ' ἦν πονευμένη.

c μνημονεύει τοῦ πώματος Αἰσχύλος ἐν Λυκούργῳ

κἀκ τῶνδ' ἔπινε βρῦτον ἰσχναίνων χρόνῳ,
κἀσεμνοκόμπει τοῦτ' ἐν ἀνδρείᾳ στέγῃ.

Ἑλλάνικος δ' ἐν Κτίσεσι καὶ ἐκ ῥιζῶν, φησί, κατασκευάζεται τὸ βρῦτον, γράφων ὧδε ʽπίνουσι δὲ βρῦτον ἐκ τῶν ῥιζέων, καθάπερ οἱ Θρήικες ἐκ τῶν κριθέων.' Ἑκαταῖος δὲ ἐν δευτέρῳ περιηγήσεως εἰπὼν περὶ Αἰγυπτίων ὡς ἀρτοφάγοι εἰσίν, ἐπιφέρει ʽτὰς κριθὰς ἐς τὸ πῶμα καταλέουσι.' ἐν δὲ τῇ τῆς Εὐρώπης περιόδῳ Παίονάς φησι πίνειν ʽβρῦτον ἀπὸ τῶν
d κριθέων καὶ παραβίην ἀπὸ κέγχρου καὶ κονύζης ἀλείφονται δὲ (φησὶν) ἐλαίῳ ἀπὸ γάλακτος.' καὶ ταῦτα μὲν ταύτῃ.

68. τῷ δ' ἡμετέρῳ χορῷ οἶνος φίλος ὤν, θυρσοφόροις μέγα πρεσβεύων Διόνυσος, φησὶν Ἴων ὁ Χῖος ἐν τοῖς ἐλεγείοις,

αὕτη γὰρ πρόφασις παντοδαπῶν λογίων
ἔν τε Πανελλήνων ἀγοραῖς θαλίαις τε ἀνάκτων,
ἐξ οὗ βοτρυόεσσ' οἰνὰς ὑποχθόνιον
e πτόρθον ἀνασχομένη θαλερῷ ἐπτύξατο πήχει
αἰθέρος· ὀφθαλμῶν δ' ἐξέθορον πυκινοὶ
παῖδες φωνήεντες, ὅταν πέσῃ ἄλλος ἐπ' ἄλλῳ,
πρὶν δὲ σιωπῶσιν. παυσάμενοι δὲ βοῆς
νέκταρ ἀμέλγονται ποτὸν ὄλβιον ἀνθρώποισιν,
ξυνὸν τοῦ χαίρειν φάρμακον αὐτοφυές,
τοῦ θαλίαι φίλα τέκνα φιλοφροσύναι τε χοροί τε·
f τῶν ἀγαθῶν βασιλεὺς οἶνος ἔδειξε φύσιν.
τῷ σὺ πάτερ Διόνυσε φιλοστεφάνοισιν ἀρέσκων
ἀνδράσιν, εὐθύμων συμποσίων πρύτανι,
χαῖρε. δίδου δ' αἰῶνα καλῶν ἐπιήρανον ἔργων,
πίνειν καὶ παίζειν καὶ τὰ δίκαια φρονεῖν.

Ἄμφις δ' ἐν Φιλαδέλφοις ἐπαινῶν τὸν τῶν φιλοποτῶν φησὶ βίον

κατὰ πόλλ' ἐπαινῶ μᾶλλον ἡμῶν τὸν βίον 448
τὸν τῶν φιλοποτῶν ἤπερ ὑμῶν τῶν μόνον
ἐν τῷ μετώπῳ νοῦν ἔχειν εἰωθότων.
ἡ μὲν γὰρ ἐπὶ τοῦ συντετάσθαι διὰ τέλους
φρόνησις οὖσα διὰ τὸ λεπτῶς καὶ πυκνῶς
πάντ' ἐξετάζειν δέδιεν ἐπὶ τὰ πράγματα
ὁρμᾶν προχείρως, ἣ δὲ διὰ τὸ μὴ σαφῶς
τί ποτ' ἀφ' ἑκάστου πράγματος συμβήσεται
διαλελογίσθαι δρᾷ τι καὶ νεανικὸν
καὶ θερμόν. b

69. μέλλοντος δέ τι τούτοις προστιθέναι τοῦ Οὐλπιανοῦ ὁ Αἰμιλιανὸς ἔφη, ὥρα ἡμῖν, ἄνδρες φίλοι, ζητεῖν τι καὶ περὶ γρίφων, ἵνα κἂν βραχὺ διαστησώμεθ' ἀπὸ τῶν ποτηρίων, οὐ κατὰ τὴν Καλλίου τοῦ Ἀθηναίου ἐπιγραφομένην γραμματικὴν τραγῳδίαν· ἀλλ' ἡμεῖς ζητήσωμεν πρότερον μὲν τίς ὁ ὅρος τοῦ γρίφου, τίνα δὲ Κλεοβουλίνη ἡ Λινδία προὔβαλλεν ἐν τοῖς αἰνίγμασιν· ἱκανῶς γὰρ εἴρηκε περὶ αὐτῶν ὁ ἑταῖρος ἡμῶν Διότιμος ὁ Ὀλυμπηνός. ἀλλὰ c πῶς οἱ κωμῳδιοποιοὶ αὐτῶν μέμνηνται καὶ τίνα κόλασιν ὑπέμενον οἱ μὴ λύσαντες. καὶ ὁ Λαρήνσιος ἔφη, ὁ μὲν Σολεὺς Κλέαρχος οὕτως ὁρίζεται 'γρῖφος πρόβλημά ἐστι παιστικόν, προστακτικὸν τοῦ διὰ ζητήσεως εὑρεῖν τῇ διανοίᾳ τὸ προβληθέν, τιμῆς ἢ ἐπιζημίου χάριν εἰρημένον.' ἐν δὲ τῷ περὶ γρίφων ὁ αὐτὸς Κλέαρχός φησιν ἑπτὰ εἴδη εἶναι γρίφων. ἐν γράμματι μέν, οἷον ἐροῦμεν ἀπὸ τοῦ ἄλφα ὡς ὄνομά τι ἰχθύος ἢ φυτοῦ. ὁμοίως δὲ κἂν ἔχειν τι κελεύῃ τῶν γραμμάτων ἢ μὴ ἔχειν· καθάπερ οἱ ἄσιγμοι κα- d λούμενοι τῶν γρίφων· ὅθεν καὶ Πίνδαρος πρὸς τὸ σ

ἐποίησεν ᾠδήν, οἱονεὶ γρίφου τινὸς ἐν μελοποιίᾳ προβληθέντος. ἐν συλλαβῇ δὲ λέγονται γρῖφοι, οἷον ἐροῦμεν ἔμμετρον ὁτιδήποτε οὗ ἡγεῖται βα οἷον βασιλεύς· ἢ ὧν ἔχει τελευτὴν τὸ ναξ ὡς Καλλιάναξ· ἢ ὧν τὸν λέοντα καθηγεῖσθαι οἷον Λεωνίδης, ἢ ἔμπαλιν τελικὸν εἶναι οἷον Θρασυλέων. ἐν ὀνόματι δέ, οἷον ἐροῦμεν ὀνόματα ἁπλᾶ ἢ σύνθετα δισύλλαβα, e οὗ μορφή τις ἐμφαίνεται τραγικὴ ἢ πάλιν ταπεινή· ἢ ἄθεα ὀνόματα οἷον Κλεώνυμος, ἢ θεοφόρα οἷον Διονύσιος. καὶ τοῦτο ἤτοι ἐξ ἑνὸς θεοῦ ἢ πλεόνων οἷον Ἑρμαφρόδιτος, ἢ ἀπὸ Διὸς ἄρχεσθαι Διοκλῆς, ἢ Ἑρμοῦ Ἑρμόδωρος, ἢ λήγειν εἰ τύχοι εἰς νικος . . . οἱ δὲ μὴ εἰπόντες οἷς προσετάττετο ἔπινον τὸ ποτήριον. καὶ ὁ μὲν Κλέαρχος οὕτως ὡρίσατο. τί δ' ἐστὶ τοῦτο τὸ ποτήριον, καλέ μου Οὐλπιανέ, ζήτει.

70. περὶ δὲ τῶν γρίφων Ἀντιφάνης μὲν ἐν Κνοιθιδεῖ ἢ Γάστρωνί φησιν

f ἐγὼ πρότερον μὲν τοὺς κελεύοντας λέγειν  
γρίφους παρὰ πότον ᾤόμην ληρεῖν σαφῶς  
λέγοντας οὐδέν· ὁπότε προστάξειέ τις  
εἰπεῖν ἐφεξῆς ὅ τι φέρων τις μὴ φέρει,  
ἐγέλων νομίζων λῆρον· οὐκ ἂν γενόμενον  
οὐδέποτέ γ' ᾤμην πρᾶγμα παντελῶς λέγειν,  
449 ἐνέδρας δ' ἕνεκα. νυνὶ δὲ τοῦτ' ἔγνωχ' ὅτι  
ἀληθὲς ἦν. φέρομεν γὰρ ἄνθρωποι δέκα  
ἔρανόν τιν', οὐ φέρει δὲ τούτων τὴν φορὰν  
οὐδείς. σαφῶς οὖν ὅ τι φέρων τις μὴ φέρει  
τοῦτ' ἔστιν, ἦν θ' ὁ γρῖφος ἐνταῦθα ῥέπων.  
καὶ τοῦτο μὲν δὴ κἄστι συγγνώμην ἔχον·  
ἀλλ' οἷα λογοποιοῦσιν ἐν τῷ πράγματι  
οἱ τἀργύριον μὴ κατατιθέντες ὡς σφόδρα . . .  
b Φίλιππος. ἆρ' ἦν εὐτυχής τις νὴ Δία.

ἐν δὲ Ἀφροδισίῳ
πότερ᾽, ὅταν μέλλω λέγειν σοι τὴν χύτραν, χύτραν λέγω,
ἢ τροχοῦ ῥύμαισι τευκτὸν κοιλοσώματον κύτος
πλαστὸν ἐκ γαίας, ἐν ἄλλῃ μητρὸς ὀπτηθὲν στέγῃ,
νεογενοῦς ποίμνης δ᾽ ἐν αὐτῇ πνικτὰ γαλατοθρέμμονα,
τακεροχρῶτ᾽ εἴδη κύουσαν; Β. Ἡράκλεις ἀποκτενεῖς
ἆρά μ᾽, εἰ μὴ γνωρίμως μοι πάνυ φράσεις κρεῶν χύτραν.
Α. εὖ λέγεις. ξουθῆς μελίσσης νάμασιν δὲ συμμιγῆ c
μηκάδων αἰγῶν ἀπόρρουν θρόμβον, ἐγκαθειμένον
εἰς πλατὺ στέγαστρον ἁγνῆς παρθένου Δηοῦς κόρης
λεπτοσυνθέτοις τρυφῶντα μυρίοις καλύμμασιν;
ἢ σαφῶς πλακοῦντα φράζω σοι; Β. πλακοῦντα βούλομαι.
Α. βρομιάδος δ᾽ ἱδρῶτα πηγῆς; Β. οἶνον εἰπὲ συντεμών.
Α. λιβάδα νυμφαίαν δροσώδη; Β. παραλιπὼν ὕδωρ φάθι.
Α. κασιόπνουν δ᾽ αὔραν δι᾽ αἴθρας; Β. σμύρναν εἰπέ, μὴ μακράν. d
Α. μηδὲ τοιοῦτ᾽ ἄλλο μηδέν; Β. μὴ ἀλλὰ τοὔμπαλιν λέγε,
ὅτι δοκεῖ τοῦτ᾽ ἔργον εἶναι μεῖζον, ὥς φασίν τινες,
αὐτὸ μὲν μηδέν, παρ᾽ αὐτὸ δ᾽ ἄλλα συστρέφειν πυκνά.

71. καὶ Ἄλεξις δ' ἐν Ὕπνῳ τοιούτους γρίφους προβάλλει

οὐ θνητὸς οὐδ' ἀθάνατος, ἀλλ' ἔχων τινὰ
σύγκρασιν, ὥστε μήτ' ἐν ἀνθρώπου μέρει
μήτ' ἐν θεοῦ ζῆν, ἀλλὰ φύεσθαί τ' ἀεὶ
e καινῶς φθίνειν τε τὴν παρουσίαν πάλιν,
ἀόρατος ὄψιν, γνώριμος δ' ἅπασιν ὤν.
Β. παίζουσα χαίρεις ὦ γύναι μ' αἰνίγμασιν.
Α. καὶ μὴν ἁπλᾶ γε καὶ σαφῆ λέγω μαθεῖν.
Β. τίς οὖν τοσαύτην παῖς ἔχων ἔσται φύσιν;
Α. ὕπνος, βροτείων ὦ κόρη παυστὴρ πόνων.

Εὔβουλος δ' ἐν Σφιγγοκαρίωνι τοιούτους γρίφους προβάλλει, αὐτὸς καὶ ἐπιλύων αὐτούς.

ἔστι λαλῶν ἄγλωσσος, ὁμώνυμος ἄρρενι θῆλυς,
οἰκείων ἀνέμων ταμίας, δασὺς ἄλλοτε λεῖος,
f ἀξύνετα ξυνετοῖσι λέγων, νόμον ἐκ νόμου ἕλκων·
ἓν δ' ἐστὶν καὶ πολλά, καὶ ἂν τρώσῃ τις ἄτρωτος.
τί ἐστι τοῦτο; Β. τί ἀπορεῖς; Καλλίστρατος.
Α. πρωκτὸς μὲν οὖν οὗτος. Β. σὺ δὴ ληρεῖς ἔχων.
Α. οὗτος γὰρ αὐτός ἐστιν ἄγλωττος λάλος,
ἓν ὄνομα πολλοῖς, τρωτὸς οὐ τρωτός, δασὺς
λεῖος. τί βούλει; πνευμάτων πολλῶν φύλαξ.
450 ἀττελεβόφθαλμος, μὴ πρόστομος, ἀμφικέφαλλος,
αἰχμητής, παίδων ἀγόνων γόνον ἐξαφανίζων.
ἰχνεύμων αἰγύπτιος.
τῶν γὰρ κροκοδείλων οὗτος ᾠὰ λαμβάνων,
πρὶν θηριοῦσθαι τὸν γόνον, καταγνύει,
ἔπειτ' ἀφανίζει. διότι δ' ἔστ' ἀμφίστομος,
κεντεῖ κάτωθεν, τοῖς δὲ χείλεσιν δάκνει.

οἶδ' ἐγὼ ὃς νέος ὢν ἐστιν βαρύς, ἂν δὲ γέρων ᾖ,
ἄπτερος ὢν κούφως πέταται καὶ γῆν ἀφανίζει.
πάππος ἀπ' ἀκάνθης· οὗτος γὰρ b
νέος μὲν ὢν ἕστηκεν ἐν τῷ σπέρματι·
ὅταν δ' ἀποβάλῃ τοῦτο, πέτεται κοῦφος ὢν
δήπουθεν ὑπὸ τῶν παιδίων φυσώμενος.
ἔστιν ἄγαλμα βεβηκὸς ἄνω, τὰ κάτω δὲ κεχηνός,
εἰς πόδας ἐκ κεφαλῆς τετρημένον ὀξὺ διαπρό,
ἀνθρώπους τίκτον κατὰ τὴν πυγὴν ἕν' ἕκαστον·
ὧν οἳ μὲν μοίρας ἔλαχον βίου οἳ δὲ πλανῶνται.
αὐτὸ δ' ἕκαστος ἔχων αὐτόν, καλέω δὲ φυλάττειν.

ταῦτα δ' ὅτι κληρωτικὸν σημαίνει ὑμεῖς διακρίνατε, c
ἵνα μὴ πάντα παρὰ τοῦ Εὐβούλου λαμβάνωμεν.
72. Ἀντιφάνης δ' ἐν τῷ Προβλήματί φησιν

ἰχθύσιν ἀμφίβληστρον ἀνὴρ πολλοῖς περιβάλλειν
οἰηθεὶς μεγάλῃ δαπάνῃ μίαν εἵλκυσε πέρκην,
κᾆτ' αὐτὴν ψευσθεὶς ἄλλην κεστρεὺς ἴσον αὐτὴν
ἦγεν. βουλομένη δ' ἕπεται πέρκη μελανούρῳ.
Β. κεστρεύς, ἀνήρ, μελάνουρος, οὐκ οἶδ' ὅ τι λέγεις.
οὐδὲν λέγεις γάρ. Α. ἀλλ' ἐγὼ σαφῶς φράσω.
ἔστι τις ὃς τὰ μὲν ὄντα διδοὺς οὐκ οἶδε δεδωκὼς d
οἷσι δέδωκ', οὐδ' αὐτὸς ἔχων ὧν οὐδὲν ἐδεῖτο.
Β. διδούς τις οὐκ ἔδωκεν οὐδ' ἔχων ἔχει;
οὐκ οἶδα τούτων οὐδέν. Α. οὐκοῦν ταῦτα καὶ
ὁ γρῖφος ἔλεγεν. ὅσα γὰρ οἶσθ' οὐκ οἶσθα νῦν,
οὐδ' ὅσα δέδωκας, οὐδ' ὅσ' ἀντ' αὐτῶν ἔχεις.
τοιοῦτο τοῦτ' ἦν. Β. τοιγαροῦν κἀγώ τινα
εἰπεῖν πρὸς ὑμᾶς βούλομαι γρῖφον. Α. λέγε.
Β. πίνη καὶ τρίγλη φωνὰς ἰχθῦ δύ' ἔχουσαι

e πόλλ' ἐλάλουν. περὶ ὧν δὲ πρὸς ὅν τ' ᾤοντο λέγειν τι
οὐκ ἐλάλουν· οὐδὲν γὰρ ἐμάνθανεν, ὥστε πρὸς ὃν μὲν
ἦν αὐταῖς ὁ λόγος, πρὸς δ' αὐτὰς πολλὰ λαλούσας
αὐτὰς ἀμφοτέρας ἡ Δημήτηρ ἐπιτρίψαι.

73. ἐν δὲ Σαπφοῖ ὁ Ἀντιφάνης αὐτὴν τὴν ποιήτριαν προβάλλουσαν ποιεῖ γρίφους τόνδε τὸν τρόπον, ἐπιλυομένου τινὸς οὕτως. ἡ μὲν γάρ φησιν

ἔστι φύσις θήλεια βρέφη σῴζουσ' ὑπὸ κόλποις
f αὑτῆς. ὄντα δ' ἄφωνα βοὴν ἵστησι γεγωνὸν
καὶ κατὰ πόντιον οἶδμα καὶ ἠπείρου διὰ πάσης
οἷς ἐθέλει θνητῶν· τοῖς δ' οὐδὲ παροῦσιν ἀκούειν
ἔξεστιν· κωφὴν δ' ἀκοῆς αἴσθησιν ἔχουσιν.

ταῦτά τις ἐπιλυόμενός φησιν

ἡ μὲν φύσις γὰρ ἣν λέγεις ἐστὶν πόλις,
βρέφη δ' ἐν αὑτῇ διατρέφει τοὺς ῥήτορας.
οὗτοι κεκραγότες δὲ τὰ διαπόντια
τἀκ τῆς Ἀσίας καὶ τἀπὸ Θρᾴκης λήμματα
451 ἕλκουσι δεῦρο. νεμομένων δὲ πλησίον
αὐτῶν κάθηται λοιδορουμένων τ' ἀεὶ
ὁ δῆμος, οὐδὲν οὔτ' ἀκούων οὔθ' ὁρῶν.
Σ. [οὐδὲν λέγεις·] πῶς γὰρ γένοιτ' ἄν, ὦ πάτερ,
ῥήτωρ ἄφωνος; Β. ἢν ἁλῷ τρὶς παρανόμων·
Σ. [παίζεις ἔχων.] Β. καὶ μὴν ἀκριβῶς ᾠόμην
ἐγνωκέναι τὸ ῥηθέν. ἀλλὰ δὴ λέγε.

ἔπειτα ποιεῖ τὴν Σαπφὼ διαλυομένην τὸν γρῖφον οὕτως

θήλεια μέν νύν ἐστι φύσις ἐπιστολή,
βρέφη δ' ἐν αὑτῇ περιφέρει τὰ γράμματα·

ἄφωνα δ' ὄντα ταῦτα τοῖς πόρρω λαλεῖ b
οἷς βούλεθ'· ἕτερος δ' ἂν τύχῃ τις πλησίον
ἑστὼς ἀναγιγνώσκοντος οὐκ ἀκούσεται.

74. Δίφιλος δ' ἐν Θησεῖ τρεῖς ποτε κόρας Σαμίας φησὶν ἀδωνίοισι γριφεύειν παρὰ πότον. προβαλεῖν δ' αὐταῖσι τὸν γρῖφον τί πάντων ἰσχυρότατον; καὶ τὴν μὲν εἰπεῖν ὁ σίδηρος, καὶ φέρειν τούτου λόγου τὴν ἀπόδειξιν, διότι τούτῳ πάντ' ὀρύσσουσίν τε καὶ τέμνουσι καὶ χρῶντ' εἰς ἅπαντα. εὐδοκιμοῦσαι δ', ἐπάγειν τὴν δευτέραν, φάσκειν τε τὸν χαλκέα πολὺ κρείττω φέρειν ἰσχύν· ἐπεὶ τοῦτον κατεργαζόμενον c καὶ τὸν σίδηρον τὸν σφοδρὸν κάμπτειν, μαλάσσειν, ὅ τι ἂν χρήζῃ ποιεῖν. τὴν δὲ τρίτην ἀποφῆναι πέος ἰσχυρότατον πάντων· διδάσκειν δ' ὅτι καὶ τὸν χαλκέα στένοντα πυγίζουσι τούτῳ. Ἀχαιὸς δ' ὁ Ἐρετριεύς, γλαφυρὸς ὢν ποιητὴς περὶ τὴν σύνθεσιν, ἔσθ' ὅτε καὶ μελαίνει τὴν φράσιν καὶ πολλὰ αἰνιγματωδῶς ἐκφέρει, ὥσπερ ἐν Ἴριδι σατυρικῇ. λέγει γάρ

λιθάργυρος δ' d
ὄλπη παρῃωρεῖτο χρίματος πλέα
τὸν σπαρτιάτην γραπτὸν ἐν διπλῷ ξύλῳ
κύρβιν.

τὸν γὰρ λευκὸν ἱμάντα βουληθεὶς εἰπεῖν, ἐξ οὗ ἡ ἀργυρᾶ λήκυθος ἐξήρτητο, σπαρτιάτην γραπτὸν ἔφη κύρβιν ἀντὶ τοῦ σπαρτιᾶτιν σκυτάλην. ὅτι δὲ λευκῷ ἱμάντι περιειλοῦντες τὴν σκυτάλην οἱ Λάκωνες ἔγραφον ἃ ἠβούλοντο εἴρηκεν ἱκανῶς Ἀπολλώνιος ὁ Ῥόδιος ἐν τῷ περὶ Ἀρχιλόχου. καὶ Στησίχορος δ' ἐν Ἑλένῃ λιθαργύρεον ποδονιπτῆρα ἔφη. Ἴων δ' ἐν Φοίνικι ἢ Καινεῖ δρυὸς ἱδρῶτα εἴρηκε τὸν ἰξὸν ἐν τούτοις

δρυὸς μ' ἱδρὼς
καὶ θαμνομήκης ῥάβδος ἥ τ' αἰγυπτία

e βόσκει λινουλκὸς χλαῖνα, θήραγρος πέδη.

75. Θεοδέκτην δὲ τὸν Φασηλίτην φησὶν Ἕρμιππος ἐν τοῖς περὶ τῶν Ἰσοκράτους μαθητῶν ἱκανώτατον γεγονέναι ἀνευρεῖν τὸν προβληθέντα γρῖφον καὶ αὐτὸν προβαλεῖν ἑτέροις ἐπιδεξίως, οἷον τὸν περὶ τῆς σκιᾶς. ἔφη γὰρ εἶναί τινα φύσιν ἣ περὶ τὴν γένεσιν καὶ φθίσιν ἐστὶ μεγίστη, περὶ δὲ τὴν ἀκμὴν ἐλαχίστη. λέγει δ' οὕτως

τίς φύσις οὔθ' ὅσα γαῖα φέρει τροφὸς οὔθ' ὅσα πόντος,
f οὔτε βροτοῖσιν ἔχει γυίων αὔξησιν ὁμοίαν.
ἀλλ' ἐν μὲν γενέσει πρωτοσπόρῳ ἐστὶ μεγίστη,
ἐν δὲ μέσαις ἀκμαῖς μικρά, γήρᾳ δὲ πρὸς αὐτῷ
μορφῇ καὶ μεγέθει μείζων πάλιν ἐστὶν ἁπάντων.

κἀν τῷ Οἰδίποδι δὲ τῇ τραγῳδίᾳ τὴν νύκτα καὶ τὴν ἡμέραν εἴρηκεν αἰνιττόμενος

εἰσὶ κασίγνηται δισσαί, ὧν ἡ μία τίκτει
452 τὴν ἑτέραν, αὐτὴ δὲ τεκοῦσ' ὑπὸ τῆσδε τεκνοῦται.

τοιοῦτόν τι καὶ Καλλισθένης ἐν τοῖς Ἑλληνικοῖς φησίν, ὡς Ἀρκάδων πολιορκούντων Κρῶμνον (πολίχνιον δ' ἐστὶν ἱδρυμένον πλησίον Μεγάλης πόλεως) Ἱππόδαμος ὁ Λάκων εἷς ὢν τῶν πολιορκουμένων διεκελεύετο τῷ παρὰ Λακεδαιμονίων πρὸς αὐτοὺς ἥκοντι κήρυκι, δηλῶν ἐν αἰνιγμῷ τὴν περὶ αὐτοὺς κατάστασιν, ἀπαγγέλλειν τῇ μητρὶ λύεσθαι τὸ γύναιον δέχ' ἡμερῶν τὸ ἐν Ἀπολλωνείῳ δεδεμένον,
b ὡς οὐκ ἔτι λύσιμον ἐσόμενον, ἐὰν αὗται παρέλθωσι. καὶ διὰ ταύτης τῆς γνώμης ἐμήνυε σαφῶς τὸ μήνυμα. αὕτη γάρ ἐστιν ἐν τῷ Ἀπολλωνείῳ παρὰ τὸν τοῦ Ἀπόλλωνος θρόνον διὰ γραφῆς ἀπομεμιμημένος Λιμός, ἔχων γυναικὸς μορφήν. φανερὸν οὖν ἐγένετο πᾶσιν ὅτι δέκα ἡμέρας ἔτι καρτερῆσαι δύνανται οἱ

πολιορκούμενοι διὰ τὸν λιμόν. συνέντες οὖν οἱ Λάκωνες τὸ λεχθὲν ἐβοήθησαν κατὰ τάχος τοῖς ἐν τῇ Κρώμνῳ.

76. πολλοὶ δὲ γρίφων καὶ τοιοῦτοί τινές εἰσιν οἷον

ἄνδρ᾽ εἶδον πυρὶ χαλκὸν ἐπ᾽ ἀνέρι κολλήσαντα
οὕτω συγκόλλως ὥστε σύναιμα ποιεῖν. c

τοῦτο δὲ σημαίνει σικύας προσβολήν. καὶ τὸ Πανάρκους δ᾽ ἐστὶ τοιοῦτον, ὥς φησι Κλέαρχος ἐν τῷ περὶ γρίφων, ὅτι βάλοι ξύλῳ τε καὶ οὐ ξύλῳ καθημένην ὄρνιθα καὶ οὐκ ὄρνιθα ἀνήρ τε καὶ οὐκ ἀνὴρ λίθῳ τε καὶ οὐ λίθῳ. τούτων γάρ ἐστι τὸ μὲν νάρθηξ, τὸ δὲ νυκτερίς, τὸ δὲ εὐνοῦχος, τὸ δὲ κίσηρις. καὶ Πλάτων δ᾽ ἐν πέμπτῳ Πολιτείας μνημονεύει 'τοὺς τῶν τεχνυδρίων φιλοσόφους τοῖς ἐν ταῖς ἑστιάσεσιν ἔφη ἐπαμφοτερίζουσιν ἐοικέναι καὶ τῷ τῶν παίδων αἰνίγματι d τῷ περὶ τοῦ εὐνούχου τῆς βολῆς πέρι τῆς νυκτερίδος, ᾧ καὶ ἀφ᾽ οὗ αὐτὸν αὐτὴν αἰνίττονται βαλεῖν.'

77. καὶ τὰ Πυθαγόρου δὲ αἰνίγματα τοιαῦτά ἐστιν, ὥς φησι Δημήτριος ὁ Βυζάντιος ἐν τετάρτῳ περὶ ποιημάτων. 'καρδίαν μὴ ἐσθίειν' ἀντὶ τοῦ ἀλυπίαν ἀσκεῖν. 'πῦρ μαχαίρᾳ μὴ σκαλεύειν' ἀντὶ τοῦ τεθυμωμένον ἄνδρα μὴ ἐριδαίνειν. πῦρ γὰρ ὁ θυμός, ἡ δὲ ἔρις μάχαιρα. 'ζυγὸν μὴ ὑπερβαίνειν' ἀντὶ τοῦ πᾶσαν πλεονεξίαν φεύγειν καὶ στυγεῖν, ζητεῖν δὲ τὸ e ἴσον. 'λεωφόρους ὁδοὺς μὴ στείχειν' ἀντὶ τοῦ γνώμῃ τῶν πολλῶν μὴ ἀκολουθεῖν· εἰκῇ γὰρ ἕκαστος ὅ τι ἂν δόξῃ ἀποκρίνεται. τὴν δ᾽ εὐθεῖαν ἄγειν ἡγεμόνι χρώμενον τῷ νῷ. 'μὴ καθῆσθαι ἐπὶ χοίνικα' ἀντὶ τοῦ μὴ σκοπεῖν τὰ ἐφ᾽ ἡμέραν, ἀλλὰ τὴν ἐπιοῦσαν ἀεὶ . . . προσδέχεσθαι. ὅρια γὰρ καὶ πέρας ζωῆς ὁ θάνατος· τοῦτον οὖν οὐκ ἐᾷ μετὰ λύπης καὶ φροντίδος προσίεσθαι.

78. τῷ δὲ Θεοδέκτει παραπλησίως ἔπαιξε γρίφους f καὶ Δρομέας ὁ Κῷος, ὥς φησι Κλέαρχος· καὶ Ἀριστώνυμος ὁ ψιλοκιθαριστής, ἔτι δὲ Κλέων ὁ μίμαυλος ἐπικαλούμενος, ὅσπερ καὶ τῶν ἰταλικῶν μίμων ἄριστος γέγονεν αὐτοπρόσωπος ὑποκριτής. καὶ γὰρ Νυμφοδώρου περιῆν ἐν τῷ μνημονευομένῳ μίμῳ. τούτου δὲ καὶ Ἰσχόμαχος ὁ κῆρυξ ἐγένετο ζηλωτής, ὃς ἐν τοῖς κύκλοις ἐποιεῖτο τὰς μιμήσεις· ὡς δ' εὐδοκίμει, μεταβὰς ἐν τοῖς θαύμασιν ὑπεκρίνετο μίμους. τοιοῦτοι δ' ἦσαν οὓς ἐποίουν γρίφους, οἷον ἀγροίκου 453 τινὸς ὑπερπλησθέντος καὶ κακῶς ἔχοντος, ὡς ἠρώτα αὐτὸν ὁ ἰατρὸς μὴ εἰς ἔμετον ἐδείπνησεν, οὐκ ἔγωγε, εἰπεῖν, ἀλλ' εἰς τὴν κοιλίαν. καὶ πτωχῆς τινὸς τὴν γαστέρα πονούσης, ἐπεὶ ὁ ἰατρὸς ἐπυνθάνετο μὴ ἐν γαστρὶ ἔχει, πῶς γε, εἶπε, τριταία μὴ βεβρωκυῖα; τῶν Ἀριστωνυμ . . . ων δ' ἦν εὐπαρύφων λόγων. καὶ ὁ Σωσιφάνης ὁ ποιητὴς εἰς Κηφισοκλέα τὸν ὑποκριτὴν εἶπε λοιδορῶν αὐτὸν ὡς εἰς εὐρύστομον, 'ἐνέβαλλον γὰρ ἄν σου, φησίν, εἰς τὰ ἰσχία λίθον, εἰ μὴ b καταρραίνειν ἔμελλον τοὺς περιεστηκότας.' ἀρχαιότατος δ' ἐστὶ λογικὸς γρῖφος καὶ τῆς τοῦ γριφεύειν φύσεως οἰκειότατος

τί πάντες οὐκ ἐπιστάμενοι διδάσκομεν;

καί

τί ταυτόν ἐστιν οὐδαμοῦ καὶ πανταχοῦ;

καὶ πρὸς τούτοις

τί ταυτὸν ἐν οὐρανῷ καὶ ἐπὶ γῆς καὶ ἐν θαλάττῃ;

τοῦτο δ' ἐστὶν ὁμωνυμία, καὶ γὰρ ἄρκτος καὶ ὄφις καὶ ἀετὸς καὶ κύων ἐστὶν ἐν οὐρανῷ καὶ ἐν γῇ καὶ ἐν θαλάττῃ. τὸ δὲ χρόνον σημαίνει, ἅμα γὰρ παρὰ πᾶc σιν ὁ αὐτὸς καὶ οὐδαμοῦ διὰ τὸ μὴ ἐν ἑνὶ τόπῳ τὴν

φύσιν ἔχειν. τὸ δὲ προάγον ἐστὶ ψυχὰς ἔχειν· τοῦτο γὰρ οὐδεὶς ἡμῶν ἐπιστάμενος διδάσκει τὸν πλησίον.

79. ὁ δὲ Ἀθηναῖος Καλλίας, ἐζητοῦμεν γὰρ ἔτι πρότερον περὶ αὐτοῦ, μικρὸν ἔμπροσθεν γενόμενος τοῖς χρόνοις Στράττιδος, ἐποίησε τὴν καλουμένην γραμματικὴν τραγῳδίαν, οὕτω διατάξας. πρόλογος μὲν αὐτῆς ἐστιν ἐκ τῶν στοιχείων, ὃν χρὴ λέγειν διαιροῦντας κατὰ τὰς παραγραφάς, καὶ τὴν τελευτὴν καταστροφικῶς ποιουμένους

ἔστ᾽ ἄλφα, βῆτα, γάμμα, δέλτα, θεοῦ πάρ᾽ εἶ, d
ζῆτ᾽, ἦτα, θῆτ᾽, ἰῶτα, κάππα, λάβδα, μῦ,
νῦ, ξῦ, τὸ οὖ, πῖ, ῥῶ, τὸ σάν, ταῦ, ὖ παρόν,
φῖ, χῖ τε τῷ ψῖ εἰς τὸ ὦ.

ὁ χορὸς δὲ γυναικῶν ἐκ τῶν σύνδυο πεποιημένος αὐτῷ ἐστὶν ἔμμετρος ἅμα καὶ μεμελοπεποιημένος τόνδε τὸν τρόπον, βῆτα ἄλφα βα, βῆτα εἶ βε, βῆτα ἦτα βη, βῆτα ἰῶτα βι, βῆτα οὖ βο, βῆτα ὖ βυ, βῆτα ὦ βω. καὶ πάλιν ἐν ἀντιστρόφῳ τοῦ μέλους καὶ τοῦ μέτρου, γάμμα ἄλφα, γάμμα εἶ, γάμμα ἦτα, γάμμα ἰῶτα, γάμμα οὖ, γάμμα ὖ, γάμμα ὦ. καὶ ἐπὶ τῶν e λοιπῶν συλλαβῶν ὁμοίως ἑκάστων τό τε μέτρον καὶ τὸ μέλος ἐν ἀντιστρόφοις ἔχουσι πᾶσαι ταυτόν. ὥστε τὸν Εὐριπίδην μὴ μόνον ὑπονοεῖσθαι τὴν Μήδειαν ἐντεῦθεν πεποιηκέναι πᾶσαν, ἀλλὰ καὶ τὸ μέλος αὐτὸ μετενηνοχότα φανερὸν εἶναι. τὸν δὲ Σοφοκλέα διελεῖν φασὶν ἀποτολμῆσαι τὸ ποίημα τῷ μέτρῳ τοῦτ᾽ ἀκούσαντα, καὶ ποιῆσαι ἐν τῷ Οἰδίποδι οὕτως

ἐγὼ οὔτ᾽ ἐμαυτὸν οὔτε σ᾽ ἀλγυνῶ. τί ταῦτ᾽
ἄλλως ἐλέγχεις;

διόπερ οἱ λοιποὶ τὰς ἀντιστρόφους ἀπὸ τούτου παρεδέχοντο πάντες, ὡς ἔοικεν, εἰς τὰς τραγῳδίας. καὶ f μετὰ τὸν χορὸν εἰσάγει πάλιν ἐκ τῶν φωνηέντων

ῥῆσιν οὕτως, ἣν δεῖ κατὰ τὰς παραγραφὰς ὁμοίως τοῖς πρόσθεν λέγοντα διαιρεῖν, ἵν' ἡ τοῦ ποιήσαντος ὑπόκρισις σώζηται κατὰ τὴν δύναμιν·

Α. ἄλφα μόνον, ὦ γυναῖκες, εἶ τε δεύτερον
μόνον λέγειν χρή; Χ. καὶ τρίτον μόνον γ' ἐρεῖς.
Α. ἦτ' ἆρα φήσω. Χ. τό τε τέταρτον αὖ μόνον
ἰῶτα, πέμπτον οὖ, τό θ' ἕκτον ὖ λέγειν
μόνον· τὸ λοίσθιον δὲ φώνησον τὸ ὦ
τῶν ἑπτὰ φωνῶν, ἑπτὰ δ' ἐν μέτροις μόνον.
454 καὶ τοῦτο λέξασ' εἶτα δὴ σαυτῇ λάλει.

80. δεδήλωκε δὲ καὶ διὰ τῶν ἰαμβείων γράμμα πρῶτος οὗτος ἀκολαστότερον μὲν κατὰ τὴν διάνοιαν, πεφρασμένον δὲ τὸν τρόπον τοῦτον

κύω γάρ, ὦ γυναῖκες, ἀλλ' αἰδοῖ, φίλα,
ἐν γράμμασι σφῷν τοὔνομ' ἐξερῶ βρέφους.
ὀρθὴ μακρὰ γραμμή 'στιν, ἐκ δ' αὐτῆς μέσης
μικρὰ παρεστῶσ' ἑκατέρωθεν ὑπτία,
ἔπειτα κύκλος πόδας ἔχων βραχεῖς δύο.

ὅθεν ὕστερον, ὡς ἂν ὑπονοήσειέ τις, Μαιάνδριος
b μὲν ὁ συγγραφεὺς μικρὸν διὰ τῆς ἑρμηνείας τῇ μιμήσει παρεγκλίνας συνέγραψεν ἐν τῷ Παραγγέλματι φορτικώτερον τοῦ ῥηθέντος, Εὐριπίδης δὲ τὴν ἐν τῷ Θησεῖ τὴν ἐγγράμματον ἔοικε ποιῆσαι ῥῆσιν. βοτὴρ δ' ἐστὶν ἀγράμματος αὐτόθι δηλῶν τοὔνομα τοῦ Θησέως ἐπιγεγραμμένον οὕτως

ἐγὼ πέφυκα γραμμάτων μὲν οὐκ ἴδρις,
μορφὰς δὲ λέξω καὶ σαφῆ τεκμήρια.
κύκλος τις ὡς τόρνοισιν ἐκμετρούμενος,
οὗτος δ' ἔχει σημεῖον ἐν μέσῳ σαφές.
c τὸ δεύτερον δὲ πρῶτα μὲν γραμμαὶ δύο,
ταύτας διείργει δ' ἐν μέσαις ἄλλη μία.
τρίτον δὲ βόστρυχός τις ὣς εἱλιγμένος.

τὸ δ' αὖ τέταρτον ἦν μὲν εἰς ὀρθὸν μία,
λοξαὶ δ' ἐπ' αὐτῆς τρεῖς κατεστηριγμέναι
εἰσίν. τὸ πέμπτον δ' οὐκ ἐν εὐμαρεῖ φράσαι·
γραμμαὶ γάρ εἰσιν ἐκ διεστώτων δύο,
αὗται δὲ συντρέχουσιν εἰς μίαν βάσιν.
τὸ λοίσθιον δὲ τῷ τρίτῳ προσεμφερές.

τὸ δ' αὐτὸ πεποίηκε καὶ Ἀγάθων ὁ τραγῳδιοποιὸς ἐν d τῷ Τηλέφῳ. ἀγράμματος γάρ τις κἀνταῦθα δηλοῖ τὴν τοῦ Θησέως ἐπιγραφὴν οὕτως

γραφῆς ὁ πρῶτος ἦν μεσόμφαλος κύκλος·
ὀρθοί τε κανόνες ἐζυγωμένοι δύο,
σκυθικῷ τε τόξῳ τὸ τρίτον ἦν προσεμφερές.
ἔπειτα τριόδους πλάγιος ἦν προσκείμενος,
ἐφ' ἑνός τε κανόνος ὑπτιωμένοι δύο.
ὅπερ δὲ τὸ τρίτον καὶ τελευταῖον πάλιν.

καὶ Θεοδέκτης δ' ὁ Φασηλίτης ἄγροικόν τινα ἀγράμματον παράγει, καὶ τοῦτον τὸ τοῦ Θησέως ὄνομα δια- e σημαίνοντα

γραφῆς ὁ πρῶτος ἦν μεσόφθαλμος κύκλος.
ἔπειτα δισσοὶ κανόνες ἰσόμετροι πάνυ,
τούτους δὲ πλάγιος διὰ μέσου συνδεῖ κανών,
τρίτον δ' ἑλικτῷ βοστρύχῳ προσεμφερές.
ἔπειτα τριόδους πλάγιος ὥς ἐφαίνετο,
πέμπται δ' ἄνωθεν ἰσόμετροι ῥάβδοι δύο,
αὗται δὲ συντείνουσιν εἰς βάσιν μίαν.
ἕκτον δ' ὅπερ καὶ πρόσθεν εἶφ', ὁ βόστρυχος. f

καὶ Σοφοκλῆς δὲ τούτῳ παραπλήσιον ἐποίησεν ἐν Ἀμφιαράῳ σατυρικῷ τὰ γράμματα παράγων ὀρχούμενον.

81. Νεοπτόλεμος δ' ὁ Παριανὸς ἐν τῷ περὶ ἐπιγραμμάτων ἐν Καλχηδόνι φησὶν ἐπὶ τοῦ Θρασυμάχου

τοῦ σοφιστοῦ μνήματος ἐπιγεγράφθαι τόδε τὸ ἐπίγραμμα

τοὔνομα θῆτα ῥῶ ἄλφα σάν ὖ μῦ ἄλφα χῖ οὖ σάν.
πατρὶς Καλχηδών. ἡ δὲ τέχνη σοφίη.

τὸ δὲ Καστορίωνος τοῦ Σολέως, ὡς ὁ Κλέαρχός φησιν, εἰς τὸν Πᾶνα ποίημα τοιοῦτόν ἐστι· τῶν ποδῶν
455 ἕκαστος ὅλοις ὀνόμασι περιειλημμένος πάντας ὁμοίως ἡγεμονικοὺς καὶ ἀκολουθητικοὺς ἔχει τοὺς πόδας, οἷον

σὲ τὸν βολαῖς νιφοκτύποις δυσχείμερον
ναίονθ᾽ ἕδραν, θηροφόνε Πάν, χθόν᾽ Ἀρκάδων,
κλήσω γραφῇ τῇδ᾽ ἐν σοφῇ πάγκλειτ᾽ ἔπη
συνθείς, ἄναξ, δύσγνωστα μὴ σοφῷ κλύειν,
μωσοπόλε θήρ, κηρόχυτον ὃς μείλιγμ᾽ ἱεῖς.

καὶ τὰ λοιπὰ τὸν αὐτὸν τρόπον. τούτων δ᾽ ἕκαστον τῶν ποδῶν ὡς ἂν τῇ τάξει θῇς τὸ αὐτὸ μέτρον ἀποδώσει, οὕτως

σὲ τὸν βολαῖς νιφοκτύποις δυσχείμερον.
νιφοκτύποις σὲ τὸν βολαῖς δυσχείμερον.

b καὶ ὅτι τῶν ποδῶν ἕκαστός ἐστιν ἑνδεκαγράμματος. ἔστι δὲ καὶ μὴ τοῦτον τὸν τρόπον, ἀλλ᾽ ἑτέρως ποιῆσαι, ὥστε πλείω πρὸς τὴν χρῆσιν ἐκ τοῦ ἑνὸς ἔχειν οὕτω λέγοντας

μέτρον φράσον μοι τῶν ποδῶν μέτρον λαβών.
λαβὼν μέτρον μοι τῶν ποδῶν μέτρον φράσον.
οὐ βούλομαι γὰρ τῶν ποδῶν μέτρον λαβεῖν.
λαβεῖν μέτρον γὰρ τῶν ποδῶν οὐ βούλομαι.

82. Πίνδαρος δὲ πρὸς τὴν ἀσιγμοποιηθεῖσαν
c ᾠδήν, ὡς ὁ αὐτός φησι Κλέαρχος, οἱονεὶ γρίφου τινὸς ἐν μελοποιίᾳ προβληθέντος, ὡς πολλῶν τούτῳ

προσκρουόντων διὰ τὸ ἀδύνατον εἶναι ἀποσχέσθαι τοῦ σίγμα καὶ διὰ τὸ μὴ δοκιμάζειν ἐποίησε

πρὶν μὲν εἷρπε σχοινοτένειά τ' ἀοιδὰ
καὶ τὸν σὰν κίβδηλον ἀνθρώποις.

ταῦτα σημειώσαιτ' ἄν τις πρὸς τοὺς νοθεύοντας Λάσου τοῦ Ἑρμιονέως τὴν ἄσιγμον ᾠδήν, ἥτις ἐπιγράφεται Κένταυροι. καὶ ὁ εἰς τὴν Δήμητρα δὲ τὴν ἐν
Ἑρμιόνῃ ποιηθεὶς τῷ Λάσῳ ὕμνος ἄσιγμός ἐστιν, ὥς d
φησιν Ἡρακλείδης ὁ Ποντικὸς ἐν τρίτῳ περὶ μουσικῆς. οὗ ἐστιν ἀρχή

Δάματρα μέλπω κόραν τε Κλυμένοιο ἄλοχον.

83. ἔστιν εὐπορῆσαι καὶ ἄλλων γρίφων

ἐν φανερᾷ γενόμαν, πάτραν δέ μου ἁλμυρὸν ὕδωρ
ἀμφὶς ἔχει. μάτηρ δ' ἔστ' ἀριθμοῖο πάις.

φανερᾷ μὲν οὖν λέγει τῇ Δήλῳ, ἥτις ὑπὸ θαλάσσης περιέχεται. μήτηρ δ' ἡ Λητώ, ἥτις Κοίου ἐστὶ θυ-
γάτηρ. Μακεδόνες δὲ τὸν ἀριθμὸν κοῖον προσαγο- e
ρεύουσι. καὶ ἐπὶ τῆς πτισάνης

κριθῆς ἀφλοίου χυλὸν ὀργάσας πίε.

πεποίηται δὲ τῆς πτισάνης τοὔνομα ἀπὸ τοῦ πτίσσειν καὶ ἀνεῖν. καὶ ἐπὶ τοῦ κοχλίου. φέρεται δὲ τοῦτο καὶ ἐν τοῖς Τεύκρου Ὁρισμοῖς

ζῷον ἄπουν ἀνάκανθον ἀνόστεον ὀστρακόνωτον,
ὄμματά τ' ἐκκύπτοντα προμήκεα κεἰσκύπτοντα.

Ἀντιφάνης δ' ἐν Αὑτοῦ ἐρῶντί φησι

τροφαλίδας τε λιπαροσάρκους. μανθάνεις; τυ- f
ρὸν λέγω.

Ἀναξανδρίδης δὲ Αἰσχρᾷ

ἀρτίως διηρτάμηκε, καὶ τὰ μὲν διανεκῆ
σώματος μέρη δαμάζετ' ἐν πυρικτίτοισι γᾶς·
Τιμόθεος ἔφη ποτ', ἄνδρες, τὴν χύτραν οἶμαι
λέγων.

Τιμοκλῆς δ' ἐν Ἥρωσιν

ὡς δ' ἦν ἡρμένη
βίου τιθήνη, πολεμία λιμοῦ, φύλαξ
φιλίας, ἰατρὸς ἐκλύτου βουλιμίας,
456 τράπεζα. Β. περιέργως γε νὴ τὸν οὐρανόν,
ἐξὸν φράσαι τράπεζα συντόμως.

Πλάτων δ' ἐν τῷ Ἀδώνιδι χρησμὸν δοθῆναι λέγων Κινύρᾳ ὑπὲρ Ἀδώνιδος τοῦ υἱοῦ φησίν

ὦ Κινύρα, βασιλεῦ Κυπρίων ἀνδρῶν δασυπρώκτων,
παῖς σοι κάλλιστος μὲν ἔφυ θαυμαστότατός τε
πάντων ἀνθρώπων, δύο δ' αὐτὸν δαίμον' ὀλεῖτον,
ἣ μὲν ἐλαυνομένη λαθρίοις ἐρετμοῖς, ὃ δ' ἐλαύνων.

b λέγει δὲ Ἀφροδίτην καὶ Διόνυσον· ἀμφότεροι γὰρ ἤρων τοῦ Ἀδώνιδος. καὶ τὸ τῆς σφιγγὸς δὲ αἴνιγμα Ἀσκληπιάδης ἐν τοῖς Τραγῳδουμένοις τοιοῦτον εἶναί φησιν

ἔστι δίπουν ἐπὶ γῆς καὶ τετράπον, οὗ μία φωνή,
καὶ τρίπον, ἀλλάσσει δὲ φύσιν μόνον ὅσσ' ἐπὶ γαῖαν
ἑρπετὰ κινεῖται καὶ ἀν' αἰθέρα καὶ κατὰ πόντον.
ἀλλ' ὁπόταν πλείστοισιν ἐρειδόμενον ποσὶ βαίνῃ,
ἔνθα τάχος γυίοισιν ἀφαυρότατον πέλει αὐτοῦ.

c 84. γριφώδη δ' ἐστὶ καὶ Σιμωνίδῃ ταῦτα πεποιημένα, ὥς φησι Χαμαιλέων ὁ Ἡρακλεώτης ἐν τῷ περὶ Σιμωνίδου

μιξονόμου τε πατὴρ ἐρίφου καὶ σχέτλιος ἰχθὺς
πλησίον ἠρείσαντο καρήατα· παῖδα δὲ νυκτὸς
δεξάμενοι βλεφάροισι Διωνύσοιο ἄνακτος
βουφόνον οὐκ ἐθέλουσι τιθηνεῖσθαι θεράποντα.

φασὶ δ' οἳ μὲν ἐπί τινος τῶν ἀρχαίων ἀναθημάτων ἐν Χαλκίδι τοῦτ' ἐπιγεγράφθαι, πεποιῆσθαι δ' ἐν αὐτῷ τράγον καὶ δελφῖνα, περὶ ὧν εἶναι τὸν λόγον τοῦτον. οἳ δὲ εἰς ἐπιτόνιον ψαλτήριον δελφῖνα καὶ d τράγον εἰργασμένον εἰρῆσθαι· καὶ εἶναι τὸν βουφόνον καὶ τὸν Διονύσου θεράποντα τὸν διθύραμβον. οἳ δέ φασιν ἐν Ἰουλίδι τὸν τῷ Διονύσῳ θυόμενον βοῦν ὑπό τινος τῶν νεανίσκων παίεσθαι πελέκει. πλησίον δὲ τῆς ἑορτῆς οὔσης εἰς χαλκεῖον δοθῆναι τὸν πέλεκυν· τὸν οὖν Σιμωνίδην ἔτι νέον ὄντα βαδίσαι πρὸς τὸν χαλκέα κομιούμενον αὐτόν. ἰδόντα δὲ καὶ τὸν τεχνίτην κοιμώμενον καὶ τὸν ἀσκὸν καὶ τὸν καρκίνον εἰκῇ κείμενον καὶ ἐπαλλήλως ἔχοντα τὰ ἔμπροσθεν, οὕτως ἐλθόντα εἰπεῖν πρὸς τοὺς συνήθεις τὸ προειρημένον πρόβλημα. τὸν μὲν γὰρ τοῦ ἐρίφου πατέρα e τὸν ἀσκὸν εἶναι, σχέτλιον δὲ ἰχθὺν τὸν καρκίνον, νυκτὸς δὲ παῖδα τὸν ὕπνον, βουφόνον δὲ καὶ Διονύσου θεράποντα τὸν πέλεκυν. πεποίηκε δὲ καὶ ἕτερον ὁ Σιμωνίδης ἐπίγραμμα, ὃ παρέχει τοῖς ἀπείροις τῆς ἱστορίας ἀπορίαν

φημὶ τὸν οὐκ ἐθέλοντα φέρειν τέττιγος ἄεθλον
τῷ Πανοπηιάδῃ δώσειν μέγα δεῖπνον Ἐπειῷ.

λέγεται δὲ ἐν τῇ Καρθαίᾳ διατρίβοντα αὐτὸν διδά- f σκειν τοὺς χορούς. εἶναι δὲ τὸ χορηγεῖον ἄνω πρὸς Ἀπόλλωνος ἱερῷ οὐ μακρὰν τῆς θαλάσσης. ὑδρεύεσθαι οὖν καὶ τοὺς ἄλλους καὶ τοὺς περὶ τὸν Σιμωνίδην κάτωθεν, ἔνθα ἦν ἡ κρήνη. ἀνακομίζοντος δ' αὐτοῖς τὸ ὕδωρ ὄνου, ὃν ἐκάλουν Ἐπειόν, διὰ τὸ μυθολογεῖσθαι τοῦτο δρᾶν ἐκεῖνον, καὶ ἀναγεγράφθαι ἐν τῷ τοῦ Ἀπόλλωνος ἱερῷ τὸν τρωικὸν μῦθον, ἐν ᾧ ὁ Ἐπειὸς ὑδροφορεῖ τοῖς Ἀτρείδαις, ὡς καὶ Στησίχορός φησιν ᾤκτειρε γὰρ αὐτὸν ὕδωρ ἀεὶ φορέοντα 457

*Διὸς κούρα βασιλεῦσιν.' ὑπαρχόντων οὖν τούτων ταχθῆναί φασι τῷ μὴ παραγενομένῳ τῶν χορευτῶν εἰς τὴν ὡρισμένην ὥραν, παρέχειν τῷ ὄνῳ χοίνικα κριθῶν. τοῦτο οὖν κἂν τῷ ποιητῇ λέγεσθαι· καὶ εἶναι τὸν μὲν οὐ φέροντο τὸ τοῦ τέττιγος ἄεθλον τὸν οὐκ ἐθέλοντα ᾄδειν, Πανοπηιάδην δὲ τὸν ὄνον, μέγα δεῖπνον τὴν χοίνικα τῶν κριθῶν.*

85. *τοιοῦτόν ἐστι καὶ τὸ Θεόγνιδος τοῦ ποιητοῦ*

b *ἤδη γάρ με κέκληκε θαλάσσιος οἴκαδε νεκρός,*
*τεθνηκὼς ζωῷ φθεγγόμενος στόματι.*

*σημαίνει γὰρ κόχλον. τοιοῦτον δ' ἐστὶ καὶ τὸ ῥήματα λέγειν ἀνθρώπων ὀνόμασιν ὅμοια. οἷον*

*λαβὼν ἀριστόνικον ἐν μάχῃ κράτος.*

*καὶ τὸ περιφερόμενον*

*πέντ' ἄνδρες δέκα νανσὶ κατέδραμον εἰς ἕνα χῶρον,*
*ἐν δὲ λίθοις ἐμάχοντο, λίθον δ' οὐκ ἦν ἀνελέσθαι·*
c *δίψῃ δ' ἐξώλλυντο, ὕδωρ δ' ὑπερεῖχε γενείου.*

86. *τίνα δὲ κόλασιν ὑπέμενον Ἀθήνησιν οἱ μὴ λύσαντες τὸν προταθέντα γρῖφον, εἴ γε ἔπινον φιάλην [ἅλμῃ] κεκερασμένην, ὡς καὶ ὁ Κλέαρχος προεῖπεν ἐν τῷ ὅρῳ; κἀν τῷ πρώτῳ δὲ περὶ παροιμιῶν γράφει οὕτως 'τῶν γρίφων ἡ ζήτησις οὐκ ἀλλοτρία φιλοσοφίας ἐστί. καὶ οἱ παλαιοὶ τὴν τῆς παιδείας ἀπόδειξιν ἐν τούτοις* d *ἐποιοῦντο. προέβαλλον γὰρ παρὰ τοὺς πότους, οὐχ ὥσπερ οἱ νῦν ἐρωτῶντες ἀλλήλους, τίς τῶν ἀφροδισιαστικῶν συνδυασμῶν, ἢ τίς ἢ ποῖος ἰχθὺς ἥδιστος ἢ τίς ἀκμαιότατος, ἔτι δὲ τίς μετ' ἀρκτοῦρον ἢ μετὰ πλειάδα ἢ τίς μετὰ κύνα μάλιστα βρωτός. καὶ ἐπὶ τούτοις ἆθλα μὲν τοῖς νικῶσι φιλήματα, μίσους ἄξια τοῖς ἐλευθέραν αἴσθησιν ἔχουσι, ζημίαν δὲ τοῖς ἡττη-*

θεῖσι τάττουσιν ἄκρατον πιεῖν, ὃν ἥδιον τῆς ὑγιείας πίνουσιν. κομιδῇ γάρ ἐστι ταῦτά γε τινὸς τοῖς Φιλαινίδος καὶ τοῖς Ἀρχεστράτου συγγράμμασιν ἐνῳ- e κηκότος, ἔτι δὲ περὶ τὰς καλουμένας γαστρολογίας ἐσπουδακότος· ἀλλὰ μᾶλλον τὰς τοιαύτας, τῷ πρώτῳ ἔπος ἢ ἰαμβεῖον εἰπόντι τὸ ἐχόμενον ἕκαστον λέγειν, καὶ τῷ κεφάλαιον εἰπόντι ἀντειπεῖν τὸ ἑτέρου ποιητοῦ τινός, εἰ τὴν αὐτὴν εἶπε γνώμην· ἔτι δὲ λέγειν ἕκαστον ἰαμβεῖον. πρός τε τούτοις ἕκαστον εἰπεῖν ὅσων ἂν προσταχθῇ συλλαβῶν ἔμμετρον· καὶ ὅσ᾽ ἀπὸ τῆς τῶν γραμμάτων καὶ συλλαβῶν ἔχεται θεωρίας. ὁμοίως δὲ τοῖς εἰρημένοις ἡγεμόνος ἑκάστου λέγειν ὄνομα τῶν ἐπὶ Τροίαν ἢ τῶν Τρώων· καὶ πόλεως ὄνομα τῶν ἐν τῇ Ἀσίᾳ λέγειν ἀπὸ τοῦ δοθέντος γράμ- f ματος, τὸν δ᾽ ἐχόμενον τῶν ἐν τῇ Εὐρώπῃ, καὶ τοὺς λοιποὺς ἐναλλάξαι, ἄν τε ἑλληνίδος ἄν τε βαρβάρου τάξῃ τις. ὥστε τὴν παιδιὰν μὴ ἄσκεπτον οὖσαν μήνυμα γίνεσθαι τῆς ἑκάστου πρὸς παιδείαν οἰκειότητος. ἐφ᾽ οἷς ἆθλον ἐτίθεσαν στέφανον καὶ εὐφημίαν, οἷς μάλιστα γλυκαίνεται τὸ φιλεῖν ἀλλήλους.᾽

87. ταῦτα μὲν οὖν Κλέαρχος εἴρηκε. καὶ ἃ προ- 458 βάλλειν δεῖ τοιαῦτά τινα εἶναι ἡγοῦμαι. στίχον εἰπεῖν ὁμηρικὸν ἀπὸ τοῦ ἄλφα ἀρχόμενον καὶ εἰς τὸ αὐτὸ στοιχεῖον καταλήγοντα

ἀγχοῦ δ᾽ ἱσταμένη ἔπεα πτερόεντα προσηύδα.
ἀλλ᾽ ἄγε νῦν μάστιγα καὶ ἡνία σιγαλόεντα.
ἀσπίδας εὐκύκλους λαισήιά τε πτερόεντα.

καὶ πάλιν ὁμοίως ἰαμβεῖα

ἀγαθὸς ἀνὴρ λέγοιτ᾽ ἂν ὁ φέρων τἀγαθά.
ἀγαθὸς ἂν εἴη χὡ φέρων καλῶς κακά.

ὁμηρικοὶ ἀπὸ τοῦ ε ἐπὶ τὸ ε b

εὗρε Λυκάονος υἱὸν ἀμύμονά τε κρατερόν τε.

ἐν πόλει ὑμετέρῃ, ἐπεὶ οὐκ ἄρ᾽ ἔμελλον ἔγωγε.

ὁμοίως καὶ ἰαμβεῖα

εὐκαταφρόνητός ἐστι πενία, Δερκύλε.
ἐπὶ τοῖς παροῦσι τὸν βίον, παῖ, διάπλεκε.

Ὁμήρου ἀπὸ η εἰς η

ἣ μὲν ἄρ᾽ ὣς εἰποῦσ᾽ ἀπέβη γλαυκῶπις Ἀθήνη.
c ἣ δ᾽ ἐν γούνασι πῖπτε Διώνης δῖ᾽ Ἀφροδίτη.

ἴαμβοι

ἡ τῶν φίλων σοι πίστις ἔστω κεκριμένη.

ἀπὸ τοῦ ι ἐπὶ τὸ ι Ὁμήρου

Ἰλίου ἐξαπολοίατ᾽ ἀκήδεστοι καὶ ἄφαντοι.
Ἱππόλοχος δέ μ᾽ ἔτικτε, καὶ ἐκ τοῦ φημὶ γενέσθαι.

ἀπὸ τοῦ σ εἰς τὸ σ

συμπάντων Δαναῶν, οὐδ᾽ ἢν Ἀγαμέμνονα εἴπῃς.
σοφός ἐστιν ὁ φέρων τἀπὸ τῆς τύχης καλῶς.

d ἀπὸ τοῦ ω εἰς τὸ ω

ὡς δ᾽ ὅτ᾽ ἀπ᾽ οὐλύμπου νέφος ἔρχεται οὐρανὸν εἴσω.
ὠρθωμένην πρὸς πάντα τὴν ψυχὴν ἔχε.

προβάλλειν δὲ δεῖ καὶ στίχους ἀσίγμους οἷον

πάντ᾽ ἐθέλω δόμεναι καὶ ἔτ᾽ οἴκοθεν ἄλλ᾽ ἐπιθεῖναι.

καὶ πάλιν στίχους ὁμηρικοὺς ἀπὸ τῆς πρώτης συλλαβῆς καὶ τῆς ἐσχάτης δηλοῦντας ὄνομα. οἷον

Αἴας δ᾽ ἐκ Σαλαμῖνος ἄγεν δύο καὶ δέκα νῆας.
e Φυλείδης ὃν τίκτε Διὶ φίλος ἱππότα Φυλεύς.
ἰητὴρ δ᾽ ἀγαθὸς Ποδαλείριος ἠδὲ Μαχάων.

εἰσὶ καὶ ἄλλοι στίχοι ὁμηρικοὶ δηλοῦντες σκευῶν ὀνόματα ἀπὸ τῆς πρώτης καὶ ἐσχάτης συλλαβῆς, οἷον

ὀλλυμένων *Δαναῶν* ὀλοφύρεται ἐν φρεσὶ θυμός.
ὅλμος.
μυθεῖται κατὰ μοῖραν ἅπερ κ' οἴοιτο καὶ ἄλλος.
μύλος.
λυγρὸς ἐὼν μή πού τι κακὸν καὶ μεῖζον ἐπαύρῃ.
λύρη.

ἄλλοι στίχοι δηλοῦντες ἀπὸ τῆς ἀρχῆς καὶ τοῦ τέλους f τῶν ἐδωδίμων τί

ἀργυρόπεζα Θέτις θυγάτηρ ἁλίοιο γέροντος.
ἄρτος.
μή τι σὺ ταῦτα ἕκαστα διείρεο μηδὲ μετάλλα.
μῆλα.

88. ἐπεὶ δὲ ἱκανὴν παράβασιν πεποιήμεθα περὶ τῶν γρίφων, λεκτέον ἤδη καὶ τίνα κόλασιν ὑπέμενον οἱ μὴ λύσαντες τὸν προταθέντα γρῖφον. ἔπινον οὗτοι ἅλμην παραμισγομένην τῷ αὑτῶν ποτῷ, καὶ ἔδει προσενέγκασθαι τὸ ποτήριον ἀπνευστί, ὡς Ἀντιφάνης δηλοῖ ἐν Γανυμήδει διὰ τούτων 459

οἴμοι περιπλοκὰς
λίαν ἐρωτᾷς. Β. ἀλλ' ἐγὼ σαφῶς φράσω·
τῆς ἁρπαγῆς τοῦ παιδὸς εἰ ξύνοισθά τι,
ταχέως λέγειν χρὴ πρὶν κρέμασθαι. Α. πότερά μοι
γρῖφον προβάλλεις τοῦτον εἰπεῖν, δέσποτα,
τῆς ἁρπαγῆς τοῦ παιδὸς εἰ ξύνοιδά τι;
ἢ τί δύναται τὸ ῥηθέν; Β. ἔξω τις δότω
ἱμάντα ταχέως. Α. ποῖον; Β. οὐκ ἔγνως ἴσως·
Α. ἔπειτα τοῦτο ζημιοῖς με; μηδαμῶς·
ἅλμης δ' ἐχρῆν τι παραφέρειν ποτήριον. b
Β. οἶσθ' οὖν ὅπως δεῖ τοῦτό σ' ἐκπιεῖν; Α. ἐγὼ
κομιδῇ γε. Β. πῶς; Α. ἐνέχυρον ἀποφέροντά σου.

*Β. οὐκ ἀλλ' ὀπίσω τὼ χεῖρε ποιήσαντα δεῖ*
*ἕλκειν ἀπνευστί.*

89. *τοσαῦτα καὶ περὶ τῶν γρίφων εἰπόντων τῶν δειπνοσοφιστῶν, ἐπειδὴ καὶ ἡμᾶς ἑσπέρα καταλαμβάνει ἀναπεμπαζομένους τὰ εἰρημένα, τὸν περὶ τῶν ἐκπωμάτων λόγον εἰς αὔριον ἀναβαλώμεθα. κατὰ γὰρ τὸν Μεταγένους Φιλοθύτην*

c *κατ' ἐπεισόδιον μεταβάλλω τὸν λόγον, ὡς ἂν*
*πολλαῖσι παροψίσι καὶ καιναῖς εὐωχήσω τὸ θέατρον,*

*περὶ τῶν ἐκπωμάτων τὸν λόγον ἑξῆς ποιούμενος.*

---

# ΙΑ

459 *Ἄγε δή, τίς ἀρχὴ τῶν λόγων γενήσεται;*
*κατὰ τὸν κωμῳδιοποιὸν Κηφισόδωρον, ἑταῖρε Τιμόκρατες. συναχθέντων γὰρ ἡμῶν καθ' ὥραν μετὰ σπουδῆς διὰ τὰ ἐκπώματα, ὁ Οὐλπιανός, ἔτι καθημένων ἁπάντων, πρὶν καί τινα λεχθῆναι, ἔφη, παρὰ μὲν τῷ Ἀδράστῳ, ἄνδρες φίλοι, καθίσαντες οἱ ἀριστεῖς δειπνοῦσιν, ὁ δὲ Πολύιδος ἱερὰ θύων ἐν ὁδῷ παραπορευόμενον τὸν Πετεῶ κατέσχε, καὶ κατακλίνας ἐν τῇ πόᾳ θαλλίαν τε κατακλάσας ἀντὶ τραπέζης παρέθηκε τῶν τυθέντων. καὶ τῷ Αὐτολύκῳ ἐλθόντι*
460 *Ἰθάκης ἐς πίονα δῆμον ἡ τροφός, καθημένῳ δῆλον ὅτι (οὕτως γὰρ ἐδείπνουν οἱ τότε), τὸν Ὀδυσσέα, φησὶν ὁ ποιητής,*

*παῖδα νέον γεγαῶτα κιχήσατο θυγατέρος ἧς,*

τόν ῥά οἱ Εὐρύκλεια φίλοις ἐπὶ γούνασι θῆκε
παυομένῳ δόρποιο,

ἐκάθισεν ἐπὶ τῶν γονάτων καὶ οὐχὶ παρὰ τοῖς γόνασιν ἔστησεν. ἡμεῖς δ' οὖν μὴ διατρίβωμεν ἀλλ' ἤδη κατακλινώμεθα, ἵν' ἡμῖν ὁ Πλούταρχος περὶ ὧν ἐπαγγέλλεται ποτηρίων ἀποδοὺς τὸν λόγον καὶ τὰς b
κύλικας πλήρεις ἅπασι προπίῃ.

2. ποτήρια δὲ πρῶτον οἶδα ὀνομάσαντα τὸν Ἀμόργιον ποιητὴν Σιμωνίδην ἐν ἰάμβοις οὕτως

ἀπὸ τράπεζαν εἷλε καὶ ποτήρια.

καὶ ὁ τὴν Ἀλκμαιωνίδα δὲ ποιήσας φησίν

νέκυς δὲ χαμαιστρώτου ἐπὶ κλίνας
εὐρείης στιβάδος, προέθηκ' αὐτοῖσι θάλειαν
δαῖτα ποτήριά τε στεφάνους τ' ἐπὶ κρασὶν
ἔθηκεν.

ἅπερ ὠνομάσθη ἀπὸ τῆς πόσεως, ὡς τὸ ἔκπωμα οἱ Ἀττικοί· ἐπεὶ ὑδροποτεῖν καὶ οἰνοποτεῖν λέγουσιν. c
Ἀριστοφάνης ἐν Ἱππεῦσιν

γαμφηλαῖσι δράκοντα κοάλεμον αἱματοπώτην.

κἀν τῷ αὐτῷ δὲ ἔφη

πολλῷ γ' ὁ Βάκις διεχρῆτο τῷ ποτηρίῳ.

καὶ Φερεκράτης ἐν Τυραννίδι

κρείττων μί' ἐστὶ χιλίων ποτηρίων.

ὁ δὲ Ἀνακρέων ἔφη

οἰνοπότης δὲ πεποίημαι.

ἔστι δὲ τὸ ῥῆμα καὶ παρὰ τῷ ποιητῇ· οἰνοποτάζων γὰρ εἴρηκε. καὶ Σαπφὼ δ' ἐν τῷ δευτέρῳ ἔφη ʽπολλὰ d
δ' ἀνάριθμα ποτήρια καλαίφις.' καὶ Ἀλκαῖος ʽἐκ δὲ ποτηρίων πώνης Διννομένῃ παρίσδων.' τιμᾶται δὲ καὶ ἐν Ἀχαΐᾳ Δημήτηρ ποτηριοφόρος κατὰ τὴν Ἀνθέων χώραν, ὡς Αὐτοκράτης ἱστορεῖ ἐν δευτέρῳ Ἀχαϊκῶν.

3. ἄξιον δὲ εἶναι νομίζω ζητῆσαι ὑμᾶς πρὸ τοῦ καταλόγου τῶν ποτηρίων, ὧν πλῆρές ἐστι τὸ κυλικεῖον τοδί· εἴρηται γὰρ οὕτως ἡ τῶν ποτηρίων σκευοθήκη. παρὰ Ἀριστοφάνει μὲν ἐν Γεωργοῖς

e ὥσπερ κυλικείου τοὐθόνιον προπέπταται.

ἔστι καὶ παρ' Ἀναξανδρίδῃ ἐν Μελιλώτῳ. Εὔβουλος δ' ἐν Λήδᾳ

ὡσπερεὶ σπονδὴν διδοὺς
τἀν τῷ κυλικείῳ συντέτριφε ποτήρια.

κἀν Ψαλτρίᾳ δὲ ἔφη

τὰ κυλικεῖα δὲ
ἐξεῦρεν ἡμῖν.

ἐν δὲ Σεμέλῃ ἢ Διονύσῳ

Ἑρμῆς ὁ Μαίας λίθινος, ὃν προσεύγμασιν
ἐν τῷ κυλικείῳ λαμπρὸν ἐκτετριμμένον.

f Κρατῖνος δ' ὁ νεώτερος ἐν Χείρωνι

πολλοστῷ δ' ἔτει
ἐκ τῶν πολεμίων οἴκαδ' ἥκων, συγγενεῖς
καὶ φράτερας καὶ δημότας εὑρὼν μόλις,
εἰς τὸ κυλικεῖον ἐνεγράφην. Ζεύς ἐστι μοι
ἑρκεῖος, ἔστι φρατέριος, τὰ τέλη τελῶ.

4. ἄξιον δέ ἐστι ζητῆσαι εἰ οἱ ἀρχαῖοι μεγάλοις ἔπινον ποτηρίοις. Δικαίαρχος μὲν γὰρ ὁ Μεσσήνιος
461 ὁ Ἀριστοτέλους μαθητὴς ἐν τῷ περὶ Ἀλκαίου μικροῖς φησὶν αὐτοὺς ἐκπώμασι κεχρῆσθαι καὶ ὑδαρέστερον πεπωκέναι. Χαμαιλέων δὲ ὁ Ἡρακλεώτης ἐν τῷ περὶ μέθης, εἴ γε τῆς φωνῆς μνημονεύω, φησίν ʽεἰ δὲ οἱ ταῖς ἐξουσίαις χρώμενοι καὶ τῷ πλουτεῖν προτιμῶσι τὴν μέθην ταύτην, οὐδὲν θαυμαστόν. οὐκ ἔχοντες γὰρ ἑτέραν ἡδονὴν ταύτης καλλίω οὐδὲ μᾶλλον εὐχερῆ καταφεύγουσιν εἰκότως ἐπὶ τὸν οἶνον. ὅθεν δὴ καὶ τὰ μεγάλα τῶν ἐκπωμάτων ἐπιχώρια

γέγονε τοῖς δυνάσταις. οὐδὲ γὰρ παλαιὸν οὐδὲ τοῦτό b γέ ἐστι παρὰ τοῖς Ἕλλησιν, ἀλλὰ νεωστὶ εὑρέθη πεμφθὲν ἐκ τῶν βαρβάρων. ἐκεῖνοι γὰρ ἀπεστερημένοι τῆς παιδείας ὁρμῶσιν ἐπὶ τὸν πολὺν οἶνον καὶ πορίζονται τροφὰς περιέργους καὶ παντοίας. ἐν δὲ τοῖς περὶ τὴν Ἑλλάδα τόποις οὔτ' ἐν γραφαῖς οὔτ' ... ἐπὶ τῶν πρότερον εὑρήσομεν ποτήριον εὐμέγεθες εἰργασμένον πλὴν τῶν ἐπὶ τοῖς ἡρωικοῖς. τὸ γὰρ ῥυτὸν ὀνομαζόμενον μόνοις τοῖς ἥρωσιν ἀπεδίδοσαν. ὃ καὶ δόξει τισὶν ἔχειν ἀπορίαν, εἰ μή τις ἄρα φήσειε, διὰ τὴν ὀξύτητα τῆς ἐπιφανείας τῶν δαιμόνων καταδει- c χθῆναι τοῦτο. χαλεποὺς γὰρ καὶ πλήκτας τοὺς ἥρωας νομίζουσι, καὶ μᾶλλον νύκτωρ ἢ μεθ' ἡμέραν. ὅπως οὖν μὴ διὰ τὸν τρόπον ἀλλὰ διὰ τὴν μέθην φαίνωνται τοιοῦτοι, δημιουργοῦσιν αὐτοὺς πίνοντας ἐκπώμασι μεγάλοις. καί μοι δοκοῦσι λέγειν οὐ κακῶς οἱ φάσκοντες τὸ μέγα ποτήριον φρέαρ ἀργυροῦν εἶναι.' ἐν τούτοις ἀγνοεῖν ἔοικεν ὁ Χαμαιλέων ὅτι οὐκ ἔστι μικρὸν τὸ παρ' Ὁμήρῳ διδόμενον τῷ Κύκλωπι ὑπ' Ὀδυσσέως κισσύβιον. οὐ γὰρ ἂν τρὶς πιὼν οὕτως d κατηνέχθη ὑπὸ μέθης τηλικοῦτος ὤν. ἦν οὖν καὶ τότε μεγάλα ποτήρια, εἰ μὴ αἰτιάσεταί τις τὴν δύναμιν τοῦ οἴνου, ἣν αὐτὸς Ὅμηρος ἐξηγήσατο, ἢ τὸ ἄηθες τῆς πόσεως τοῦ Κύκλωπος, ἐπεὶ τὰ πολλὰ ἐγαλακτοπότει. ἢ τάχα καὶ βαρβαρικὸν ἦν τὸ ἔκπωμα, εἴπερ μέγα ἦν, ἐκ τῆς Κικόνων εἰλημμένον λείας. τί οὖν ἔχομεν λέγειν περὶ τοῦ Νέστορος ποτηρίου, ὃ μόλις ἂν νέος βαστάσαι ἴσχυσε, Νέστωρ δ' ὁ γέρων ἀμογητὶ ἄειρε, περὶ οὗ καὶ αὐτοῦ διδάξει τι ἡμᾶς ὁ Πλούταρ- e χος. ὥρα οὖν κατακλίνεσθαι.

5. καὶ κατακλιθέντων, ἀλλὰ μήν, ὁ Πλούταρχος ἔφη, κατὰ τὸν Φλιάσιον ποιητὴν Πρατίναν, οὐ γᾶν

αὐλακισμέναν ἀρῶν, ἀλλὰ σκύφον ματεύων, κυλικηγορήσων ἔρχομαι, οὐ τῶν Κυλικράνων εἷς ὑπάρχων, οὓς χλευάζων Ἕρμιππος ὁ κωμῳδιοποιὸς ἐν τοῖς Ἰάμβοις φησίν

εἰς τὸ Κυλικράνων βαδίζων σπληνόπεδον ἀφικόμην·
εἶδον οὖν τὴν Ἡράκλειαν καὶ μάλ' ὡραίαν πόλιν.

Ἡρακλεῶται δ' εἰσὶν οὗτοι οἱ ὑπὸ τῇ Οἴτῃ κατοι-
f κοῦντες, ὥς φησι Νίκανδρος ὁ Θυατειρηνός, ὀνομασθῆναι φάσκων αὐτοὺς ἀπό τινος Κύλικος γένος Λυδοῦ, ἑνὸς τῶν Ἡρακλεῖ συστρατευσαμένων. μνημονεύει δὲ αὐτῶν καὶ Σκυθῖνος ὁ Τήιος ἐν τῇ ἐπιγραφομένῃ ἱστορίῃ λέγων οὕτως 'Ἡρακλέης λαβὼν Εὔρυτον καὶ τὸν υἱὸν ἔκτεινε φόρους πρήσσοντας παρ' Εὐβοέων, Κυλικρῆνας δ' ἐξεπόρθησε ληιζομέ-
462 νους, καὶ αὐτόθι πόλιν ἐδείματο Ἡράκλειαν τὴν Τρηχινίδα καλεομένην.' Πολέμων δὲ ἐν τῷ πρώτῳ τῶν πρὸς Ἀδαῖον καὶ Ἀντίγονόν φησιν οὕτως 'τῆς δ' Ἡρακλείας τῆς ὑπὸ τὴν Οἴτην καὶ Τραχῖνα τῶν οἰκητόρων μεθ' Ἡρακλέους τινὲς ἀφικόμενοι ἐκ Λυδίας Κυλικρᾶνες, οἳ δ' Ἀθαμᾶνες, ἀφ' ὧν οἱ τόποι διαμένουσιν· οἷς οὐδὲ τῆς πολιτείας μετέδοσαν οἱ Ἡρακλεῶται, συνοίκους ἀλλοφύλους ὑπολαβόντες. Κυλικρᾶνες δὲ λέγονται, ὅτι τοὺς ὤμους ἐγκεχαραγμένοι κύλικας ἦσαν.'

6. οἶδα δὲ καὶ Ἑλλάνικον ἐν ἐθνῶν ὀνομασίαις
b λέγοντα ὅτι Λιβύων τῶν νομάδων τινὲς οὐδὲν ἄλλο κέκτηνται ἢ κύλικα καὶ μάχαιραν καὶ ὑδρίαν, καὶ ὅτι οἰκίας ἔχουσιν ἐξ ἀνθερίκου πεποιημένας μικράς, ὅσον σκιᾶς ἕνεκα, ἃς καὶ περιφέρουσιν ὅπου ἂν πορεύωνται. πολλοῖς δὲ καὶ ὁ ἐν Ἰλλυριοῖς τόπος διαβόητός ἐστιν ὁ καλούμενος Κύλικες, παρ' ᾧ ἐστι τὸ

Κάδμου καὶ Ἁρμονίας μνημεῖον, ὡς ἱστορεῖ Φύλαρχος ἐν τῇ δευτέρᾳ καὶ εἰκοστῇ τῶν ἱστοριῶν. καὶ Πολέμων δὲ ἐν τῷ περὶ τοῦ Μορύχου ἐν Συρακούσαις φησὶν ἐπ᾽ ἄκρᾳ τῇ νήσῳ πρὸς τῷ τῆς Ὀλυμπίας ἱερῷ ἐκτὸς τοῦ τείχους ἐσχάραν τινὰ εἶναι, ἀφ᾽ ἧς, φησί, c τὴν κύλικα ναυστολοῦσιν ἀναπλέοντες μέχρι τοῦ γενέσθαι τὴν ἐπὶ τοῦ νεὼ τῆς Ἀθηνᾶς ἀόρατον ἀσπίδα· καὶ οὕτως ἀφιᾶσιν εἰς τὴν θάλασσαν κεραμέαν κύλικα, καθέντες εἰς αὐτὴν ἄνθεα καὶ κηρία καὶ λιβανωτὸν ἄτμητον καὶ ἄλλ᾽ ἄττα μετὰ τούτων ἀρώματα.

7. ὁρῶν οὖν ὑμῶν καὶ αὐτὸς τὸ συμπόσιον, κατὰ τὸν Κολοφώνιον Ξενοφάνη, πλῆρες ὂν πάσης θυμηδίας,

νῦν γὰρ δὴ ζάπεδον καθαρὸν καὶ χεῖρες ἁπάντων
καὶ κύλικες· πλεκτοὺς δ᾽ ἀμφιτιθεὶς στεφάνους, d
ἄλλος δ᾽ εὐῶδες μύρον ἐν φιάλῃ παρατείνει·
κρητὴρ δ᾽ ἕστηκεν μεστὸς ἐϋφροσύνης·
ἄλλος δ᾽ οἶνος ἕτοιμος, ὃς οὔποτε φησὶ προδώσειν,
μείλιχος ἐν κεράμοις, ἄνθεος ὀσδόμενος·
ἐν δὲ μέσοις ἁγνὴν ὀδμὴν λιβανωτὸς ἵησιν.
ψυχρὸν δ᾽ ἐστὶν ὕδωρ καὶ γλυκὺ καὶ καθαρόν.
πάρκειντai δ᾽ ἄρτοι ξανθοὶ γεραρή τε τράπεζα e
τυροῦ καὶ μέλιτος πίονος ἀχθομένη·
βωμὸς δ᾽ ἄνθεσιν ἀν τὸ μέσον πάντῃ πεπύκασται,
μολπὴ δ᾽ ἀμφὶς ἔχει δώματα καὶ θαλίη.
χρὴ δὲ πρῶτον μὲν θεὸν ὑμνεῖν εὔφρονας ἄνδρας
εὐφήμοις μύθοις καὶ καθαροῖσι λόγοις,
σπείσαντάς τε καὶ εὐξαμένους τὰ δίκαια δύνασθαι
πρήσσειν· ταῦτα γὰρ ὦν ἐστὶ προχειρότερον, f
οὐχ ὕβρις· πίνειν δ᾽ ὁπόσον κεν ἔχων ἀφίκοιο
οἴκαδ᾽ ἄνευ προπόλου μὴ πάνυ γηραλέος.

ἀνδρῶν δ' αἰνεῖν τοῦτον ὃς ἐσθλὰ πιὼν ἀναφαίνει,
ὥν ᾖ μνημοσύνη, καὶ τὸν ὃς ἀμφ' ἀρετῆς
οὔτι μάχας διέπει Τιτήνων οὐδὲ Γιγάντων,
οὐδὲ τὰ Κενταύρων, πλάσματα τῶν προτέρων,
ἢ στάσιας σφεδανάς· τοῖς οὐδὲν χρηστὸν ἔνεστιν,
463 θεῶν δὲ προμηθείην αἰὲν ἔχειν ἀγαθόν.

8. καὶ ὁ χαρίεις δ' Ἀνακρέων φησίν

οὐ φιλέω ὃς κρητῆρι παρὰ πλέῳ οἰνοποτάζων
νείκεα καὶ πόλεμον δακρυόεντα λέγει,
ἀλλ' ὅστις Μουσέων τε καὶ ἀγλαὰ δῶρ' Ἀφροδίτης
συμμίσγων ἐρατῆς μνήσεται εὐφροσύνης.

καὶ Ἴων δ' ὁ Χῖός φησιν

b χαιρέτω ἡμέτερος βασιλεὺς σωτήρ τε πατήρ τε.
ἡμῖν δὲ κρητῆρ' οἰνοχόοι θέραπες
κιρνάντων προχύταισιν ἐν ἀργυρέοις· ὁ δὲ χρυσὸς
οἶνον ἔχων χειρῶν νιζέτω εἰς ἔδαφος.
σπένδοντες δ' ἁγνῶς Ἡρακλεῖ τ' Ἀλκμήνῃ τε
Προκλέι Περσείδαις τ' ἐκ Διὸς ἀρχόμενοι
c πίνωμεν παίζωμεν· ἴτω διὰ νυκτὸς ἀοιδή,
ὀρχείσθω τίς. ἑκὼν δ' ἄρχε φιλοφροσύνης.
ὅντινα δ' εὐειδὴς μίμνει θήλεια πάρευνος,
κεῖνος τῶν ἄλλων ἁδρότερον πιέτω.

ἐποιοῦντο δὲ καὶ οἱ ἑπτὰ καλούμενοι σοφοὶ συμποτικὰς ὁμιλίας. παραμυθεῖται γὰρ ὁ οἶνος καὶ τὴν τοῦ γήρως δυσθυμίαν, φησὶ Θεόφραστος ἐν τῷ περὶ μέθης.

9. διόπερ συνιοῦσι καὶ ἡμῖν ἐπὶ τὰς διονυσιακὰς ταύτας λαλιὰς οὐδὲ εἷς ἂν εὐλόγως φθονῆσαι νοῦν ἔχων, κατὰ τοὺς Ἀλέξιδος Ταραντίνους,

οἳ τῶν πέλας
d οὐδὲν ἀδικοῦμεν οὐδέν'. ἆρά γ' οἶσθ' ὅτι
τὸ καλούμενον ζῆν τοῦτο διατριβῆς χάριν

ὄνομ᾽ ἐστὶν ὑποκόρισμα τῆς ἀνθρωπίνης
μοίρας; ἐγὼ γὰρ εἰ μὲν εὖ τις ἢ κακῶς
φήσει με κρίνειν, οὐκ ἔχοιμ᾽ ἄν σοι φράσαι·
ἔγνωκα δ᾽ οὖν οὕτως ἐπισκοπούμενος,
εἶναι μανιώδη πάντα τἀνθρώπων ὅλως,
ἀποδημίας δὲ τυγχάνειν ἡμᾶς ἀεὶ
τοὺς ζῶντας, ὥσπερ εἰς πανήγυρίν τινα
ἀφειμένους ἐκ τοῦ θανάτου καὶ τοῦ σκότους
εἰς τὴν διατριβὴν εἰς τὸ φῶς τε τοῦθ᾽ ὃ δὴ
ὁρῶμεν. ὃς δ᾽ ἂν πλεῖστα γελάσῃ καὶ πίῃ, e
καὶ τῆς ἀφροδίτης ἀντιλάβηται τὸν χρόνον
τοῦτον ὃν ἀφεῖται, κἂν τύχῃ ᾽ράνου τινός,
πανηγυρίσας ἥδιστ᾽ ἀπῆλθεν οἴκαδε.

καὶ κατὰ τὴν καλὴν οὖν Σαπφώ

ἐλθὲ Κύπρι
χρυσέαισιν ἐν κυλίκεσσιν ἁβροῖς
συμμεμιγμένον θαλίαισι νέκταρ
οἰνοχοοῦσα
τοῖσδε τοῖς ἐμοῖς ἑτάροις τε καὶ σοῖς.

10. πρὸς οὓς λεκτέον ὅτι τρόποι εἰσὶ πόσεων κατὰ πόλεις ἴδιοι, ὡς Κριτίας παρίστησιν ἐν τῇ Λακεδαιμονίων Πολιτείᾳ διὰ τούτων ‛ὁ μὲν Χῖος καὶ Θάσιος ἐκ μεγάλων κυλίκων ἐπιδέξια, ὁ δ᾽ Ἀττικὸς ἐκ μι- f κρῶν ἐπιδέξια, ὁ δὲ Θετταλικὸς ἐκπώματα προπίνει ὅτῳ ἂν βούλωνται μεγάλα. Λακεδαιμόνιοι δὲ τὴν παρ᾽ αὑτῷ ἕκαστος πίνει, ὁ δὲ παῖς ὁ οἰνοχόος [ἐπιχεῖ] ὅσον ἂν ἀποπίῃ.᾽ τοῦ δ᾽ ἐπιδέξια πίνειν μνημονεύει καὶ Ἀναξανδρίδης ἐν Ἀγροίκοις οὕτως

τίνα δὴ παρεσκευασμένοι 464
πίνειν τρόπον νῦν ἐστέ; λέγετε. τίνα τρόπον;
Β. ἡμεῖς τοιοῦτον οἷον ἂν καὶ σοὶ δοκῇ.
Α. βούλεσθε δῆτ᾽ οὖν τὸν ἐπιδέξι᾽, ὦ πάτερ,

*λέγειν ἐπὶ τῷ πίνοντι; Β. τὸν ἐπιδέξια λέγειν, Ἄπολλον, ὡσπερεὶ τεθνηκότι;*

11. *παραιτητέον δ' ἡμῖν τὰ κεράμεα ποτήρια. καὶ γὰρ Κτησίας 'παρὰ Πέρσαις' φησίν 'ὃν ἂν βασιλεὺς ἀτιμάσῃ, κεραμέοις χρῆται.' Χοιρίλος δ' ὁ ἐποποιός φησιν*

b *χερσὶν ὄλβον ἔχω κύλικος τρύφος ἀμφὶς ἐαγός,*
*ἀνδρῶν δαιτυμόνων ναυάγιον, οἷά τε πολλὰ*
*πνεῦμα Διωνύσοιο πρὸς ὕβριος ἔκβαλεν ἀκτάς.*

*ἐγὼ δὲ εὖ οἶδα ὅτι ἥδιστα πολλάκις ἐστὶ τὰ κεράμεα ἐκπώματα, ὡς καὶ τὰ παρ' ἡμῖν ἐκ τῆς Κόπτου καταγόμενα· μετὰ γὰρ ἀρωμάτων συμφυραθείσης τῆς* c *γῆς ὀπτᾶται. καὶ Ἀριστοτέλης δὲ ἐν τῷ περὶ μέθης 'αἱ ῥοδιακαὶ (φησὶ) προσαγορευόμεναι χυτρῖδες διά τε τὴν ἡδονὴν εἰς τὰς μέθας παρεισφέρονται καὶ διὰ τὸ θερμαινομένας τὸν οἶνον ἧττον ποιεῖν μεθύσκειν. σμύρνης γὰρ καὶ σχοίνου καὶ τῶν τοιούτων ἑτέρων εἰς τὸ ὕδωρ ἐμβληθέντων ἕψονται, καὶ παραχεόντων εἰς τὸν οἶνον ἧττον μεθύσκουσιν.' κἀν ἄλλῳ δὲ μέρει φησίν 'αἱ ῥοδιακαὶ χυτρῖδες γίνονται σμύρνης σχοίνου ἄνθους κρόκου βαλσάμου ἀμώμου κινναμώμου συνεψηθέντων· ἀφ' ὧν τὸ γινόμενον τῷ οἴνῳ παρα-* d *χυθὲν οὕτω μέθας ἵστησιν ὥστε καὶ τῶν ἀφροδισίων παραλύειν τὰ πνεύματα πέττον.'*

12. *οὐ δεῖ οὖν ἡμᾶς ἐκμανῶς πίνειν ἀποβλέποντας εἰς τὸ πλῆθος τῶν καλῶν τούτων καὶ παντοδαπῶν κατὰ τὰς τέχνας ἐκπωμάτων. τὴν δὲ μανίαν τοὺς πολλούς φησιν ὁ Χρύσιππος ἐν τῇ εἰσαγωγῇ τῆς περὶ ἀγαθῶν καὶ κακῶν πραγματείας τοῖς πλείστοις προσάπτεσθαι. καλεῖσθαι γοῦν τὴν μὲν γυναικομανίαν, τὴν δὲ ὀρτυγομανίαν. τινὲς δὲ καὶ δοξομανεῖς καλοῦσι τοὺς φιλοδόξους, καθάπερ τοὺς φιλογύνας*

*γυναικομανεῖς, καὶ τοὺς φιλόρνιθας ὀρνιθομανεῖς,* e *τὸ αὐτὸ σημαινόντων τῶν ὀνομάτων τούτων. ὥστε καὶ τὰ λοιπὰ μὴ ἀλλοτρίως καλεῖσθαι τὸν τρόπον τοῦτον. καὶ γὰρ ὁ φίλοψος καὶ ὁ ὀψοφάγος οἷον ὀψομανής ἐστι, καὶ ὁ φίλοινος οἰνομανής, καὶ ὡσαύτως ἐπὶ τῶν ὁμοίων, οὐκ ἀλλοτρίως τῆς μανίας κειμένης ἐν αὐτοῖς, ὡς ἁμαρτάνουσι μανικῶς καὶ τῆς ἀληθείας ἐπὶ πλεῖον ἀπαρτωμένοις.*

13. *ἡμεῖς οὖν, ὡς καὶ παρ' Ἀθηναίοις ἐγίνετο, ἅμα ἀκροώμενοι τῶν γελωτοποιῶν τούτων καὶ μίμων, ἔτι δὲ τῶν ἄλλων τεχνιτῶν, ὑποπίνωμεν. λέγει δὲ* f *περὶ τούτων ὁ Φιλόχορος οὑτωσί· 'Ἀθηναῖοι τοῖς διονυσιακοῖς ἀγῶσι τὸ μὲν πρῶτον ἠριστηκότες καὶ πεπωκότες ἐβάδιζον ἐπὶ τὴν θέαν καὶ ἐστεφανωμένοι ἐθεώρουν, παρὰ δὲ τὸν ἀγῶνα πάντα οἶνος αὐτοῖς ᾠνοχοεῖτο καὶ τραγήματα παρεφέρετο, καὶ τοῖς χοροῖς εἰσιοῦσιν ἐνέχεον πίνειν, καὶ διηγωνισμένοις ὅτ' ἐξεπορεύοντο ἐνέχεον πάλιν· μαρτυρεῖν δὲ τούτοις καὶ Φερεκράτη τὸν κωμικόν, ὅτι μέχρι τῆς καθ' ἑαυτὸν ἡλικίας οὐκ ἀσίτους εἶναι τοὺς θεωροῦντας.' Φανόδημος δὲ πρὸς τῷ ἱερῷ φησὶ τοῦ ἐν Λίμναις Διονύ-* 465 *σου τὸ γλεῦκος φέροντας τοὺς Ἀθηναίους ἐκ τῶν πίθων τῷ θεῷ κιρνάναι, εἶτ' αὐτοὺς προσφέρεσθαι· ὅθεν καὶ Λιμναῖον κληθῆναι τὸν Διόνυσον, ὅτι μιχθὲν τὸ γλεῦκος τῷ ὕδατι τότε πρῶτον ἐπόθη κεκραμένον. διόπερ ὀνομασθῆναι τὰς πηγὰς νύμφας καὶ τιθήνας τοῦ Διονύσου, ὅτι τὸν οἶνον αὐξάνει τὸ ὕδωρ κιρνάμενον. ἡσθέντες οὖν τῇ κράσει ἐν ᾠδαῖς ἔμελπον τὸν Διόνυσον, χορεύοντες καὶ ἀνακαλοῦντες εὐανθῆ καὶ διθύραμβον καὶ βακχευτὰν καὶ βρόμιον. καὶ Θεόφραστος δ' ἐν τῷ περὶ μέθης φησὶν ὅτι τοῦ* b *Διονύσου τροφοὶ αἱ νύμφαι κατ' ἀλήθειαν. αἱ γὰρ*

ἄμπελοι πλεῖστον ὑγρὸν χέουσι τεμνόμεναι καὶ κατὰ φύσιν δακρύουσι. διόπερ καὶ Εὐριπίδης ἕνα τῶν τοῦ ἡλίου ἵππων φησὶν εἶναι

βακχίου φιλανθέμου
Αἴθοπα πεπαίνοντ' ὀργάτους ὀπωρινούς·
ἐξ οὗ βροτοὶ καλοῦσιν οἶνον αἴθοπα.

καὶ Ὀδυσσεὺς ὤπασε

μελιηδέα οἶνον ἐρυθρόν,
c ἓν δέπας ἐμπλήσας, ὕδατος δ' ἀνὰ εἴκοσι μέτρα
χεῦ'· ὀδμὴ δ' ἡδεῖα ἀπὸ κρητῆρος ὀδώδει.

Τιμόθεος δ' ἐν Κύκλωπι

ἔχευε δ' ἓν μὲν δέπας κίσσινον μελαίνας
σταγόνος ἀμβρότας ἀφρῷ βρυάζον·
εἴκοσιν δὲ μέτρ' ἀνέχευεν, ἔμισγε δ' αἷμα
βακχίου νεορρύτοις δακρύοισι νυμφᾶν.

14. οἶδα δέ τινας, ἄνδρες θιασῶται, καὶ μέγα φρονήσαντας οὐχ οὕτως ἐπὶ πλούτῳ ὡς ἐπὶ τῷ κεκτῆσθαι πολλὰ ἐκπώματα ἀργυρᾶ καὶ χρυσᾶ. ὧν εἷς
d ἐστὶ καὶ Πυθέας ὁ Ἀρκὰς ἐκ Φιγαλείας, ὃς καὶ ἀποθνήσκων οὐκ ὤκνησεν ἐπιθέσθαι τοῖς οἰκείοις ἐπιγράψαι αὑτοῦ τῷ μνήματι τάδε

Πυθέα μνῆμα τόδ' ἔστ', ἀγαθοῦ καὶ σώφρονος ἀνδρός,
ὃς κυλίκων ἔσχεν πλῆθος ἀπειρέσιον
ἀργυρέων χρυσοῦ τε καὶ ἠλέκτροιο φαεινοῦ,
τῶν προτέρων πάντων πλείονα πασάμενος.

τοῦτο δ' ἱστορεῖ Ἁρμόδιος ὁ Λεπρεάτης ἐν τῷ περὶ
e τῶν κατὰ Φιγάλειαν Νομίμων. Ξενοφῶν δ' ἐν ὀγδόῳ Παιδείας περὶ Περσῶν λέγων γράφει καὶ ταῦτα 'καὶ μὴν ἐκπώματα ἢν μὲν ὡς πλεῖστα ἔχωσι, τούτῳ καλλωπίζονται, ἢν δ' ἐξ ἀδίκων φανερῶς ᾖ μεμηχανημένα, οὐδὲν αἰσχύνονται. πολὺ γὰρ ηὔξηται ἐν αὐ-

*τοῖς ἡ ἀδικία τε καὶ αἰσχροκέρδεια.' ὁ δὲ Οἰδίπους δι' ἐκπώματα τοῖς υἱοῖς κατηράσατο, ὡς ὁ τὴν κυκλικὴν Θηβαΐδα πεποιηκώς φησιν, ὅτι αὐτῷ παρέθηκαν ἔκπωμα ὃ ἀπηγορεύκει, λέγων οὕτως*

*αὐτὰρ ὁ διογενὴς ἥρως ξανθὸς Πολυνείκης* f
*πρῶτα μὲν Οἰδιπόδῃ καλὴν παρέθηκε τράπεζαν*
*ἀργυρέην Κάδμοιο θεόφρονος· αὐτὰρ ἔπειτα*
*χρύσεον ἔμπλησεν καλὸν δέπας ἡδέος οἴνου.*
*αὐτὰρ ὅ γ' ὡς φράσθη παρακείμενα πατρὸς ἑοῖο*
*τιμήεντα γέρα, μέγα οἱ κακὸν ἔμπεσε θυμῷ,*
*αἶψα δὲ παισὶν ἑοῖσι μετ' ἀμφοτέροισιν ἐπαρὰς* 466
*ἀργαλέας ἠρᾶτο· θεῶν δ' οὐ λάνθαν' ἐρινύν·*
*ὡς οὔ οἱ πατρώϊ' ἐν ἠθείῃ φιλότητι*
*δάσσαιντ', ἀμφοτέροισι δ' ἀεὶ πόλεμοί τε μάχαι*
*τε . . .*

15. *Καικίλιος δ' ὁ ῥήτωρ ὁ ἀπὸ Καλῆς ἀκτῆς ἐν τῷ περὶ ἱστορίας Ἀγαθοκλέα φησὶ τὸν τύραννον ἐκπώματα χρυσᾶ ἐπιδεικνύντα τοῖς ἑταίροις φάσκειν ἐξ ὧν ἐκεράμευσε κατεσκευακέναι ταῦτα. ὁ δὲ παρὰ Σοφοκλεῖ ἐν τοῖς Λαρισαίοις Ἀκρίσιος καὶ αὐτὸς ἐκ-* b *πώματα ὅσα πλεῖστα εἶχεν, ὥς φησιν ὁ τραγικός*

*πολὺν δ' ἀγῶνα πάγξενον κηρύσσεται,*
*χαλκηλάτους λέβητας ἐκτιθεὶς φέρειν*
*καὶ κοῖλα χρυσόκολλα καὶ πανάργυρα*
*ἐκπώματ', εἰς ἀριθμὸν ἑξήκοντα δίς.*

*Ποσειδώνιος δ' ἐν τῇ εἰκοστῇ ἕκτῃ τῶν ἱστοριῶν Λυσίμαχόν φησι τὸν Βαβυλώνιον καλέσαντα ἐπὶ δεῖπνον Ἵμερον, τὸν τυραννήσαντα οὐ μόνον Βαβυλωνίων ἀλλὰ καὶ Σελευκέων, μετὰ τριακοσίων, μετὰ τὸ τὰς τραπέζας ἀρθῆναι τετράμνουν ἑκάστῳ τῶν τριακο-* c *σίων ἔκπωμα δοῦναι ἀργυροῦν καὶ σπονδοποιησάμενον προπιεῖν ἅμα πᾶσι. καὶ ἀποφέρεσθαι ἔδωκε τὰ*

ποτήρια. Ἀντικλείδης δ' ὁ Ἀθηναῖος ἐν τῷ ἑκκαι-
δεκάτῳ Νόστων περὶ Γρᾶ διηγούμενος, τοῦ τὴν
ἀποικίαν εἰς Λέσβον στείλαντος σὺν ἄλλοις βασιλεῦσι,
καὶ ὅτι χρησμὸς ἦν αὐτοῖς δηλώσας καθεῖναι δια-
πλέοντας τῷ Ποσειδῶνι εἰς τὸ πέλαγος παρθένον,
γράφει καὶ ταῦτα 'μυθολογοῦσι δὲ περὶ τῶν ἐν Μη-
θύμνῃ τινὲς περὶ τῆς ἀφεθείσης εἰς τὴν θάλασσαν
παρθένου, καί φασιν ἐρασθέντα αὐτῆς τῶν ἡγεμό-
d νων τινά, ᾧ ἦν τοὔνομα Ἔναλος, ἐκκολυμβῆσαι βου-
λόμενον ἀνασῶσαι τὴν παιδίσκην. τότε μὲν οὖν ὑπὸ
κύματος αὐτοὺς ἀμφοτέρους κρυφθέντας ἀφανεῖς γε-
νέσθαι, χρόνῳ δ' ὕστερον ἤδη τῆς Μηθύμνης οἰκου-
μένης παραγενέσθαι τὸν Ἔναλον καὶ διηγεῖσθαι τὸν
τρόπον . . . καὶ ὅτι ἡ μὲν παρθένος παρὰ ταῖς νηρῇσι
διέτριβεν, αὐτὸς δὲ τὰς τοῦ Ποσειδῶνος ἔβοσκεν ἵπ-
781 πους· καί ποτε [καὶ] κύματος ἐπιφερομένου μεγάλου
c συγκολυμβήσαντα αὐτὸν ἐκβῆναι, ἔχοντα κύπελλον
χρυσοῦ οὕτω θαυμασίου, ὡς τὸν παρ' αὐτοῖς αὐτῷ
παραβαλλόμενον οὐδὲν διάφορον εἶναι χαλκοῦ.'

16. τιμιώτατον δ' ἦν πάλαι τὸ τῶν ἐκπωμάτων
κτῆμα. Ἀχιλλεὺς γοῦν ὡς ἐξαίρετόν τι εἶχεν ἀνάθημα
δέπας, οὐδέ τις ἄλλος οὔτ' ἀνδρῶν πίνεσκεν ἀπ'
αὐτοῦ οὔτε τεῳ σπένδεσκε θεῶν ὅτε μὴ Διί. καὶ ὁ
Πρίαμος δὲ τὸν υἱὸν λυτρούμενος τοῖς ἐπισημοτάτοις
κειμηλίοις καὶ δέπας δίδωσι περικαλλές. αὐτός γε
μὴν ὁ Ζεὺς τῆς Ἡρακλέους γενέσεως ἄξιον ἡγεῖται
δῶρον Ἀλκμήνῃ δοθῆναι ποτήριον, ὅπερ Ἀμφιτρύωνι
εἰκασθεὶς δίδωσιν,

d ἃ δ' ὑποδεξαμένα θαήσατο χρύσεον αἶψα πο-
τήριον.

τὸν δὲ Ἥλιον ὁ Στησίχορος ποτηρίῳ διαπλεῖν φησὶ
τὸν ὠκεανόν, ᾧ καὶ τὸν Ἡρακλέα περαιωθῆναι ἐπὶ

τὰς Γηρυόνου βόας ὁρμῶντα. οἴδαμεν δὲ καὶ τὸ Βαθυκλέους τοῦ Ἀρκάδος ποτήριον, ὃ σοφίας ἆθλον ὁ Βαθυκλῆς τῷ κριθέντι ἀρίστῳ τῶν καλουμένων σοφῶν ἀπέλιπε. τὸ δὲ Νέστορος ποτήριον πολλοὶ κεραμεύουσι. πλεῖστοι γὰρ περὶ αὐτοῦ συνεγράψαντο. καὶ θεοφιλὲς δὲ τὸ ποτήριον· χρυσέοις γοῦν δεπάεσσιν ἀλλήλους δεξιοῦνται. ἐλευθέριον δέ φησι καὶ ἐμμελὲς ἐν οἴνῳ διάγειν μὴ κωθωνιζόμενον μηδὲ θρακίῳ νόμῳ ἄμυστιν οἰνοποτεῖν, ἀλλὰ τῷ πώματι φάρμακον ὑγιείας ἐγκιρνάναι τὸν λόγον.

17. ὅτι διὰ σπουδῆς εἶχον οἱ ἀρχαῖοι ἐγκόλαπτον e
ἱστορίαν ἔχειν ἐν ἐκπώμασιν. ἐν ταύτῃ δὲ τῇ τέχνῃ εὐδοκίμησαν Κίμων καὶ Ἀθηνοκλῆς. ἐχρῶντο δὲ καὶ λιθοκολλήτοις ἐκπώμασι. Μένανδρος δέ πού φησι καὶ ποτήριον τορνευτὸν καὶ τορευτά. Ἀντιφάνης

ἄλλοι δὲ καὶ δὴ βακχίου παλαιγενοῦς
ἀφρῷ σκιασθὲν χρυσοκόλλητον δέπας
μεστὸν κύκλῳ χορεῦον ἕλκουσι γνάθοιν
ὁλκοῖς ἀπαύστοις, παντελῶς ἐστραμμένον
τἄνω κάτω δεικνύντες. f

φησὶ πρός τινα Νικόμαχος

ὦ χαῖρε χρυσοκλαῦστα καὶ χρυσοῦς ἐμῶν.

Φιλιππίδης

τὰ ποτήρι' ἂν ἴδῃς τὰ παρεσκευασμένα,
ἅπαντα χρυσᾶ, Τρόφιμε, νὴ τὸν οὐρανόν,
ὑπερήφαν'. ἔγωγε μὲν γὰρ ἐξέστην ἰδών.
κρατῆρες ἀργυροῖ, κάδοι μείζους ἐμοῦ.

ὅτι Παρμενίων συγκεφαλαιούμενος ἐν ταῖς πρὸς Ἀλέξανδρον ἐπιστολαῖς τὰ περσικὰ λάφυρα 'ποτηρίων (φησὶ) χρυσῶν σταθμός, τάλαντα βαβυλώνια 782
ογ' μναῖ νβ'. ποτηρίων λιθοκολλήτων σταθμός, τάλαντα βαβυλώνια νϛ' μναῖ λδ'.'

18. ἔθος δ' ἦν πρότερον ἐν τῷ ποτηρίῳ ὕδωρ ἐμβάλλεσθαι, μεθ' ὃ τὸν οἶνον. Ξενοφάνης

οὐδέ κεν ἐν κύλικι πρότερον κεράσειέ τις οἶνον
ἐγχέας, ἀλλ' ὕδωρ, καὶ καθύπερθε μέθυ.

Ἀνακρέων

φέρ' ὕδωρ, φέρ' οἶνον ὦ παῖ,
φέρε δ' ἀνθεμεῦντας ἡμῖν
στεφάνους· ἔνεικον, ὡς δὴ
πρὸς ἔρωτα πυκταλίζω.

πρὸ δὲ τούτων Ἡσίοδος

κρήνης τ' ἀενάου καὶ ἀπορρύτου, ἥ τ' ἀθόλωτος,
τρὶς ὕδατος προχέειν, τὸ δὲ τέτρατον ἱέμεν οἴνου.

Θεόφραστος 'ἐπεὶ καὶ τὰ περὶ τὴν κρᾶσιν ἐναντίως
b εἶχε τὸ παλαιὸν τῷ νῦν παρ' Ἕλλησιν ὑπάρχοντι. οὐ γὰρ τὸ ὕδωρ ἐπὶ τὸν οἶνον ἐπέχεον, ἀλλ' ἐπὶ τὸ ὕδωρ τὸν οἶνον, ὅπως ἐν τῷ πίνειν ὑδαρέστερον χρῷντο τῷ ποτῷ, καὶ τούτου ποιησάμενοι τὴν ἀπόλαυσιν ἧττον ὀρέγοιντο τοῦ λοιποῦ. καὶ τὸ πλεῖστον δὲ εἰς τοὺς κοττάβους κατανήλισκον.'

19. ἔνδοξοι δὲ τορευταὶ Ἀθηνοκλῆς, Κράτης, Στρατόνικος, Μυρμηκίδης ὁ Μιλήσιος, Καλλικράτης ὁ Λάκων, καὶ Μῦς, οὗ εἴδομεν σκύφον Ἡρακλεωτικόν, τεχνικῶς ἔχοντα Ἰλίου ἐντετορευμένην πόρθησιν, ἔχοντα ἐπίγραμμα τόδε

γραμμὰ Παρρασίοιο, τέχνα Μυός. ἐμμὶ δὲ εἰκὼν
Ἰλίου αἰπεινᾶς, ἃν ἕλεν Αἰακίδας.

c 20. ὅτι κλεινοὶ λέγονται παρὰ Κρησὶν οἱ ἐρώμενοι. σπουδὴ δὲ αὐτοῖς παῖδας ἁρπάζειν· καὶ τοῖς καλοῖς παρ' αὐτοῖς ἄδοξόν ἐστιν ἐραστοῦ μὴ τυχεῖν. καλοῦνται δὲ οἱ ἁρπασθέντες παρασταθέντες. διδόασι δὲ τῷ ἁρπασθέντι στολὴν καὶ βοῦν καὶ ποτήριον. ἣν

*καὶ πρεσβύτεροι γενόμενοι φέρουσιν, ἵνα δῆλοι ὦσι κλεινοὶ γενόμενοι.*

21. *ὁρᾷς δ', ὅταν πίνωσιν ἄνθρωποι, τότε*
*πλουτοῦσι, διαπράττουσι, νικῶσιν δίκας,*
*εὐδαιμονοῦσιν, ὠφελοῦσι τοὺς φίλους.*

*αὔξει γὰρ καὶ τρέφει μεγαλύνει τε τὴν ψυχὴν ἡ ἐν* d *τοῖς πότοις διατριβὴ ἀναζωπυροῦσα καὶ ἀνεγείρουσα μετὰ φρονήσεως τὸν ἑκάστου νοῦν, ὥς φησιν ὁ Πίνδαρος*

*ἁνίκ' ἀνθρώπων καματώδεες οἴχονται μέριμναι*
*στηθέων ἔξω, πελάγει δ' ἐν πολυχρύσοιο πλούτου*
*πάντες ἴσᾳ νέομεν ψευδῆ πρὸς ἀκτάν·*
*ὃς μὲν ἀχρήμων, ἀφνεὸς τότε, τοὶ δ' αὖ πλουτέοντες.*

*εἶτ' ἐπάγει*

*ἀέξονται φρένας ἀμπελίνοις τόξοις δαμέντες.*

22. ΑΓΚΥΛΗ. *ποτήριον πρὸς τὴν τῶν κοττάβων παιδιὰν χρήσιμον. Κρατῖνος*

*πιεῖν δὲ θάνατος οἶνον, ἂν ὕδωρ ἐπῇ.*
*ἀλλ' ἴσον ἴσῳ μάλιστ' ἀκράτου δύο χόας*
*πίνουσ' ἀπ' ἀγκύλης ἐπονομάζουσ' ἅμα*
*ἵησι λάταγας τῷ κορινθίῳ πέει.* e

*καὶ Βακχυλίδης*

*εὖτε τὴν ἀπ' ἀγκύλης ἵησι τοῖς νεανίαις,*
*λευκὸν ἀντείνασα πῆχυν.*

*ἐντεῦθεν νοοῦμεν τοὺς παρ' Αἰσχύλῳ ἀγκυλητοὺς κοττάβους. λέγονται δὲ καὶ δόρατα ἀγκυλητὰ καὶ μεσάγκυλα, ἀλλ' ἀπὸ ἀγκύλης ἤτοι τῆς δεξιᾶς χειρός. καὶ ἡ κύλιξ δὲ ἡ ἀγκύλη, διὰ τὸ ἀπαγκυλοῦν τὴν δεξιὰν χεῖρα ἐν τῇ προέσει. ἦν γὰρ τοῖς παλαιοῖς πεφροντισμένον καλῶς καὶ εὐσχημόνως κότταβον*

προΐεσθαι. καὶ οἱ πολλοὶ ἐπὶ τούτῳ μᾶλλον ἐφρόνουν μέγα ἢ ἐπὶ τῷ εὖ ἀκοντίζειν. ὠνομάσθη οὖν ἀπὸ τοῦ τῆς χειρὸς σχηματισμοῦ, ὃν ποιούμενοι εὐρύθμως ἐρρίπτουν εἰς τὸ κοττάβιον. καὶ οἴκους δὲ ἐπιτη-
f δείους κατεσκεύαζον εἰς ταύτην τὴν παιδιάν.

23. ὅτι παρὰ Τιμαχίδᾳ ΑΙΑΚΙΣ ἡ κύλιξ καλεῖται.

ΑΚΑΤΟΣ, ποτήριον ἐοικὸς πλοίῳ. Ἐπικράτης

κατάβαλλε τἀκάτια καὶ κυμβία
αἶρου τὰ μείζω, κεὐθὺ τοῦ καρχησίου
ἄνελκε τὴν γραῦν, τὴν νέαν τ' ἐπουρίσας
πλήρωσον, εὐτρεπῆ τε τὸν κοντὸν ποιοῦ,
καὶ τοὺς κάλως ἔκλυε καὶ χάλα πόδα.

783 ΑΩΤΟΝ. παρὰ Κυπρίοις τὸ ἔκπωμα, ὡς Πάμφιλος. Φιλητᾶς δὶ ποτήριον οὖς οὐκ ἔχον.

ΑΡΟΚΛΟΝ. ἡ φιάλη παρὰ τῷ Κολοφωνίῳ Νικάνδρῳ.

24. ΑΛΕΙΣΟΝ καὶ ΔΕΠΑΣ τὸ αὐτό. Ὅμηρος ἐν Ὀδυσσείᾳ περὶ Πεισιστράτου 'ἐν δ' οἶνον ἔχευε χρυσείῳ δέπαϊ.' εἶτα παρακατιὼν τὸ αὐτό

τοὔνεκα σοὶ δώσω χρύσειον ἄλεισον.

καὶ ἑξῆς τὸ αὐτὸ πάλιν

δῶκε δὲ Τηλεμάχῳ καλὸν δέπας.

φησὶν οὖν Ἀσκληπιάδης ὁ Μυρλεανός 'δοκεῖ μοι φιαλῶδες εἶναι τὸ δέπας. σπένδουσι γὰρ ἐν αὐτῷ.
b λέγει γοῦν Ὅμηρος δέπας, δι' οὗ Διὶ μόνῳ σπένδεσκεν Ἀχιλλεύς. καλεῖται δὲ δέπας ἤτοι ὅτι δίδοται πᾶσι τοῖς σπένδειν βουλομένοις εἴτε καὶ τοῖς πίνειν, ἢ ὅτι δύο ὦπας εἶχε· ταῦτα δὲ ἂν εἴη τὰ ὦτα. τὸ δὲ ἄλεισον, ἤτοι ἀπὸ τοῦ ἄγαν λεῖον εἶναι, ἢ ὅτι ἁλίζεται ἐν αὐτῷ τὸ ὑγρόν. ὅτι δὲ δύο ὦτα εἶχε δῆλον

ἤτοι ὁ καλὸν ἄλεισον ἀναιρήσεσθαι ἔμελλε
χρύσεον ἄμφωτον.

ἀμφικύπελλον δὲ λέγων αὐτό, οὐδὲν ἄλλο σημαίνει ἢ ὅτι ἦν ἀμφίκυρτον.᾿ Σειληνὸς δὲ ἀμφικύπελλόν φησι τὸ μὴ ἔχον ὦτα. ἄλλοι δὲ τὴν ἀμφί ἀντὶ τῆς περί εἶναι, ἵν᾿ ᾖ περίποτον, τὸ πανταχόθεν πίνειν ἐπιτήδειον. Παρθένιος δὲ διὰ τὸ περικεκυρτῶσθαι τὰ ὠτάρια. κυφὸν γὰρ εἶναι τὸ κυρτόν. Ἀνίκητος δὲ τὸ c μὲν κύπελλόν φησι φιάλην εἶναι, τὸ δὲ ἀμφικύπελλον ὑπερφίαλον, τὸ ὑπερήφανον καὶ καλόν. εἰ μὴ ἄρα τὸ ποικίλον τῇ κατασκευῇ ἄλεισον θέλει τις ἀκούειν, ἔξω λειότητος ὄν. Πείσανδρος δέ φησιν Ἡρακλέα Τελαμῶνι τῆς ἐπὶ Ἴλιον στρατείας ἀριστεῖον ἄλεισον δοῦναι.

25. ὅτι ἐστὶ ποτήριον ΑΜΑΛΘΕΙΑΣ ΚΕΡΑΣ καὶ ΕΝΙΑΥΤΟΣ καλούμενον.

ΑΜΦΩΤΙΣ. ξύλινον ποτήριον, ᾧ χρῆσθαι τοὺς d ἀγροίκους Φιλητᾶς φησὶ τοὺς ἀμέλγοντας εἰς αὐτὸ καὶ οὕτω πίνοντας.

ΑΜΥΣΤΙΣ. καλεῖται μὲν οὕτω πόσις τις, ἣν ἔστιν ἀπνευστὶ πίνειν μὴ μύσαντα. καλοῦσι δὲ οὕτω καὶ τὰ ποτήρια ἀφ᾿ ὧν ἔστι πιεῖν εὐμαρῶς. καὶ τὸ ῥῆμα δὲ ἐξημύστισε φασί, τὸ ἐφ᾿ ἓν πνεῦμα πιεῖν. ὡς ὁ κωμικὸς Πλάτων

λύσασα δ᾿ ἄρτι στάμνον εὐώδους ποτοῦ
ἵησιν εὐθὺς κύλικος εἰς κοῖλον κύτος·
ἔπειτ᾿ ἄκρατον κοὐ τεταργανωμένον
ἔπινε κἀξημύστισεν.

ἔπινον δὲ τὴν ἄμυστιν μετὰ μέλους μεμετρημένου e πρὸς ὠκύτητα χρόνου. ὡς Ἀμειψίας

αὔλει μοι μέλος.
σὺ δ᾿ ᾆδε πρὸς τήνδ᾿, ἐκπίομαι δ᾿ ἐγὼ τέως.
Β. αὔλει σύ, καὶ σὺ τὴν ἄμυστιν λάμβανε.
οὐ χρὴ πόλλ᾿ ἔχειν θνητὸν ἄνθρωπον [ὄντ᾿],

ἀλλ' ἐρᾶν κἀσθίειν·
σὺ δὲ κάρτ' ἀφειδής.

26. ΑΝΤΙΓΟΝΙΣ. ἔκπωμα, ἀπὸ τοῦ βασιλέως Ἀντιγόνου, ὡς ἀπὸ Σελεύκου σελευκὶς καὶ ἀπὸ Προυσίου προυσίς.

f ΑΝΑΦΑΙΑ. ἡ θερμοποτὶς παρὰ Κρησίν.

ΑΡΥΒΑΛΛΟΣ. ποτήριον κάτωθεν εὐρύτερον, ἄνω δὲ συνηγμένον, ὡς τὰ συσπαστὰ βαλλάντια, ἃ καὶ αὐτὰ διὰ τὴν ὁμοιότητα ἀρυβάλλους τινὲς καλοῦσιν. Ἀριστοφάνης Ἱππεῦσι

κατασπένδειν κατὰ τῆς κεφαλῆς ἀρυβάλλῳ
ἀμβροσίαν.

οὐ πόρρω δέ ἐστι τοῦ ἀρυστίχου ὁ ἀρύβαλλος, ἀπὸ τοῦ ἀρύτειν καὶ βάλλειν. λέγουσι δὲ καὶ πρόχουν ἄρυστιν. Σοφοκλῆς

[κακὴ] κακῶς σὺ πρὸς θεῶν ὀλουμένη,
784 ἣ τὰς ἀρύστεις ὧδ' ἔχουσ' ἐκώμασας.

ἔστι δὲ καὶ πόλις Ἰώνων Ἄρυστις.

ΑΡΓΥΡΙΣ. εἶδος ποτηρίου, οὐ μόνον ἐξ ἀργύρου. Ἀναξίλας 'καὶ πίνειν ἐξ ἀργυρίδων χρυσῶν.'

27. ΒΑΤΙΑΚΙΟΝ, λαβρώνιος, τραγέλαφος, πρίστις, ποτηρίων ὀνόματα. περσικὴ δὲ φιάλη ἡ βατιάκη. Ἀλεξάνδρου δὲ τοῦ βασιλέως ἐν ταῖς ἐπιστολαῖς ταῖς πρὸς τοὺς ἐν τῇ Ἀσίᾳ σατράπας φέρεταί τις ἐπιστολὴ ἐν ᾗ ταῦτα γέγραπται 'βατιάκαι ἀργυραῖ κατάχρυσοι τρεῖς. κόνδυα ἀργυρᾶ ρος'· τούτων ἐπίχρυσα λγ'.
b τισιγίτης ἀργυροῦς εἷς. μύστροι ἀργυροῖ κατάχρυσοι λβ'. λαχανοθήκη ἀργυρᾶ μία. οἰνοφόρον βαρβαρικὸν ἀργυροῦν ποικίλον ἕν. ἄλλα ποτήρια παντοδαπὰ μικρὰ κθ'. ἄλλα ποτήρια μικρά, ῥυτὰ καὶ βάτια καὶ λυκιουργεῖς ἐπίχρυσοι καὶ θυμιατήρια καὶ τρύβλια.'

ΒΗΣΣΑ. *ποτήριον παρ' Ἀλεξανδρεῦσι πλατύτερον ἐκ τῶν κάτω μερῶν, ἐστενωμένον ἄνωθεν.*

28. ΒΑΥΚΑΛΙΣ. *ἐν Ἀλεξανδρείᾳ καὶ αὕτη, ὡς Σώπατρος ὁ παρῳδός 'βαυκαλὶς ἡ τετρακότυλος.' καὶ πάλιν*

*νᾶμα μελισσῶν ἡδὺ μὲν ὄρθρου*
*καταβαυκαλίσαι τοῖς ὑπὸ πολλῆς*
*κραιπαλοβόσκου δίψης κατόχοις.*

*κατασκευάζουσι δέ, φησίν, οἱ ἐν Ἀλεξανδρείᾳ τὴν* c
*ὕαλον μεταρρυθμίζοντες πολλαῖς καὶ ποικίλαις ἰδέαις ποτηρίων, παντὸς τοῦ πανταχόθεν κατακομιζομένου κεράμου τὴν ἰδέαν μιμούμενοι. Λύσιππον τὸν ἀνδριαντοποιόν φασι Κασάνδρῳ χαριζόμενον, ὅτε συνῴκισε τὴν Κασάνδρειαν, φιλοδοξοῦντι καὶ βουλομένῳ ἴδιόν τινα εὑρέσθαι κέραμον, διὰ τὸ πολὺν ἐξάγεσθαι τὸν μενδαῖον οἶνον ἐκ τῆς πόλεως, φιλοτιμηθῆναι, καὶ πολλὰ καὶ παντοδαπὰ γένη παραθέμενον κεραμίων ἐξ ἑκάστου ἀποπλασάμενον ἴδιον ποιῆσαι πλάσμα.*

29. ΒΙΚΟΣ. *Ξενοφῶν Ἀναβάσεως πρώτῳ 'Κῦρος* d
*ἔπεμπε βίκους οἴνου ἡμιδεεῖς.' ἔστι δὲ φιαλῶδες ποτήριον, κατὰ τὸν Παριανὸν Πολυδεύκην.*

ΒΟΜΒΥΛΙΟΣ. *θηρίκλειον ῥοδιακόν, οὗ περὶ τῆς ἰδέας Σωκράτης φησίν 'οἱ μὲν ἐκ φιάλης πίνοντες ὅσον θέλουσι τάχιστ' ἀπαλλαγήσονται, οἱ δὲ ἐκ βομβυλιοῦ κατὰ μικρὸν στάζοντες . . .' ἔστι δὲ καὶ ζῷόν τι.*

ΒΡΟΜΙΑΔΕΣ. *ἔκπωμα ὅμοιον τοῖς μακροτέροις τῶν σκύφων.*

30. ΓΡΑΜΜΑΤΙΚΟΝ ΕΚΠΩΜΑ. *τὸ γράμματα ἔχον ἐγκεχαραγμένα. Ἄλεξις*

*τὴν ὄψιν εἴπω τοῦ ποτηρίου γέ σοι*
*πρώτιστον. ἦν γὰρ στρογγύλον, μικρὸν πάνυ,* 466

e παλαιόν, ὦτα συντεθλασμένον σφόδρα,
ἔχον κύκλῳ τε γράμματ'. Β. ἆρά γ' ἕνδεκα
χρυσᾶ Διὸς σωτῆρος; Α. οὐκ ἄλλου μὲν οὖν.

τοιοῦτον εἴδομεν ποτήριον γραμματικὸν ἀνακείμενον ἐν Καπύῃ τῆς Καμπανίας τῇ Ἀρτέμιδι ἀργυροῦν, ἐκ τῶν ὁμηρικῶν ἐπῶν κατεσκευασμένον καὶ ἐντετυπωμένα ἔχον τὰ ἔπη χρυσοῖς γράμμασιν, ὡς τὸ Νέστορος ὄν. Ἀχαιὸς δ' ὁ τραγικὸς ἐν Ὀμφάλῃ καὶ αὐτὸς περὶ γραμματικοῦ ποτηρίου ποιεῖ τοὺς σατύρους τάδε λέγοντας

f ὁ δὲ σκύφος με τοῦ θεοῦ καλεῖ πάλαι,
τὸ γράμμα φαίνων δέλτ' ἰῶτα καὶ τρίτον
ὦ νῦ τό τ' ὖ πάρεστιν, οὖ κἀπουσίαν
ἐκ τοὐπέκεινα σὰν τό τ' οὖ κηρύσσετον.

ἐν τούτοις λείπει τὸ ὖ στοιχεῖον, ἐπεὶ πάντες οἱ ἀρχαῖοι τῷ οὖ ἀπεχρῶντο οὐ μόνον ἐφ' ἧς νῦν τάττεται
467 δυνάμεως, ἀλλὰ καὶ ὅτε τὴν δίφθογγον διασημαίνει, διὰ τοῦ οὖ μόνου γράφουσι. παραπλησίως δὲ καὶ τὸ εἶ γράφουσιν, ὅταν καὶ καθ' αὑτὸ μόνον ἐκφωνῆται καὶ ὅταν συζευγνυμένου τοῦ ἰῶτα. κἀν τοῖς προκειμένοις οὖν οἱ σάτυροι τοῦ Διονύσου τὴν τελευταίαν συλλαβὴν διὰ τοῦ ο μόνου, ὡς βραχέος ἐγκεχαραγμένου, ἐδήλωσαν ὅτι συνυπακούεσθαι δεῖ καὶ τὸ υ, ἵν' ᾖ Διονύσου. τὸ δὲ σὰν ἀντὶ τοῦ σίγμα δωρικῶς εἰρήκασιν. οἱ γὰρ μουσικοί, καθάπερ πολλάκις Ἀριστόξενός φησι, τὸ σίγμα λέγειν παρῃτοῦντο διὰ
b τὸ σκληρόστομον εἶναι καὶ ἀνεπιτήδειον αὐλῷ· τὸ δὲ ῥῶ διὰ τὸ εὔκολον πολλάκις παραλαμβάνουσι. καὶ τοὺς ἵππους τοὺς τὸ C ἐγκεχαραγμένον ἔχοντας σαμφόρας καλοῦσιν. Ἀριστοφάνης Νεφέλαις

οὔτ' αὐτὸς οὔθ' ὁ ζύγιος οὔθ' ὁ σαμφόρας.

καὶ Πίνδαρός δέ φησι

*πρὶν μὲν εἷρπε σχοινοτένειά τ' ἀοιδὰ*
*καὶ τὸ σὰν κίβδηλον ἀπὸ στομάτων.*

*μνημονεύει δὲ τοῦ γραμματικοῦ ἐκπώματος ὡς οὕτως καλουμένου Εὔβουλος ἐν Νεοττίδι οὕτως*

*μισῶ κάκιστον γραμματικὸν ἔκπωμ' ἀεί.* c
*ἀτὰρ ὡς ὅμοιον οὑμὸς υἱὸς ᾤχετο*
*ἔχων φιάλιον τῷδε. Β. πολλὰ γίγνεται*
*ὅμοια.*

31. ΓΥΑΛΑΣ. *Φιλητᾶς ἐν Ἀτάκτοις Μεγαρέας οὕτω φησὶ καλεῖν τὰ ποτήρια γυάλας. Παρθένιος δ' ὁ τοῦ Διονυσίου ἐν πρώτῳ περὶ τῶν παρὰ τοῖς ἱστορικοῖς λέξεων ζητουμένων φησί 'γυάλας, ποτηρίου εἶδος, ὡς Μαρσύας γράφει ὁ ἱερεὺς τοῦ Ἡρακλέους, οὕτως 'ὅταν εἰσίῃ ὁ βασιλεὺς εἰς τὴν πόλιν, συναντᾶν οἴνου πλήρη γυάλαν ἔχοντά τινα, τὸν δὲ λαβόντα σπένδειν.'*

32. ΔΕΙΝΟΣ. [*ὅτι καὶ τοῦτο ποτηρίου ὄνομα*] *Διονύσιος ὁ Σινωπεὺς ἐν Σωζούσῃ καταλέγων ὀνόματα ποτηρίων μνημονεύει καὶ τούτου λέγων οὕτως* d

*ὅσα δ' ἐστὶν εἴδη θηρικλείων τῶν καλῶν,*
*κοτύλαι, δικότυλοι, τρικότυλοι, δεῖνος μέγας*
*χωρῶν μετρητήν, κυμβίον, σκύφοι, ῥυτά.*
*Β. ποτήρι' ἡ γραῦς ἄλλο δ' οὐδὲ ἓν βλέπει.*

*Κλεάνθης δ' ὁ φιλόσοφος ἐν τῷ περὶ μεταλήψεως ἀπὸ τῶν κατασκευασάντων φησὶν ὀνομασθῆναι τήν τε θηρίκλειον κύλικα καὶ τὴν δεινιάδα. Σέλευκος δ' εἰπὼν ἐκπώματος εἶναι γένος τὸν δεῖνον παρατίθεται Στράττιδος ἐκ Μηδείας* e

*οἶσθ' ᾧ προσέοικεν, ὦ Κρέων, τὸ βρέγμα σου;*
*ἐγᾦδα· δείνῳ περὶ κάτω τετραμμένῳ.*

*Ἀρχέδικος δὲ ἐν Διαμαρτάνοντι παράγων οἰκέτην τινὰ περὶ ἑταιρίδων διαλεγόμενόν φησι*

*Νικοστράτην τιν' ἤγαγον πρῴην σφόδρα*
*γρυπήν, Σκοτοδείνην ἐπικαλουμένην, ὅτι*
f *δεῖνόν ποτ' ἦρεν ἀργυροῦν ἐν τῷ σκότῳ.*
*Β. δεῖνον; . . . δεινόν, ὦ θεοί.*

*ἔστι καὶ γένος ὀρχήσεως, ὡς Ἀπολλοφάνης ἐν Δαλίδι παρίστησιν οὑτωσί· 'δεῖνος [τι δεῖνος] καὶ καλαθίσκος [οὑτοσί].' Τελέσιλλα δὲ ἡ Ἀργεία καὶ τὴν ἅλω καλεῖ δεῖνον. Κυρηναῖοι δὲ τὸν ποδονιπτῆρα δεῖνον ὀνομάζουσιν, ὡς Φιλητᾶς φησὶν ἐν Ἀτάκτοις.*

468 33. ΔΕΠΑΣΤΡΑ *Σειληνὸς καὶ Κλείταρχος ἐν Γλώσσαις παρὰ Κλειτορίοις τὰ ποτήρια καλεῖσθαι. Ἀντίμαχος δ' ὁ Κολοφώνιος ἐν πέμπτῳ Θηβαΐδος φησί*

*πάντα μάλ' ὅσσ' Ἄδρηστος ἐποιχομένους ἐκέλευσεν*
*ῥεξέμεν· ἐν μὲν ὕδωρ, ἐν δ' ἀσκηθὲς μέλι χεῦαν*
*ἀργυρέῳ κρητῆρι, περιφραδέως κερόωντες·*
*νώμησαν δὲ δέπαστρα θοῶς βασιλεῦσιν Ἀχαιῶν*
*ἐν σχερῷ ἑστηῶσι, καὶ ἐς λοιβὴν χέον εἶθαρ*
*χρυσείῃ προχόῳ.*

b *καὶ πάλιν*

*ἄλλοι δὲ κρητῆρα πανάργυρον ἠδὲ δέπαστρα*
*οἰσόντων χρύσεια, τά τ' ἐν μεγάροισιν ἐμοῖσι*
*κείαται.*

*κἀν τοῖς ἑξῆς δέ φησι*

*καὶ χρύσεια δέπαστρα καὶ ἀσκηθὲς κελέβειον*
*ἔμπλειον μέλιτος, τό ῥά οἱ προφερέστερον εἴη.*

c 34. ΔΑΚΤΥΛΩΤΟΝ. *ἔκπωμα οὕτως καλούμενον παρὰ Ἴωνι ἐν Ἀγαμέμνονι*

*οἴσει δὲ δῶρον ἄξιον δραμήματος,*
*ἔκπωμα δακτυλωτόν, ἄχραντον πυρί,*
*Πελίου μὲν ἆθλον Κάστορος δ' ἔργον ποδῶν.*

*Ἐπιγένης μὲν οὖν ἀκούει τὸ ἄμφωτον ποτήριον, εἰς*

ὃ οἷόν τε τοὺς δακτύλους διείρειν ἑκατέρωθεν, ἄλλοι δὲ τὸ ἐν κύκλῳ τύπους ἔχον οἷον δακτύλους, ἢ τὸ ἔχον ἐξοχάς, οἷα τὰ σιδόνια ποτήρια, ἢ τὸ λεῖον. ἄχραντον δὲ πυρὶ παρὰ τὸ ὁμηρικὸν ‘ἄπυρον κατέθηκε λέβητα.’ τὸ ἐπιτήδειον εἰς ψυχρῶν ὑδάτων ὑποδοχὴν d ἢ τὸ πρὸς ψυχροποσίαν εὔθετον. τινὲς δὲ τὸ κέρας. περὶ δὲ τὴν Μολοσσίδα οἱ βόες ὑπερφυῆ ἱστοροῦνται κέρατα ἔχειν· περὶ ὧν τῆς κατασκευῆς Θεόπομπος ἱστορεῖ. ἐξ ὧν πιθανὸν καὶ αὐτὸν ἐσχηκέναι. πλησίον δὲ τῆς Μολοσσίας ἡ Ἰωλκός, ἐν ᾗ ὁ ἐπὶ Πελίᾳ ἀγὼν ἐτέθη. βέλτιον δὲ λέγειν, φησὶν ὁ Δίδυμος ἐν τῷ τοῦ δράματος ἐξηγητικῷ, ὅτι παρήκουσεν Ὁμήρου λέγοντος

πέμπτῳ δ’ ἀμφίθετον φιάλην ἀπύρωτον ἔθηκεν.

ἔδοξε γὰρ ἔκπωμα εἶναι· ἐστὶ δὲ χαλκίον ἐκπέταλον e λεβητῶδες, ἐπιτηδείως ἔχον πρὸς ὑδάτων ψυχρῶν ὑποδοχάς. δακτυλωτὸν δ’ οἷον κύκλῳ τὴν φιάλην κοιλότητα ἔχουσαν ἔνδοθεν οἷον δακτύλων, ἢ ἐπεὶ περιείληπται τοῖς τῶν πινόντων δακτύλοις. τινὲς δὲ ἀπύρωτον φιάλην τὸ κέρας· οὐ γὰρ γίνεται διὰ πυρός. λέγοι δ’ ἂν ἴσως κατὰ μεταφορὰν ἔκπωμα τὴν φιάλην.’ Φιλήμων δ’ ἐν τοῖς Ἀττικοῖς ὀνόμασιν ἢ Γλώσσαις προθεὶς ‘καλπίς’ φησί ‘δακτυλωτὸν ἔκ- f πωμα καὶ τὸ ἄμφωτον, εἰς ὃ ἐστιν οἷόν τε τοὺς δακτύλους ἑκατέρωθεν διείρειν. οἱ δὲ τὸ ἔχον κύκλῳ δακτυλοειδεῖς τύπους τινάς.’

35. ΕΛΕΦΑΣ. οὕτως ἐκαλεῖτο ποτήριόν τι, ὡς Δαμόξενός φησιν ἐν Αὑτὸν πενθοῦντι

εἰ δ’ οὐχ ἱκανόν σοι, τὸν ἐλέφανθ’ ἥκει φέρων
ὁ παῖς. Β. τί δ’ ἐστὶ τοῦτο, πρὸς θεῶν; Α. ῥυτὸν
δίκρουνον, ἡλίκον τι τρεῖς χωροῦν χόας, 469
Ἄλκωνος ἔργον. προὔπιεν δέ μοί ποτε

ἐν Κυψέλοις Ἀδαῖος.

μνημονεύει τοῦ ποτηρίου τούτου καὶ Ἐπίνικος ἐν Ὑποβαλλομέναις, οὗ τὸ μαρτύριον παρέξομαι ἐν τῷ περὶ τοῦ ῥυτοῦ λόγῳ.

36. ΕΦΗΒΟΣ. τὸ καλούμενον ποτήριον ἐμβασικοίταν οὕτως φησὶ καλεῖσθαι Φιλήμων ὁ Ἀθηναῖος ἐν τῷ περὶ Ἀττικῶν ὀνομάτων ἢ Γλωσσῶν. Στέφανος δ' ὁ κωμικὸς ἐν Φιλολάκωνί φησι

b τούτῳ προέπιεν ὁ βασιλεὺς κώμην τινά.
Β. καινόν τι νῦν τουτὶ γέγονε ποτήριον.
Α. κώμη μὲν οὖν τίς ἐστι περὶ τὴν Θουρίαν.
Β. εἰς τὰς ῥοδιακὰς ὅλος ἀπηνέχθην ἐγὼ
καὶ τοὺς ἐφήβους, Σωσία, τοὺς δυσχερεῖς.

37. ΗΔΥΠΟΤΙΔΕΣ. ταύτας φησὶν ὁ Σάμιος Λυγκεὺς Ῥοδίους ἀντιδημιουργήσασθαι πρὸς τὰς Ἀθήνησι θηρικλείους, Ἀθηναίων μὲν αὐτὰς τοῖς πλουσίοις διὰ τὰ βάρη χαλκευσαμένων τὸν ῥυθμὸν τοῦτον, Ῥοδίων δὲ διὰ τὴν ἐλαφρότητα τῶν ποτηρίων καὶ τοῖς πένησι τοῦ καλλωπισμοῦ τούτου μεταδιδόν-
c των. μνημονεύει δὲ αὐτῶν καὶ Ἐπιγένης ἐν Ἡρωίνῃ διὰ τούτων

ψυκτῆρα, κύαθον, κυμβία, ῥυτὰ τέτταρα,
ἡδυποτίδας τρεῖς, ἠθμὸν ἀργυροῦν.

Σῆμος δ' ἐν πέμπτῃ Δηλιάδος ἀνακεῖσθαί φησιν ἐν Δήλῳ χρυσῆν ἡδυποτίδα Ἐχενίκης ἐπιχωρίας γυναικός, ἧς μνημονεύει καὶ ἐν τῇ ὀγδόῃ. Κρατῖνος δ' ὁ νεώτερός φησι

παρ' Ἀρχεφῶντος ἡδυποτίδας δώδεκα.

38. ΗΡΑΚΛΕΙΟΝ. Πείσανδρος ἐν δευτέρῳ Ἡρα-
d κλείας τὸ δέπας ἐν ᾧ διέπλευσεν ὁ Ἡρακλῆς τὸν Ὠκεανὸν εἶναι μέν φησιν Ἡλίου, λαβεῖν δ' αὐτὸ παρ' Ὠκεανοῦ Ἡρακλέα. μήποτε δέ, ἐπεὶ μεγάλοις

ἔχαιρε ποτηρίοις ὁ ἥρως, διὰ τὸ μέγεθος παίζοντες οἱ ποιηταὶ καὶ συγγραφεῖς πλεῖν αὐτὸν ἐν ποτηρίῳ ἐμυθολόγησαν. Πανύασις δ᾽ ἐν πρώτῳ Ἡρακλείας παρὰ Νηρέως φησὶ τὴν τοῦ ἡλίου φιάλην κομίσασθαι τὸν Ἡρακλέα καὶ διαπλεῦσαι εἰς Ἐρύθειαν. ὅτι δὲ εἷς ἦν ὁ Ἡρακλῆς τῶν πλεῖστον πινόντων προείπομεν. ὅτι δὲ καὶ ὁ ἥλιος ἐπὶ ποτηρίου διεκομίζετο e
ἐπὶ τὴν δύσιν Στησίχορος μὲν οὕτως φησίν

Ἀέλιος δ᾽ Ὑπεριονίδας δέπας ἐσκατέβαινε
χρύσεον, ὄφρα δι᾽ ὠκεανοῖο περάσας
ἀφίκοιθ᾽ ἱερᾶς ποτὶ βένθεα νυκτὸς ἐρεμνᾶς
ποτὶ ματέρα κουριδίαν τ᾽ ἄλοχον
παῖδάς τε φίλους. ὃ δ᾽ ἐς ἄλσος ἔβα δάφναισι κατάσκιον
ποσσὶ παῖς Διός. f

καὶ Ἀντίμαχος δ᾽ οὑτωσὶ λέγει

τότε δὴ χρυσέῳ ἐν δέπαϊ
Ἠέλιον πόμπευεν ἀγακλυμένη Ἐρύθεια.

καὶ Αἰσχύλος ἐν Ἡλιάσιν

ἔνθ᾽ ἐπὶ δυσμαῖς ἴσου
πατρὸς Ἡφαιστοτυκὲς
δέπας, ἐν τῷ διαβάλλει
πολὺν οἰδματόεντα φέρει δρόμου
πόρον οὐδ᾽ εἰς μελανίππου
προφυγὼν ἱερᾶς νυκτὸς ἀμολγόν.

39. Μίμνερμος δὲ Ναννοῖ ἐν εὐνῇ φησι χρυσῇ 470
κατεσκευασμένῃ πρὸς τὴν χρείαν ταύτην ὑπὸ Ἡφαίστου τὸν Ἥλιον καθεύδοντα περαιοῦσθαι πρὸς τὰς ἀνατολάς, αἰνισσόμενος τὸ κοῖλον τοῦ ποτηρίου. λέγει δ᾽ οὕτως

Ἠέλιος μὲν γὰρ ἔλαχεν πόνον ἤματα πάντα,
οὐδέ ποτ᾽ ἄμπαυσις γίγνεται οὐδεμία

ἵπποισίν τε καὶ αὐτῷ, ἐπὴν ῥοδοδάκτυλος ἠὼς
ὠκεανὸν προλιποῦσ᾽ οὐρανὸν εἰσαναβῇ.
b τὸν μὲν γὰρ διὰ κῦμα φέρει πολυήρατος εὐνὴ
κοίλη Ἡφαίστου χερσὶν ἐληλαμένη
χρυσοῦ τιμήεντος ὑπόπτερος ἄκρον ἐφ᾽ ὕδωρ
εὕδονθ᾽ ἁρπαλέως, χώρου ἀφ᾽ Ἑσπερίδων
γαῖαν ἐς Αἰθιόπων, ἵνα δὴ θοὸν ἅρμα καὶ ἵπποι
ἑστᾶσ᾽, ὄφρ᾽ ἠὼς ἠριγένεια μόλῃ.
ἔνθ᾽ ἐπέβη σφετέρων ὀχέων Ὑπερίονος υἱός.

Θεόλυτος δ᾽ ἐν δευτέρῳ Ὥρων ἐπὶ λέβητός φησιν c αὐτὸν διαπλεῦσαι, τοῦτο πρώτου εἰπόντος τοῦ τὴν Τιτανομαχίαν ποιήσαντος. Φερεκύδης δ᾽ ἐν τῇ τρίτῃ τῶν ἱστοριῶν προειπὼν περὶ τοῦ Ὠκεανοῦ ἐπιφέρει ‘ὁ δ᾽ Ἡρακλῆς ἕλκεται ἐπ᾽ αὐτὸν τὸ τόξον ὡς βαλῶν, καὶ ὁ Ἥλιος παύσασθαι κελεύει, ὁ δὲ δείσας παύεται. Ἥλιος δὲ ἀντὶ τούτου δίδωσιν αὐτῷ τὸ δέπας τὸ χρύσεον, ὃ αὐτὸν ἐφόρει σὺν ταῖς ἵπποις, ἐπὴν δύῃ, διὰ τοῦ Ὠκεανοῦ τὴν νύκτα πρὸς ἑῴην, ἵν᾽ ἀνίσχει ὁ ἥλιος. ἔπειτα πορεύεται ὁ Ἡρακλῆς ἐν τῷ δέπαϊ τούd τῳ ἐς τὴν Ἐρύθειαν. καὶ ὅτε δὲ ἦν ἐν τῷ πελάγει, Ὠκεανὸς πειρώμενος αὐτοῦ κυμαίνει τὸ δέπας φανταζόμενος. ὁ δὲ τοξεύειν αὐτὸν μέλλει, καὶ αὐτὸν δείσας Ὠκεανὸς παύσασθαι κελεύει.’

40. ΗΘΑΝΙΟΝ. Ἑλλάνικος ἐν Αἰγυπτιακοῖς οὕτως γράφει ‘Αἰγυπτίων ἐν τοῖς οἴκοις κεῖται φιάλη χαλκῆ καὶ κύαθος χαλκοῦς καὶ ἠθάνιον χαλκοῦν.’

ΗΜΙΤΟΜΟΣ. ἔκπωμά τι παρ᾽ Ἀττικοῖς ἀπὸ τοῦ σχήματος ὀνομασθέν, φησὶ Πάμφιλος ἐν Γλώσσαις.

e 41. ΘΗΡΙΚΛΕΙΟΣ. ἡ κύλιξ αὕτη ἐγκάθηται περὶ τὰς λαγόνας ἱκανῶς βαθυνομένη ὦτά τ᾽ ἔχει βραχέα ὡς ἂν κύλιξ οὖσα. καὶ μήποτε Ἄλεξις ἐν Ἡσιόνῃ

θηρικλείῳ ποιεῖ τὸν Ἡρακλέα πίνοντα, ὅταν οὑτωσὶ λέγῃ

γενόμενος (φησὶ) δ' ἔννους μόλις
ᾔτησε κύλικα, καὶ λαβὼν ἑξῆς πυκνὰς
ἕλκει, καταντλεῖ, κατά τε τὴν παροιμίαν
ἀεί ποτ' εὖ μὲν ἀσκὸς εὖ δὲ θύλακος
ἄνθρωπός ἐστιν.

ὅτι δὲ κύλιξ ἐστὶν ἡ θηρίκλειος σαφῶς παρίστησι Θεόφραστος ἐν τῇ περὶ φυτῶν ἱστορίᾳ. διηγούμενος f
γὰρ περὶ τῆς τερμίνθου φησί 'τορνεύεσθαι δὲ ἐξ αὐτῆς καὶ κύλικας θηρικλείους, ὥστε μηδένα διαγνῶναι πρὸς τὰς κεραμέας.' κατασκευάσαι δὲ λέγεται τὴν κύλικα ταύτην Θηρικλῆς ὁ Κορίνθιος κεραμεύς, ἀφ' οὗ καὶ τοὔνομα ἔχει, γεγονὼς τοῖς χρόνοις κατὰ τὸν κωμικὸν Ἀριστοφάνη. μνημονεύει δὲ τῆς κύλικος Θεόπομπος μὲν ἐν Νεμέᾳ οὕτως

χώρει σὺ δεῦρο, Θηρικλέους πιστὸν τέκνον,
γενναῖον εἶδος, ὄνομά σοι τί θώμεθα;
ἆρ' εἶ κάτοπτρον φύσεος; ἣν πλῆρες δοθῇς, 471
οὐδέν ποτ' ἄλλο. δεῦρο δή, γεμίσω σ' ἐγώ.
γραῦ Θεολύτη, γραῦ. Θ. τί με καλεῖς σύ,
φίλτατε;
Α. ἵν' ἀσπάσωμαι. δεῦρο παρ' ἐμὲ Θεολύτη,
παρὰ τὸν νέον ξύνδουλον· οὑτωσὶ καλῶς.
Θ. Σπίνθηρ τάλαν πειρᾷς με; Α. ναὶ τοιοῦτό τι.
φιλοτησίαν δὲ τήνδε σοι προπίομαι.
δέξαι· πιοῦσα δ' ὁπόσον ἄν σοι θυμὸς ᾖ,
παράδος τὸ πρῶτον.

Κλεάνθης δ' ἐν τῷ περὶ μεταλήψεως συγγράμματί b
φησι 'τὰ τοίνυν εὑρήματα καὶ ὅσα τοιαῦτα ἔτι καὶ τὰ λοιπά ἐστιν, οἷον θηρίκλειος δεινιὰς ἐφικρατίς· ταῦτα γὰρ πρότερον συνιστορεῖν τοὺς εὑρόντας. φαί-

νεται δ' ἔτι καὶ νῦν, εἰ δὲ μὴ ποιεῖ τοῦτο, μεταβεβληκὸς ἂν εἴη μικρὸν τοὔνομα. ἀλλὰ καθάπερ εἴρηται, οὐκ ἔστι πιστεῦσαι τῷ τυχόντι.' ἄλλοι δὲ ἱστοροῦσι θηρίκλειον ὀνομασθῆναι τὸ ποτήριον διὰ τὸ μορφὰς θηρίων αὐτῷ ἐντετυπῶσθαι. Πάμφιλος δὲ ὁ c Ἀλεξανδρεὺς ἀπὸ τοῦ τὸν Διόνυσον τοὺς θῆρας κλονεῖν σπένδοντα ταῖς κύλιξι ταύταις κατ' αὐτῶν.

42. μνημονεύει τοῦ ἐκπώματος καὶ Ἀντιφάνης ἐν Ὁμοίοις οὕτως

ὡς δ' ἐδείπνησαν, συνάψαι βούλομαι γὰρ τἀν μέσῳ,
καὶ Διὸς σωτῆρος ἦλθε θηρίκλειον ὄργανον
τῆς τρυφερᾶς ἀπὸ Λέσβου σεμνοπότου σταγόνος
πλῆρες ἀφρίζον, ἕκαστος δεξιτερᾷ δ' ἔλαβεν.

καὶ Εὔβουλος ἐν μὲν Δόλωνι

διένιψα δ' οὐδὲν σκεῦος οὐδεπώποτε·
d καθαρώτερον γὰρ τὸν κέραμον εἰργαζόμην
ἢ Θηρικλῆς τὰς κύλικας, ἡνίκ' ἦν νέος.

ἐν δὲ Κυβευταῖς

ἄρτι μὲν μάλ' ἀνδρικὴν
τῶν θηρικλείων, ὑπεραφρίζουσαν παρά,
κωθωνόχειλον, ψηφοπεριβομβήτριαν,
μέλαιναν, εὐκύκλωτον, ὀξυπύνδακα,
στίλβουσαν, ἀνταυγοῦσαν, ἐκνενιμμένην,
κισσῷ κάρα βρύουσαν, ἐπικαλούμενοι
e εἷλκον Διὸς σωτῆρος.

Ἀραρὼς δ' ἢ Εὔβουλος ἐν Καμπυλίωνι

ὦ γαῖα κεραμί, τίς σε Θηρικλῆς ποτὲ
ἔτευξε, κοίλης λαγόνος εὐρύνας βάθος;
ἦ που κατειδὼς τὴν γυναικείαν φύσιν,
ὡς οὐχὶ μικροῖς ἥδεται ποτηρίοις.

Ἄλεξις δ' ἐν Ἱππεῖ

καὶ θηρίκλειός τις κύλιξ στέφανον κύκλῳ
ἔχουσα χρυσοῦν· οὐ γὰρ ἐπίτηκτόν τινα.

καὶ ἐν Ἱππίσκῳ

μεστὴν ἀκράτου θηρίκλειον ἔσπασεν
κοίλην ὑπερθύουσαν. f

43. Τίμαιος δ' ἐν τῇ ὀγδόῃ καὶ εἰκοστῇ τῶν ἱστοριῶν θηρικλείαν καλεῖ τὴν κύλικα γράφων οὕτως 'Πολύξενός τις τῶν ἐκ Ταυρομενίου μεθεστηκότων ταχθεὶς ἐπὶ τὴν πρεσβείαν ἕτερά τε δῶρα παρὰ τοῦ Νικοδήμου καὶ κύλικα θηρικλείαν λαβὼν ἐπανῆκεν.' Ἀδαῖος δ' ἐν τοῖς περὶ διαθέσεως τὸ αὐτὸ ὑπολαμβάνει θηρίκλειον εἶναι καὶ καρχήσιον. ὅτι δὲ διαφέρει σαφῶς παρίστησι Καλλίξενος ἐν τοῖς περὶ Ἀλεξανδρείας φάσκων τινὰς ἔχοντας θηρικλείους πομ- 472 πεύειν, τοὺς δὲ καρχήσια. ὁποῖον δ' ἐστὶ τὸ καρχήσιον ἐν τοῖς ἑξῆς λεχθήσεται. καλεῖται δέ τις καὶ θηρίκλειος κρατήρ, οὗ μνημονεύει Ἄλεξις ἐν Κύκνῳ

φαιδρὸς δὲ κρατὴρ θηρίκλειος ἐν μέσῳ
ἕστηκε, λευκοῦ νέκταρος παλαιγενοῦς
πλήρης ἀφρίζων, ὃν λαβὼν ἐγὼ κενόν,
τρίψας, ποιήσας λαμπρόν, ἀσφαλῆ βάσιν
στήσας, ἀνάψας καρπίμοις κισσοῦ κλάδοις
ἔστεψα. b

θηλυκῶς δὲ τὴν θηρίκλειον εἶπε Μένανδρος ἐν Θεοφορουμένῃ

μέσως μεθύων [τὴν] θηρίκλειον ἔσπασεν.

καὶ ἐν Μηναγύρτῃ

[μεστὴν] προπίνων θηρίκλειον τρικότυλον.

καὶ Διώξιππος ἐν Φιλαργύρῳ

τῆς θηρικλείου τῆς μεγάλης χρεία 'στί μοι.
Β. εὖ οἶδα. Α. καὶ τῶν ῥοδιακῶν. ἥκιστα γὰρ

*ἐκ τῶν τοιούτων, Αἰσχέα, ποτηρίων*
*εἴωθα πίνειν.*

*Πολέμων δ' ἐν πρώτῃ περὶ τῆς Ἀθήνησιν ἀκροπό-* c *λεως οὐδετέρως ὠνόμασεν εἰπών 'τὰ χρυσᾶ θηρίκλεια ὑπόξυλα Νεοπτόλεμος ἀνέθηκεν.'*

44. *Ἀπολλόδωρος δ' ὁ Γελῷος ἐν Φιλαδέλφοις ἢ Ἀποκαρτεροῦντί φησιν*

*ἐφεξῆς στρώματ', ἀργυρώματα,*
*θηρίκλεια καὶ τορευτὰ πολυτελῆ ποτήρια*
*ἕτερα.*

*Ἀριστοφῶν δ' ἐν Φιλωνίδῃ*

*τοιγαροῦν ἐμοὶ μὲν ἀρτίως ὁ δεσπότης*
*δι' ἀρετὴν τῶν θηρικλείων εὐκύκλωτον ἀσπίδα,*
*ὑπεραφρίζουσαν, τρυφῶσαν, ἴσον ἴσῳ κεκρα-*
*μένην,*
d *προσφέρων ἔδωκεν, οἶμαι, χρηστότητος οὕνεκα.*
*εἶτ' ἐλευθέραν ἀφῆκε βαπτίσας ἐρρωμένως.*

*Θεόφιλος δὲ ἐν Βοιωτίᾳ*

*τετρακότυλον δὲ κύλικα κεραμέαν τινὰ*
*τῶν θηρικλείων πῶς δοκεῖς κεραννύει*
*καλῶς ἀφρῷ ζέουσαν . . . οὐδ' ἂν Αὐτοκλῆς*
*οὕτως μὰ τὴν γῆν εὐρύθμως τῇ δεξιᾷ*
*ἄρας ἐνώμα.*

e *ἐν δὲ Προιτίσι*

*καὶ κύλικα θηρίκλειον εἰσφέρει [τινά]*
*πλέον ἢ κοτύλας χωροῦσαν ἕπτ' ἀγαθῆς τύχης.*

ΙΣΘΜΙΟΝ. *Πάμφιλος ἐν τοῖς περὶ ὀνομάτων Κυπρίους τὶ ποτήριον οὕτως καλεῖν.*

45. ΚΑΔΟΣ. *Σιμμίας ποτήριον παρατιθέμενος Ἀνακρέοντος*

*ἠρίστησα μὲν ἰτρίου λεπτὸν ἀποκλάς,*
*οἴνου δ' ἐξέπιον κάδον.*

*Ἐπιγένης δὲ ἐν Μνηματίῳ φησί*

*κρατῆρες, κάδοι,*
*ὁλκεῖα, κρουνεῖ'. Β. ἔστι γὰρ κρουνεῖα; Α. ναί.* f
*λουτήρι'. ἀλλὰ τί καθ' ἕκαστον δεῖ λέγειν;*
*ὄψει γὰρ αὐτός. Β. βασιλέως υἱὸν λέγεις*
*. . . ἀφῖχθαι. Α. δηλαδὴ Πιξώδαρον.*

*Ἡδύλος ἐπιγράμμασι*

*πίνωμεν· καὶ γάρ τι νέον, παῖ, κάρτα παρ' οἶνον*
*εὕροιμ' ἂν λεπτὸν καί τι μελιχρὸν ἔπος.* 473
*ἀλλὰ κάδοις χίου με κατάβρεχε καὶ λέγε 'παῖζε*
*Ἡδύλε.' μισῶ ζῆν ἐς κενὸν οὐ μεθύων.*

*καὶ ἐν ἄλλῳ*

*ἐξ ἠοῦς εἰς νύκτα καὶ ἐκ νυκτὸς πάλι Σωκλῆς*
*εἰς ἠοῦν πίνει τετραχόοισι κάδοις·*
*εἶτ' ἐξαίφνης που τυχὸν οἴχεται. ἀλλὰ παρ' οἶνον*
*Σικελίδου παίζει πουλὺ μελιχρότερον,*
*ἔστι δὲ δὴ πολύ τι στιβαρώτερος. ὡς δ' ἐπιλάμπει* b
*ἡ χάρις. ὥστε φίλει καὶ γράφε καὶ μέθυε.*

*Κλείταρχος δ' ἐν ταῖς Γλώσσαις τὸ κεράμιόν φησιν Ἴωνας κάδον καλεῖν. Ἡρόδοτος δ' ἐν τῇ τρίτῃ φοινικηίου φησὶν οἴνου κάδον.*

46. ΚΑΔΙΣΚΟΣ. *Φιλήμων ἐν τῷ προειρημένῳ συγγράμματι ποτηρίου εἶδος. ἀγγεῖον δ' ἐστὶν ἐν ᾧ τοὺς κτησίους Δίας ἐγκαθιδρύουσιν, ὡς Ἀντικλείδης φησὶν ἐν τῷ Ἐξηγητικῷ γράφων οὕτως 'Διὸς κτησίου* c *σημεῖα ἱδρύεσθαι χρὴ ὧδε. καδίσκον καινὸν δίωτον ἐπιθηματοῦντα, στέψαντα τὰ ὦτα ἐρίῳ λευκῷ καὶ ἐκ τοῦ ὤμου τοῦ δεξιοῦ καὶ ἐκ τοῦ μετώπου τοῦ κροκίου καὶ ἐσθεῖναι ὅ τι ἂν εὕρῃς καὶ εἰσχέαι ἀμβροσίαν. ἡ δ' ἀμβροσία ὕδωρ ἀκραιφνές, ἔλαιον, παγκαρπία. ἅπερ ἔμβαλε.' μνημονεύει τοῦ καδίσκου καὶ Στράττις ὁ κωμικὸς ἐν Λημνομέδᾳ λέγων οὕτως*

Ἑρμῆς, ὃν ἕλκουσ᾽ οἱ μὲν ἐκ προχοιδίου,
οἱ δ᾽ ἐκ καδίσκου σ᾽ ἴσον ἴσῳ κεκραμένον.

d 47. ΚΑΝΘΑΡΟΣ. ὅτι μὲν πλοίου ὄνομα κοινόν, ὅτι δὲ καὶ ποτήριόν τι οὕτω καλεῖται Ἀμειψίας ἐν Ἀποκοτταβίζουσί φησιν

ἡ Μανία φέρ᾽ ὀξύβαφα καὶ κανθάρους.

Ἄλεξις δ᾽ ἐν Κρατεύᾳ (ὁ δὲ λόγος περί τινος ἐν καπηλείῳ πίνοντος)

εἶθ᾽ ὁρῶ τὸν Ἑρμαΐσκον τῶν ἁδρῶν τούτων τινὰ
κάνθαρον καταστρέφοντα, πλησίον δὲ κείμενον
στρωματέα καὶ γύλιον αὐτοῦ.

e Εὔβουλος δ᾽ ἐν Παμφίλῳ πολλάκις μεμνημένος τοῦ ὀνόματός φησιν

ἐγὼ δέ, καὶ γὰρ ἔτυχεν ὂν καταντικρὺ
τῆς οἰκίας καινὸν καπηλεῖον μέγα,
ἐνταῦθ᾽ ἐπετήρουν τὴν τροφὸν τῆς παρθένου,
κεράσαι κελεύσας τὸν κάπηλόν μοι χόα
ὀβολοῦ, παραθεῖναί θ᾽ ὡς μέγιστον κάνθαρον.

καὶ πάλιν

ὁ δὲ κάνθαρος πάλαι [δὴ κενὸς ὡς] ξηραίνεται.

f καὶ ἔτι

ἅμα δὲ λαβοῦσ᾽ ἠφάνικε πηλίκον τινὰ
οἴεσθε μέγεθος, Ἀρεσία, μέγαν πάνυ,
καὶ ξηρὸν ἐποίησ᾽ εὐθέως τὸν κάνθαρον.

Ξέναρχος δ᾽ ἐν Πριάπῳ φησὶ τάδε

σὺ δὲ μηκέτ᾽ ἔγχει, παιδάριον, εἰς τἀργυροῦν·
εἰς τὸ βαθὺ δ᾽ ἐπανάγωμεν. εἰς τὸν κάνθαρον,
474 παιδάριον, ἔγχει. Β. νὴ Δί᾽ εἰς τὸν κάνθαρον.

Ἐπιγένης Ἡρωίνῃ

ἀλλ᾽ οὐδὲ κεραμεύουσι νῦν τοὺς κανθάρους,
ὦ τάλαν, ἐκείνους τοὺς ἁδρούς, ταπεινὰ δὲ
καὶ γλαφυρὰ πάντες [κανθαρίδι,] ὡσπερεὶ

αὐτὰ τὰ ποτήρι', οὐ τὸν οἶνον πιόμενοι.

48. Σωσικράτης Φιλαδέλφοις

λεπτὴ δὲ κυρτοῖς ἐγγελῶσα κύμασιν
αὔρα, κόρη Σκείρωνος, ἡσύχῳ ποδὶ
προσῆγε πράως καὶ μαλακῶς τὸν κάνθαρον. b

Φρύνιχος Κωμασταῖς

εἶτα κεραμεύων ἂν οἴκοι σωφρόνως Χαιρέστρατος
ἑκατὸν ἂν τῆς ἡμέρας ἔκλαιεν οἴνου κανθάρους.

Νικόστρατος Διαβόλῳ

ἡ ναῦς δὲ πότερ' εἰκόσορός ἐστιν ἢ κύκνος
ἢ κάνθαρος; τουτὶ γὰρ ἂν πύθωμ' ὅ τι,
αὐτὸς περανῶ τὰ πάντ'. Β. ἀμέλει κυκνοκάνθαρος.

[ἐξ ἀμφοτέρων τούτων κεκεραμευμένος.] Μένανδρος δὲ Ναυκλήρῳ

ἥκει λιπὼν Αἰγαῖον ἁλμυρὸν βάθος
Θεόφιλος ἡμῖν, ὦ Στράτων. ὡς εἰς καλὸν c
τὸν υἱὸν εὐτυχοῦντα καὶ σεσωσμένον
πρῶτος λέγω σοι τόν τε χρυσοῦν κάνθαρον.
Β. ποῖον; Α. τὸ πλοῖον.

καὶ μετ' ὀλίγα

τὴν ναῦν σεσῶσθαί μοι λέγεις; Β. ἔγωγε μὴν
τὴν ναῦν ἐκείνην, ἣν ἐποίησε Καλλικλῆς
ὁ Καλύμνιος, Εὐφράνωρ δ' ἐκυβέρνα Θούριος.

Πολέμων δ' ἐν τοῖς πρὸς Ἀντίγονον περὶ ζωγράφων φησίν· Ἀθήνησιν ἐν τῷ τοῦ Πειρίθου γάμῳ πεποίηκεν Ἵππυς τὴν μὲν οἰνοχόην καὶ τὸ κύπελλον λίθινα, d χρυσῷ τὰ χείλη περιτεραμνίσας, τὰς δὲ κλισίας ἐλατίνας χαμᾶζε ποικίλοις στρώμασι κεκοσμημένας, ἐκπώματα δὲ κεραμέους κανθάρους, καὶ τὸν λύχνον ὁμοίως ἐκ τῆς ὀροφῆς ἐξηρτημένον ἀνακεχυμένας

ἔχοντα τὰς φλόγας.᾽ ὅτι δὲ καὶ ἀπὸ Κανθάρου κεραμέως ὠνομάσθη τὸ ἔκπωμά φησι Φιλέταιρος ἐν Ἀχιλλεῖ

Πηλεύς; ὁ Πηλεὺς δ᾽ ἐστὶν ὄνομα κεραμέως,
e ξηροῦ λυχνοποιοῦ Κανθάρου πενιχροῦ πάνυ,
ἀλλ᾽ οὐ τυράννου μὰ Δία.

ὅτι δὲ καὶ γυναικεῖον κοσμάριόν ἐστι κάνθαρος Ἀντιφάνης εἴρηκεν ἐν Βοιωτίᾳ.

49. ΚΑΡΧΗΣΙΟΝ. Καλλίξενος ὁ Ῥόδιος ἐν τοῖς περὶ Ἀλεξανδρείας φησὶν ὅτι ποτήριόν ἐστιν ἐπίμηκες, συνηγμένον εἰς μέσον ἐπιεικῶς, ὦτα ἔχον μέχρι τοῦ πυθμένος καθήκοντα. ἔστι δὲ ἱκανῶς ἐπίμηκες
f τὸ ποτήριον τὸ καρχήσιον, καὶ τάχα διὰ τὸ ἀνατετάσθαι οὕτως ὠνόμασται. ἀρχαιότατον δ᾽ ἐστὶ ποτήριον τὸ καρχήσιον, εἴ γε ὁ Ζεὺς ὁμιλήσας Ἀλκμήνῃ ἔδωκε δῶρον αὐτὸ τῆς μίξεως, ὡς Φερεκύδης ἐν τῇ δευτέρᾳ ἱστορεῖ καὶ Ἡρόδωρος ὁ Ἡρακλεώτης. Ἀσκληπιάδης δ᾽ ὁ Μυρλεανὸς κεκλῆσθαί φησιν αὐτὸ ἀπό τινος τῶν ἐν τῇ νηὶ κατασκευασμάτων. τοῦ γὰρ ἱστοῦ τὸ μὲν κατωτάτω πτέρνα καλεῖται, ᾗ ἐμπίπτει εἰς τὸν ληνόν, τὸ δ᾽ οἷον εἰς μέσον τράχηλος, τὸ δὲ πρὸς τῷ τέλει
475 καρχήσιον. ἔχει δὲ τοῦτο κεραίας ἄνω συννευούσας ἐφ᾽ ἑκάτερα τὰ μέρη, καὶ ἐπίκειται τὸ λεγόμενον αὐτῷ θωράκιον, τετράγωνον πάντῃ πλὴν τῆς βάσεως καὶ τῆς κορυφῆς· αὗται δὲ προὔχουσι μικρὸν ἐπ᾽ εὐθείας ἐξωτέρω. ἐπὶ δὲ τοῦ θωρακίου εἰς ὕψος ἀνήκουσα καὶ ὀξεῖα γιγνομένη ἐστὶν ἡ λεγομένη ἠλακάτη. μνημονεύει δὲ τῶν καρχησίων καὶ Σαπφὼ ἐν τούτοις

κῆνοι δ᾽ ἄρα πάντες καρχήσι᾽ ἦχον
κἄλειβον, ἀράσαντο δὲ πάμπαν
ἐσλὰ τῷ γαμβρῷ.

Σοφοκλῆς δὲ Τυροῖ

προσστῆναι μέσην
τράπεζαν ἀμφὶ σῖτα καὶ καρχήσια.

πρὸς τὴν τράπεζαν φάσκων προσεληλυθέναι τοὺς b δράκοντας καὶ γενέσθαι περὶ τὰ σιτία καὶ τὰ καρχήσια. ἔθος γὰρ ἦν τοῖς ἀρχαίοις ἐπὶ τῶν τραπεζῶν κεκραμένα τιθέναι ποτήρια, καθὰ καὶ Ὅμηρος ποιεῖ. ὠνομάσθη δὲ τὸ καρχήσιον διὰ τὸ τραχύσματα ἔχειν κεγχροειδῆ, καὶ εἴρηται κατὰ ἐναλλαγὴν τοῦ εἶ πρὸς τὸ ἄλφα ἀντὶ τοῦ κερχήσιον· διὸ καὶ Ὅμηρος τοὺς ὑπὸ δίψους κρατουμένους καρχαλέους εἶπεν. Χάρων δ' ὁ Λαμψακηνὸς ἐν τοῖς Ὥροις παρὰ Λακεδαιμονίοις φησὶν ἔτι καὶ εἰς αὐτὸν δείκνυσθαι τὸ δέπας τὸ δο- c θὲν Ἀλκμήνῃ ὑπὸ Διός, ὅτε Ἀμφιτρύωνι εἰκάσθη.

ΚΑΛΠΙΟΝ. ποτηρίου τι γένος Ἐρυθραίου, ὥς φησι Πάμφιλος. οἶμαι δ' αὐτὸ οἷόν ἐστι τὸ σκάφιον.

50. ΚΕΛΕΒΗ. τούτου τοῦ ἐκπώματος Ἀνακρέων μνημονεύει

ἄγε δὴ φέρ' ἡμὶν ὦ παῖ
κελέβην, ὅκως ἄμυστιν
προπίω, τὰ μὲν δέκ' ἐγχέας
ὕδατος τὰ πέντε δ' οἴνου
κυάθους.

ἄδηλον δὲ ποῖον εἶδός ἐστι ποτηρίου· ἢ πᾶν ποτήριον κελέβη καλεῖται ἀπὸ τοῦ χέειν εἰς αὐτὸ τὴν λοι- d βὴν ἢ τὸ λείβειν; τοῦτο δ' ἐπὶ τοῦ ὑγροῦ συνήθως ἔταττον, ἀφ' οὗ λέγεται καὶ ὁ λέβης. Σειληνὸς δὲ καὶ Κλείταρχος τοὺς Αἰολεῖς φασὶν οὕτω καλεῖν τὸ ποτήριον. Πάμφιλος δὲ τὸ ποτήριον θερμοποτίδα καλουμένην τὴν κελέβην εἶναι. Νίκανδρος δ' ὁ Κολοφώνιος ἐν ταῖς Γλώσσαις ποιμενικὸν ἀγγεῖον μελιτηρὸν τὴν κελέβην εἶναι. καὶ γὰρ Ἀντίμαχος ὁ Κολοφώνιος ἐν πέμπτῳ Θηβαΐδος φησί

κήρυκας δ' ἄρα τοῖσι φέρειν μέλανος οἴνοιο
ἀσκὸν ἐνίπλειον κελέβειόν θ' ὄττι φέριστον
e οἶσιν ἐνὶ μεγάροις κεῖται μέλιτος πεπληθός.

καὶ πάλιν

ἀτὰρ ἀμφίθετον κελέβειον ἑλόντες
ἔμπλειον μέλιτος, τό ῥά οἱ προφερέστερον ἦεν.

ἀλλαχοῦ δέ φησι

καὶ χρύσεια δέπαστρα καὶ ἀσκηθὲς κελέβειον
ἔμπλειον μέλιτος, τό ῥά οἱ προφερέστερον εἴη.

σαφῶς γὰρ νῦν κελέβειον ἀντὶ ἀγγείου τινὸς τέθεικε, προειπὼν ποτήρια δέπαστρα. Θεόκριτος δ' ὁ Συρακόσιος ἐν ταῖς Φαρμακευτρίαις φησί

στέψον τὰν κελέβαν φοινικέῳ οἰὸς ἀώτῳ.

f καὶ Εὐφορίων

ἠέ ποθεν ποταμῶν κελέβῃ ἀποήφυσας ὕδωρ.

Ἀνακρέων

ᾠνοχόει δ' ἀμφίπολος μελιχρὸν
οἶνον τρικύαθον κελέβην ἔχουσα.

Διονύσιος δ' ὁ λεπτὸς ἐξηγούμενος Θεοδωρίδα τὸ εἰς τὸν Ἔρωτα μέλος τὴν κελέβην φησὶ τίθεσθαι ἐπὶ τοῦ ὀρθοῦ ποτηρίου, οἷον προυσιάδος καὶ θηρικλείου.

476 51. ΚΕΡΑΣ. τοὺς πρώτους λέγεται τοῖς κέρασι τῶν βοῶν πίνειν. ἀφ' οὗ τὸν Διόνυσον κερατοφυῆ πλάττεσθαι, ἔτι δὲ ταῦρον καλεῖσθαι ὑπὸ πολλῶν ποιητῶν. ἐν δὲ Κυζίκῳ καὶ ταυρόμορφος ἵδρυται. ὅτι δὲ τοῖς κέρασιν ἔπινον δῆλον ἐκ τοῦ καὶ μέχρι νῦν λέγεσθαι ὅταν συμμίσγωσι τῷ οἴνῳ τὸ ὕδωρ, κεράσαι φάσκοντες. καὶ τὸ ἀγγεῖον δ' ἐν ᾧ κιρνᾶται ὁ οἶνος κρατήρ, ἀπὸ τοῦ συγκιρνᾶσθαι ἐν αὐτῷ τὸ ὕδωρ, ἀπὸ τοῦ κέρατος, οἷον κερατήρ, ἀπὸ τοῦ εἰς
b τὸ κέρας ἐγχεῖσθαι τὸ πόμα. διαμένει δ' ἔτι καὶ νῦν ἡ τῶν κεράτων κατασκευή. καλοῦσι γοῦν ἔνιοι ταῦτα

ῥυτά. καὶ τῶν ποιητῶν δὲ πολλοὶ παράγουσι πίνοντας τοὺς ἀρχαίους κέρασι. Πίνδαρος μὲν ἐπὶ τῶν κενταύρων λέγων

ἀνδροδάμαντα δ' ἐπεὶ φῆρες δάεν ῥιπὰν μελιηδέος οἴνου,
ἐσσυμένως ἀπὸ μὲν λευκὸν γάλα χερσὶ τραπεζᾶν
ὤθεον, αὐτόματοι δ' ἐξ ἀργυρέων κεράων πίνοντες ἐπλάζοντο.

καὶ Ξενοφῶν δ' ἐν τῇ ἑβδόμῃ τῆς Ἀναβάσεως διηγούμενος τὸ παρὰ τῷ Θρᾳκὶ Σεύθῃ συμπόσιον γράφει οὕτως 'ἐπεὶ δὲ Ξενοφῶν σὺν τοῖς μετ' αὐτοῦ c
εἰσῆλθε πρὸς τὸν Σεύθην, ἠσπάζοντο μὲν πρῶτον ἀλλήλους καὶ κατὰ τὸν Θρᾴκιον νόμον κέρατα οἴνου προὔπινον.' ἐν δὲ τῇ ἕκτῃ περὶ Παφλαγόνων διηγούμενός φησι 'κατακείμενοι δ' ἐν στιβάσιν ἐδείπνουν καὶ ἔπινον κερατίνοις ποτηρίοις.' Αἰσχύλος δ' ἐν Περραιβίσι τοὺς Περραιβοὺς παρίστησιν ἀντὶ ποτηρίων τοῖς κέρασι χρωμένους διὰ τούτων

ἀργυρηλάτοις
κέρασι χρυσᾶ στόμια προσβεβλημένοις.

καὶ Σοφοκλῆς Πανδώρᾳ

καὶ πλῆρες ἐκπιὼν τι χρύσειον κέρας
τρίψει τένοντα μαλθακῆς ὑπ' ὠλένης. d

Ἕρμιππος Μοίραις

οἶσθά νυν ὅ μοι ποίησον; τήνδε νῦν μή μοι δίδου,
ἐκ δὲ τοῦ κέρατος αὖ μοι δὸς πιεῖν ἅπαξ μόνον.

Λυκοῦργος δ' ὁ ῥήτωρ ἐν τῷ κατὰ Δημάδου Φίλιππόν φησι τὸν βασιλέα προπίνειν κέρατι τούτοις οἷς ἐφιλοφρονεῖτο. τοὺς δὲ Παιόνων βασιλεῖς φησὶ Θεόπομπος ἐν δευτέρᾳ Φιλιππικῶν τῶν βοῶν τῶν παρ' αὐτοῖς γινομένων μεγάλα κέρατα φυόντων, ὡς χωρεῖν

τρεῖς καὶ τέτταρας χόας, ἐκπώματα ποιεῖν ἐξ αὐτῶν, e τὰ χείλη περιαργυροῦντας καὶ χρυσοῦντας. καὶ Φιλόξενος δ' ὁ Κυθήριος ἐν τῷ ἐπιγραφομένῳ Δείπνῳ φησίν

πίνετο νεκτάρεον πῶμ' ἐν χρυσέαις προτομαῖς
γναμπτῶν κεράτων·
. . . ἔβρεχον [δὲ] κατὰ μικρόν.

'Αθηναῖοι δὲ καὶ ἀργυρᾶ ποιοῦντες κέρατα ἔπινον ἐξ αὐτῶν. ἔστι γοῦν τοῦτο εὑρεῖν ἐν τοῖς δημιοπράτοις ἀναγεγραμμένον οὕτως ἐκ στήλης ἀνακειμένης ἐν ἀκροπόλει ἣ τὰ ἀναθήματα περιέχει 'κέρας ἔκπωμα ἀργυροῦν καὶ περισκελίς, προσέτι . . .'

52. ΚΕΡΝΟΣ. ἀγγεῖον κεραμεοῦν ἔχον ἐν αὑτῷ f πολλοὺς κοτυλίσκους κεκολλημένους, ἐν οἷς εἰσὶ μήκωνες λευκοί, πυροί, κριθαί, πισοί, λάθυροι, ὦχροι, φακοί. ὁ δὲ βαστάσας αὐτό, οἷον λικνοφορήσας, τούτων γεύεται, ὡς ἱστορεῖ 'Αμμώνιος ἐν τρίτῃ περὶ βωμῶν καὶ θυσιῶν.

53. ΚΙΣΣΥΒΙΟΝ. τὸ μόνωτον ποτήριον Φιλήμων. Νεοπτόλεμος δ' ὁ Παριανὸς ἐν τρίτῳ Γλωσσῶν τὸ κίσσινον ποτήριον σημαίνειν παρ' Εὐριπίδῃ ἐν 'Ανδρομέδᾳ

477 πᾶς δὲ ποιμένων ἔρρει λεώς,
ὃ μὲν γάλακτος κίσσινον φέρων σκύφος,
πόνων ἀναψυκτῆρ', ὃ δ' ἀμπέλων γάνος.

τὸ γὰρ κισσύβιον, φησί, λέγεται ἐπὶ συνόδου ἀγροικικῆς, ἔνθα προσήκει μάλιστα τὸ ξύλινον ποτήριον. Κλείταρχος δέ φησιν Αἰολεῖς τὸν σκύφον κισσύβιον καλεῖν· Μαρσύας δὲ κύπελλον καὶ τὸ ξύλινον ποτήριον. Εὔμολπος δὲ γένος τι ποτηρίου, ἴσως, φησί, b κατ' ἀρχὰς ἐκ κισσίνου κατασκευασθὲν ξύλου. Νίκανδρος δ' ὁ Κολοφώνιος ἐν τῷ πρώτῳ τῶν Αἰτωλικῶν γράφει 'ἐν τῇ ἱροποιίῃ τοῦ Διδυμαίου Διὸς

κισσοῦ σπονδοποιέονται πετάλοισι, ὅθεν τὰ ἀρχαῖα ἐκπώματα κισσύβια φωνέεται. Ὅμηρος

κισσύβιον μετὰ χερσὶν ἔχων μέλανος οἴνοιο.'

Ἀσκληπιάδης δ' ὁ Μυρλεανὸς ἐν τῷ περὶ τῆς νεστορίδος 'σκύφει (φησὶ) καὶ κισσυβίῳ τῶν μὲν ἐν ἄστει καὶ μετρίων οὐδεὶς ἐχρῆτο, συβῶται δὲ καὶ νομεῖς καὶ οἱ ἐν ἀγρῷ, Πολύφημος μὲν τῷ κισσυβίῳ, θατέρῳ c δὲ Εὔμαιος.' Καλλίμαχος δ' ἔοικε διαμαρτάνειν ἐν τῇ συγχύσει τῶν ὀνομάτων λέγων ἐπὶ τοῦ οἰκείου ξένου τοῦ παρὰ τῷ Ἀθηναίῳ Πόλλιδι συνεστιαθέντος αὐτῷ

καὶ γὰρ ὃ Θρηικίην μὲν ἀνήνατο χανδὸν ἄμυστιν
ζωροποτεῖν, ὀλίγῳ δ' ἥδετο κισσυβίῳ.
τῷ μὲν ἐγὼ τόδ' ἔλεξα περιστείχοντος ἀλείσου
τὸ τρίτον.

ὁ γὰρ λέγων ἄλεισον τὸ αὐτὸ καὶ κισσύβιον τὴν ἀκριβῆ θέσιν τῶν ὀνομάτων οὐ διαφυλάττει. εἰκά- d σειε δ' ἄν τις τὸ κισσύβιον τὸ πρῶτον ὑπὸ ποιμένων ἐργασθῆναι ἐκ κισσίνου ξύλου. ἄλλοι δὲ ἐτυμολογοῦσιν αὐτὸ ἀπὸ τοῦ χεῖσθαι, τὸ δ' ἐστὶ χωρεῖν 'οὐδὸς δ' ἀμφοτέρους ὅδε χείσεται.' καὶ ἡ τοῦ ὄφεως κατάδυσις χειή, ἡ καταδεχομένη τὸ ζῷον. καὶ κήθιον τὸ χήτιον, τὸ χωροῦν τοὺς ἀστραγάλους. Διονύσιος δ' ὁ Σάμιος ἐν τοῖς περὶ τοῦ κύκλου τὸ ὁμηρικὸν κισσύβιον κυμβίον ἔφη γράφων οὕτως 'καὶ αὐτὸν Ὀδυσ- e σεὺς ὁρῶν ταῦτα ποιοῦντα πληρώσας τοῦ οἴνου κυμβίον δίδωσι πιεῖν.'

54. ΚΙΒΩΡΙΟΝ. Ἡγήσανδρος ὁ Δελφὸς Εὐφορίωνά φησι τὸν ποιητὴν παρὰ Πρυτάνιδι δειπνοῦντα, καὶ ἐπιδεικνυμένου τοῦ Πρυτάνιδος κιβώριά τινα δοκοῦντα πεποιῆσθαι πολυτελῶς, τοῦ κώθωνος εὖ μάλα προβεβηκότος λαβὼν ἓν τῶν κιβωρίων ὡς ἐξοι-

νῶν καὶ μεθύων ἐνεούρησε. Δίδυμος δέ φησι ποτηρίου εἶδος εἶναι, καὶ τάχ' ἂν εἴη τὰ λεγόμενα σκυ-
f φία, διὰ τὸ κάτωθεν εἰς στενὸν συνῆχθαι, ὡς τὰ αἰγύπτια κιβώρια.

55. ΚΟΝΔΥ. ποτήριον ἀσιατικόν. Μένανδρος Κόλακι

κοτύλας χωροῦν δέκα
ἐν Καππαδοκίᾳ κόνδυ χρυσοῦν, Στρουθία.

Ἵππαρχος Ἀνασωζομένοις

προσέχεις τι τούτῳ τῷ στρατιώτῃ; τί δ' ἐδίδου;
ἀργύριον οὗτος οὐδαμόθεν, εὖ οἶδ' ἐγώ,
ἀλλ' ἢ δαπίδιον ἓν ἀγαπητὸν ποικίλον,
Πέρσας ἔχον καὶ γρῦπας ἐξώλεις τινὰς
478 τῶν περσικῶν Β. ἐς κόρακας ὦ μαστιγία,
καὶ κόνδυ καὶ ψυκτήριον καὶ κυμβίον.

Νικόμαχος δ' ἐν πρώτῳ περὶ ἑορτῶν αἰγυπτίων φησί 'τὸ δὲ κόνδυ ἐστὶ μὲν περσικόν, τὴν δὲ ἀρχὴν ἣν Ἕρμιππος ἀστρολογικὸς ὡς ὁ κόσμος ἐξ οὗ τῶν θεῶν τὰ θαύματα καὶ τὰ καρπώσιμα γίνεσθαι ἐπὶ γῆς· διὸ ἐκ τούτου σπένδεσθαι.' Παγκράτης δ' ἐν πρώτῳ Βοκχορηίδος

αὐτὰρ ὅ γε σπείσας ἐκ κόνδυος ἀργυρέοιο
b νέκταρ ἐπ' ἀλλοδαπὴν οἶμον ἔβαινε πόδα.

ΚΟΝΩΝΕΙΟΣ. Ἴστρος ὁ Καλλιμάχειος ἐν πρώτῳ Πτολεμαίδος τῆς ἐν Αἰγύπτῳ πόλεως γράφει οὕτως 'κυλίκων κονωνείων ζεῦγος καὶ θηρικλείων χρυσοκλύστων ζεῦγος.'

56. ΚΟΤΥΛΟΣ. τὰ μόνωτα ποτήρια κότυλοι, ὧν καὶ Ἀλκαῖος μνημονεύει. Διόδωρος δ' ἐν τῷ πρὸς Λυκόφρονα παρὰ Σικυωνίοις καὶ Ταραντίνοις ἐπιπολάζειν φησὶ τὸ ἔκπωμα, εἶναι δὲ αὐτὸ λουτηρίῳ ἐοικὸς βαθεῖ. ἔχει δὲ καὶ οὖς ἐνιαχῇ. μνημονεύει δὲ

αὐτοῦ καὶ Ἴων ὁ Χῖος κότυλον οἴνου πλέων λέγων. c
Ἕρμιππος δ᾽ ἐν Θεοῖς

τόν τε κότυλον πρῶτον ἤνεγκ᾽ ἐνέχυρον τῶν
γειτόνων.

καὶ Πλάτων ἐν Διὶ κακουμένῳ ʻτὸν κότυλον φέρει᾽ φησὶ καὶ Ἀριστοφάνης ἐν Βαβυλωνίοις. Εὔβουλος δὲ ἐν Ὀδυσσεῖ ἢ Πανόπταις

ὁ δ᾽ ἱερεὺς εὐηγορῶν
ἐν μέσοις αὐτοῖσιν ἑστὼς τὴν καλὴν σκευὴν ἔχων
οἶνον ἐξέσπενδε κοτύλῳ.

Πάμφιλος δὲ ποτηρίου φησὶν εἶναι γένος, ἴδιον δ᾽ εἶναι Διονύσου. Πολέμων δ᾽ ἐν τῷ περὶ τοῦ Δίου κῳδίου φησί ʻμετὰ δὲ ταῦτα τὴν τελετὴν ποιεῖ, καὶ αἱρεῖ τὰκ τῆς θαλάμης καὶ νέμει ὅσοι ἂν ὦσι τὸ κέρ- d νος περιενηνοχότες. τοῦτο δ᾽ ἐστὶν ἀγγεῖον κεραμεοῦν, ἔχον ἐν αὑτῷ πολλοὺς κοτυλίσκους κεκολλημένους· ἔνι δ᾽ ἐν αὐτοῖς ὅρμινοι, μήκωνες λευκοί, πυροί, κριθαί, πισοί, λάθυροι, ὦχροι, φακοί, κύαμοι, ζειαί, βρόμος, παλάθιον, μέλι, ἔλαιον, οἶνος, γάλα, ὄϊον ἔριον ἄπλυτον. ὁ δὲ τοῦτο βαστάσας, οἷον λικνοφορήσας τούτων γεύεται.᾽

57. ΚΟΤΥΛΗ. Ἀριστοφάνης Κωκάλῳ ʻἄλλαι ὑποπρεσβύτεραι γρᾶες θασίου μέλανος μεστὸν κεραμευομέναις κοτύλαις μεγάλαις ἔγχεον ἐς σφέτερον δέμας οὐδένα κόσμον. ἔρωτι βιαζόμεναι μέλανος οἴνου ἀκράτου.᾽ Σειληνὸς καὶ Κλείταρχος ἔτι δὲ Ζη- e νόδοτος τὴν κύλικα

πάντῃ δ᾽ ἀμφὶ νέκυν κοτυλήρυτον ἔρρεεν αἷμα.

καί

πολλὰ μεταξὺ πέλει κοτύλης καὶ χείλεος ἄκρου.

Σιμάριστος δὲ τὸ λεπτὸν ποτήριον οὕτω καλεῖσθαι. Διόδωρος δὲ τὸν παρά τισι κότυλον κοτύλην ὠνομα-

κέναι τὸν ποιητὴν ʽπύρνον καὶ κοτύλην.᾽ ὃν κύλικα μὲν οὐκ εἶναι, οὐ γὰρ ἔχειν ὦτα, παραπλήσιον δ᾽ ὑπάρχειν λουτηρίῳ βαθεῖ ποτηρίου δὲ εἶδος εἶναι.
f δύνασθαι δὲ καὶ τὸν παρὰ τοῖς Αἰτωλοῖς καί τισι τῶν Ἰώνων λεγόμενον κότυλον, ὃν ὅμοιον ὄντα τῶν προειρημένων ἓν οὖς ἔχειν. μνημονεύει δ᾽ αὐτοῦ Κράτης ἐν Παιδιαῖς καὶ Ἕρμιππος ἐν Θεοῖς. Ἀθηναῖοι δὲ μέτρον τι καλοῦσι κοτύλην. Θουκυδίδης ʽἐδίδοσαν μὲν αὐτῶν ἑκάστῳ ἐπὶ ὀκτὼ μῆνας κοτύλην ὕδατος καὶ δύο κοτύλας σίτου.᾽ Ἀριστοφάνης Προαγῶνι

ὃ δ᾽ ἀλφίτων γε πριάμενος τρεῖς χοίνικας
κοτύλης δεούσας εἴκοσ᾽ ἀπολογίζεται.

479 Ἀπολλόδωρος δὲ ποτηρίου τι γένος ὑψηλὸν καὶ ἔγκοιλον. πᾶν δὲ τὸ κοῖλον κοτύλην, φησίν, ἐκάλουν οἱ παλαιοί, ὡς καὶ τὸ τῶν χειρῶν κοῖλον. ὅθεν καὶ κοτυλήρυτον αἷμα τὸ ἀμφοτέραις ταῖς χερσὶν ἀρυσθῆναι δυνάμενον. καὶ ἐγκοτύλη δέ τις παιδιὰ καλεῖται, ἐν ᾗ κοιλάναντες τὰς χεῖρας δέχονται τὰ γόνατα τῶν νενικηκότων οἱ νενικημένοι καὶ βαστάζουσιν αὐτούς. Διόδωρος δὲ ἐν ἰταλικαῖς γλώσσαις καὶ Ἡρακλέων, ὥς φησι Πάμφιλος, τὴν κοτύλην καλεῖσθαι καὶ ἡμίναν, παρατιθέμενος Ἐπιχάρμου

b καὶ πιεῖν ὕδωρ διπλάσιον χλιαρὸν ἡμίνας δύο.

καὶ Σώφρονος ʽκατάστρεψον, τέκνον, τὰν ἡμίναν.᾽ κοτυλίσκην δ᾽ εἴρηκε Φερεκράτης ἐν Κοριαννοῖ ʽτὴν κοτυλίσκην μηδαμῶς.᾽ Ἀριστοφάνης ἐν Ἀχαρνεῦσι

κοτυλίσκιον τὸ χεῖλος ἀποκεκρουμένον.

κοτύλη δὲ καλεῖται καὶ ἡ τοῦ ἰσχίου κοιλότης, καὶ αἱ τοῦ πουλύποδος ἐν ταῖς πλεκτάναις ἐπιφύσεις παραγώγως κοτυληδόνες. καὶ τὰ κύμβαλα δ᾽ Αἰσχύλος ἐν Ἠδωνοῖς κοτύλας εἴρηκεν

ὃ δὲ χαλκοδέτοις κοτύλαις ὀτοβεῖ.

Μαρσύας δέ φησι τὸ ἐν τῷ ἰσχίῳ ὀστοῦν καλεῖσθαι [c] ἄλεισον καὶ κύλικα. κοτυλίσκος δὲ καλεῖται ὁ ἱερὸς τοῦ Διονύσου κρατηρίσκος, καὶ οἷς χρῶνται οἱ μύσται, ὡς Νίκανδρός φησιν ὁ Θυατειρηνός, παρατιθέμενος τὸ ἐκ Νεφελῶν Ἀριστοφάνους 'μηδὲ στέψω κοτυλίσκον.' Σιμμίας δὲ ἀποδίδωσι τὴν κοτύλην ἄλεισον.

58. ΚΟΤΤΑΒΙΣ. Ἁρμόδιος ὁ Λεπρεάτης ἐν τῷ περὶ τῶν κατὰ Φιγάλειαν νομίμων διεξιὼν περὶ τῶν ἐπιχωρίων δείπνων γράφει καὶ ταῦτα 'καθαγισάντων ταῦτα ἐν κεραμέᾳ κοτταβίδι πιεῖν ἑκάστῳ μικρόν, καὶ ὁ προσφέρων ἀνεῖπεν εὐδειπνίας.' Ἡγήσανδρος δ' ὁ [d] Δελφὸς ἐν ὑπομνήμασιν ὧν ἀρχή 'ἐν τῇ ἀρίστῃ πολιτείᾳ,' φησίν 'ὁ καλούμενος κότταβος παρῆλθεν εἰς τὰ συμπόσια, τῶν περὶ Σικελίαν, ὥς φησι Δικαίαρχος, πρῶτον εἰσαγαγόντων. τοσαύτη δὲ ἐγένετο σπουδὴ περὶ τὸ ἐπιτήδευμα ὥστε εἰς τὰ συμπόσια παρεισφέρειν ἆθλα κοττάβια καλούμενα. εἶτα κύλικες αἱ πρὸς τὸ πρᾶγμα χρήσιμαι μάλιστ' εἶναι δοκοῦσαι κατεσκευάζοντο καλούμεναι κοτταβίδες. πρὸς δὲ τούτοις οἶκοι κατεσκευάζοντο κυκλοτερεῖς, ἵνα [e] πάντες εἰς τὸ μέσον τοῦ κοττάβου τεθέντος ἐξ ἀποστήματος ἴσου καὶ τόπων ὁμοίων ἀγωνίζοιντο περὶ τῆς νίκης. οὐ γὰρ μόνον ἐφιλοτιμοῦντο βάλλειν ἐπὶ τὸν σκοπόν, ἀλλὰ καὶ καλῶς ἕκαστα αὐτῶν. ἔδει γὰρ εἰς τὸν ἀριστερὸν ἀγκῶνα ἐρείσαντα καὶ τῇ δεξιᾷ κυκλώσαντα ὑγρῶς ἀφεῖναι τὴν λάταγα· οὕτω γὰρ ἐκάλουν τὸ ἐκπῖπτον ἐκ τῆς κύλικος ὑγρόν· ὥστε ἔνιοι μεῖζον ἐφρόνουν ἐπὶ τῷ καλῶς κοτταβίζειν τῶν ἐπὶ τῷ ἀκοντίζειν μέγα φρονούντων.'

59. ΚΡΑΤΑΝΙΟΝ. μήποτε τὸ νῦν καλούμενον κρά- [f] νειον ἔκπωμα οὕτως ὠνόμαζον οἱ ἀρχαῖοι. Πολέμων γοῦν ἢ ὅστις ἐστὶν ὁ ποιήσας τὸν ἐπιγραφόμενον

Ἑλλαδικόν, περὶ τοῦ ἐν Ὀλυμπίᾳ λέγων Μεταποντίνων ναοῦ γράφει καὶ ταῦτα 'ναὸς Μεταποντίνων, ἐν ᾧ φιάλαι ἀργυραῖ ἑκατὸν τριάκοντα δύο, οἰνοχόαι
480 ἀργυραῖ δύο, ἀποθυστάνιον ἀργυροῦν, φιάλαι τρεῖς ἐπίχρυσοι. ναὸς Βυζαντίων, ἐν ᾧ τρίτων κυπαρίσσινος ἔχων κρατάνιον ἀργυροῦν, σειρὴν ἀργυρᾶ, καρχήσια δύο ἀργυρᾶ, κύλιξ ἀργυρᾶ, οἰνοχόη χρυσῆ, κέρατα δύο. ἐν δὲ τῷ ναῷ τῆς Ἥρας τῷ παλαιῷ φιάλαι ἀργυραῖ τριάκοντα, κρατάνια ἀργυρᾶ δύο, χύτρος ἀργυροῦς, ἀποθυστάνιον χρυσοῦν, κρατὴρ χρυσοῦς, Κυρηναίων ἀνάθημα, βατιάκιον ἀργυροῦν.'

ΚΡΟΥΝΕΙΑ. Ἐπιγένης Μνηματίῳ

κρατῆρες, κάδοι,
ὁλκεῖα, κρουνεῖ'. Β. ἔστι γὰρ κρουνεῖα; Α. ναί.

b ΚΥΑΘΙΣ. κοτυλῶδες ἀγγεῖον. Σώφρων ἐν τῷ ἐπιγραφομένῳ μίμῳ Γυναῖκες αἳ τὰν θεὸν φαντὶ ἐξελᾶν 'ὑποκατώρυκται δ' ἐν κυαθίδι τρικτὺς ἀλεξιφαρμάκων.'

60. ΚΥΛΙΞ. Φερεκράτης Δουλοδιδασκάλῳ

νυνὶ δ' ἀπονίζων τὴν κύλικα δὸς ἐμπιεῖν
ἔγχει τ' ἐπιθεὶς τὸν ἠθμόν.

ταῦτα δ' ἐστὶ κεράμεα ποτήρια καὶ λέγεται ἀπὸ τοῦ κυλίεσθαι τῷ τροχῷ· ἀφ' ὧν καλεῖται τό τε κυλικεῖον ἐν ᾧ τίθεται τόπῳ τὰ ποτήρια κἂν ἀργυρᾶ τυγχάνῃ ὄντα, καὶ τὸ κυλικηγορεῖν ὅταν ἐπὶ τῇ κύλικί τις ἀγορεύῃ. Ἀθηναῖοι δὲ καὶ τὴν ἰατρικὴν
c πυξίδα καλοῦσι κυλικίδα διὰ τὸ τῷ τόρνῳ κεκυλίσθαι. ἐγένοντο δ' ἐπίσημοι κύλικες αἵ τε ἀργεῖαι καὶ αἱ ἀττικαί. καὶ τῶν μὲν ἀττικῶν μνημονεύει Πίνδαρος ἐν τοῖσδε

ὦ Θρασύβουλ', ἐρατᾶν ὄχημ' ἀοιδᾶν

τοῦτό τοι πέμπω μεταδόρπιον. ἐν ξυνῷ κεν εἴη
συμπόταισίν τε γλυκερὸν
καὶ Διωνύσοιο καρπῷ καὶ κυλίκεσσιν ἀθη-
ναίαισι κέντρον.

αἱ δὲ ἀργεῖαι δοκοῦσι καὶ τὸν τύπον ἔχειν διάφορον πρὸς τὰς ἀττικάς. φοξαὶ γοῦν ἦσαν τὸ χεῖλος, ὡς d
Σιμωνίδης φησὶν ὁ Ἀμόργιος

αὕτη δὲ φοξίχειλος [ἀργείη κύλιξ].

ἡ εἰς ὀξὺ ἀνηγμένη, οἷοί εἰσιν οἱ ἄμβικες καλούμενοι. τὸ γὰρ φοξὸν ἐπὶ τούτου τάττουσι, καθότι Ὅμηρος ἐπὶ τοῦ Θερσίτου 'φοξὸς ἔην κεφαλήν.' καὶ ἔστιν οἷον φαοξός, ὁ πρὸς τὰ φάη ὀξὺς ὁρώμενος.

61. διάφοροι δὲ κύλικες γίνονται καὶ ἐν τῇ τοῦ συσσίτου ἡμῶν Ἀθηναίου πατρίδι Ναυκράτει. εἰσὶ e
γὰρ φιαλώδεις μέν, οὐ κατὰ τόρνον δ᾽ ἀλλ᾽ ὥσπερ δακτύλῳ πεποιημέναι, καὶ ἔχουσιν ὦτα τέσσαρα, πυθμένα εἰς πλάτος ἐκτεταμένον, καὶ βάπτονται εἰς τὸ δοκεῖν εἶναι ἀργυραῖ. πολλοὶ δ᾽ ἐν τῇ Ναυκράτει κεραμεῖς, ἀφ᾽ ὧν καὶ ἡ πλησίον τῶν κεραμείων πύλη κεραμικὴ καλεῖται. ἐπαινοῦνται δὲ καὶ αἱ χῖαι κύλικες, ὧν μνημονεύει Ἕρμιππος ἐν Στρατιώταις

χία δὲ κύλιξ ὑψοῦ κρέμαται
περὶ πασσαλόφιν.

Γλαύκων δ᾽ ἐν ταῖς γλώσσαις Κυπρίους φησὶ τὴν f
κοτύλην κύλικα καλεῖν. Ἑρμῶναξ δ᾽ ἐν συνωνύμοις οὕτως γράφει 'ἄλεισον ποτήριον κύπελλον ἄμφωτις σκύφος κύλιξ κώθων καρχήσιον φιάλη.' Ἀχαιὸς δ᾽ ὁ Ἐρετριεὺς ἐν Ἀλκμαίωνι ἀντὶ τοῦ κύλικες παραγώγως κυλιχνίδας εἴρηκε διὰ τούτων

ἀλλ᾽ ὡς τάχιστα μέλανα δεῦρ᾽ ἀμνὸν φέρειν
κοινόν τε χρὴ κρατῆρα καὶ κυλιχνίδας.

καὶ Ἀλκαῖος

481 πίνωμεν· τί τὰ λύχν' ἀμμένομεν; δάκτυλος ἁμέρα.
κάδδ' ἄειρε κυλίχναις μεγάλαις, ὦ ἔτα, ποικίλαις.
οἶνον γὰρ Σεμέλας καὶ Διὸς υἱὸς λαθικαδέα
ἀνθρώποισιν ἔδωκ'. ἔγχεε κίρναις ἕνα καὶ δύο πλέαις.

καὶ ἐν τῷ δεκάτῳ

λάταγες ποτέονται κυλιχνᾶν ἀπὸ τηιᾶν.

ὡς διαφόρων γινομένων καὶ ἐν Τέῳ κυλίκων.

62. Φερεκράτης Κοριαννοῖ

ἐκ τοῦ βαλανείου γὰρ δίεφθος ἔρχομαι,
ξηρὰν ἔχουσα τὴν φάρυγα. Β. δώσω πιεῖν.
Α. γλισχρόν γε μοὐστὶ τὸ σίαλον νὴ τὼ θεώ.
b Β. τί λάβω κόρη σοι; τὴν κοτυλίσκην; Α. μηδαμῶς
μικράν γε. κινεῖται γὰρ εὐθύς μοι χολή,
ἐξ οὗπερ ἔπιον ἐκ τοιαύτης φάρμακον.
εἰς τὴν ἐμήν νυν ἔγχεον τὴν μείζονα.

ὅτι δὲ μεγάλοις ποτηρίοις αἱ γυναῖκες ἐχρῶντο ὁ αὐτὸς εἴρηκε Φερεκράτης ἐν Τυραννίδι διὰ τούτων

εἶτ' ἐκεραμεύσαντο τοῖς μὲν ἀνδράσιν ποτήρια
πλατέα, τοίχους οὐκ ἔχοντ' ἀλλ' αὐτὸ τοὔδαφος μόνον,
c κοὐχὶ χωροῦντ' οὐδὲ κόγχην, ἐμφερῆ γευστηρίοις·
σφίσι δέ γ' αὐταῖσιν βαθείας κύλικας ὥσπερ ὁλκάδας
οἰναγωγοὺς περιφερεῖς λεπτὰς μέσας γαστροιίδας,
οὐκ ἀβούλως, ἀλλὰ πόρρωθεν κατεσκευασμέναι
αὔθ', ὅπως ἀνεκλογίστως πλεῖστος οἶνος ἐκποθῇ.
d εἶθ' ὅταν τὸν οἶνον αὐτὰς αἰτιώμεθ' ἐκπιεῖν,

λοιδοροῦνται κὠμνύουσι μὴ 'κπιεῖν ἀλλ' ἢ μίαν.
ἣ δὲ κρείττων ἡ μί' ἐστὶ χιλίων ποτηρίων.

63. ΚΥΜΒΙΑ. 'τὰ κοῖλα ποτήρια καὶ μικρά' Σιμάριστος. Δωρόθεος δέ 'γένος ποτηρίων βαθέων τὰ κυμβία καὶ ὀρθῶν, πυθμένα μὴ ἐχόντων μηδὲ ὦτα.' Πτολεμαῖος δὲ ὁ τοῦ Ἀριστονίκου τὰ κυφά. Νίκανδρος δ' ὁ Θυατειρηνὸς τὸ χωρὶς ὠτίων ποτήριον ὠνομακέναι Θεόπομπον ἐν Μήδῳ. Φιλήμων Φάσματι

ἔπιεν ἡ Ῥόδη
κυμβίον ἀκράτου, κατασέσειχ' ἡμᾶς κάτω. e

Διονύσιος δ' ὁ Σάμιος ἐν ἕκτῳ περὶ τοῦ κύκλου τὸ αὐτὸ οἴεται εἶναι κισσύβιον καὶ κυμβίον. φησὶ γὰρ ὡς Ὀδυσσεὺς πληρώσας κυμβίον ἀκράτου ὤρεξε τῷ κύκλωπι. οὐκ ἔστι δὲ μικρὸν τὸ διδόμενον αὐτῷ κισσύβιον παρ' Ὁμήρῳ· οὐ γὰρ ἂν τρὶς πιὼν μέγιστος ὢν τὸ σῶμα ταχέως ἂν ὑπὸ τῆς μέθης κατηνέχθη. τοῦ κυμβίου μνημονεύει καὶ Δημοσθένης ἐν τῷ κατὰ Μειδίου, ἀκολουθεῖν αὐτῷ φάσκων ῥυτὰ καὶ κυμβία. καὶ ἐν τῷ κατὰ Εὐέργου καὶ Μνησιβού- f
λου. φησὶ δὲ Δίδυμος ὁ γραμματικὸς ἐπίμηκες εἶναι τὸ ποτήριον καὶ στενὸν τῷ σχήματι, παρόμοιον πλοίῳ. καὶ Ἀναξανδρίδης ἐν Ἀγροίκοις

μεγάλ' ἴσως ποτήρια
προπινόμενα καὶ μέστ' ἀκράτου κυμβία
ἐκάρωσεν ὑμᾶς. Β. ἀνακεχαίτικεν μὲν οὖν.

Ἄλεξις Ἱππεῖ

τά τε κυμβία
ἆρ' ἦν πρόσωπ' ἔχοντα χρυσᾶ παρθένων; 482
Β. νὴ τὸν Δί', ἦν γάρ. Α. ὦ τάλαιν' ἐγὼ κακῶν.

64. Ἐρατοσθένης δ' ἐν τῇ πρὸς Ἀγήτορα τὸν Λάκωνα ἐπιστολῇ ὡς κυαθῶδες ἀγγεῖον τὸ κυμβίον παραδίδωσι γράφων οὕτως 'θαυμάζουσι δ' οἱ αὐτοὶ καὶ

πῶς κύαθον μὴ κεκτημένος ἀλλὰ κυμβίον μόνον, φιάλην προσεκέκτητο. δοκεῖ δή μοι τὸ μὲν τῆς τῶν ἀνθρώπων χρείας ἕνεκα, τὸ δὲ τῆς τῶν θεῶν τιμῆς εἰς τὴν κτῆσιν παρειληφέναι. κυάθῳ μὲν οὖν οὐδὲν ἐχρῶντο τότε οὐδὲ κοτύλῃ· κρατῆρα γὰρ ἵστασαν
b τοῖς θεοῖς οὐκ ἀργυροῦν οὐδὲ λιθοκόλλητον ἀλλὰ τῆς κωλιάδος γῆς. τοῦτον δ' ὁσάκις ἐπιπληρώσαιεν, ἀποσπείσαντες τοῖς θεοῖς ἐκ τῆς φιάλης ᾠνοχόουν ἐφεξῆς τὸν νεοκρᾶτα βάπτοντες τῷ κυμβίῳ, καθὰ καὶ νῦν παρ' ἡμῖν ποιοῦσιν ἐν τοῖς φιδιτίοις. εἰ δέ ποτε πλεῖον πιεῖν βουληθεῖεν, προσπαρετίθεσαν τοὺς καλουμένους κοτύλους, κάλλιστα καὶ εὐποτώτατα ἐκπωμάτων. ἦσαν δὲ καὶ οὗτοι τῆς αὐτῆς κεραμείας.' ὅταν δ' Ἔφιππος ἐν Ἐφήβοις λέγῃ

c οὐ κύλικας ἐπὶ τὰ δεῖπνα Χαιρήμων φέρει,
οὐ κυμβίοισι πεπολέμηκ' Εὐριπίδης·

οὐ τὸν τραγικὸν λέγει ποιητὴν ἀλλά τινα ὁμώνυμον αὐτῷ, ἤτοι φίλοινόν τινα ἢ αἰτίαν ἔχοντα οὐ χρηστήν, ὥς φησιν Ἀντίοχος ὁ Ἀλεξανδρεὺς ἐν τῷ περὶ τῶν ἐν τῇ μέσῃ κωμῳδίᾳ κωμῳδουμένων ποιητῶν. τὸ γὰρ ἐπάγεσθαι κατὰ τὰς ἑστιάσεις κυμβία καὶ δοκεῖν τούτοις διαμάχεσθαι εἰς ἑκάτερα τείνει. μνημονεύει δ' αὐτοῦ καὶ Ἀναξανδρίδης ἐν Νηρηίσι

d δὸς δὴ τὸν χόα
αὐτῷ σὺ Κῶμε καὶ τὸ κυμβίον φέρων,
Εὐριπίδης τις τήμερον γενήσεται.

καὶ Ἔφιππος ἐν Ὁμοίοις ἢ ἐν Ὀβελιαφόροις

Διονυσίου δὲ δράματ' ἐκμαθεῖν δέοι,
καὶ Δημοφῶντος ἅττ' ἐποίησεν εἰς Κότυν,
ῥήσεις τε κατὰ δεῖπνον Θεόδωρός μοι λέγοι,
Λάχητί τ' οἰκήσαιμι τὴν ἑξῆς θύραν,
κυμβία τε παρέχοιμ' ἑστιῶν Εὐριπίδῃ.

ὅτι δὲ καὶ πλοῖον ἡ κύμβη Σοφοκλῆς ἐν Ἀνδρομέδᾳ φησίν

ἵπποισιν ἢ κύμβαισι ναυστολεῖς χθόνα; e

'κύμβα ποτήριον Παφίοις' Ἀπολλόδωρος.

65. ΚΥΠΕΛΛΟΝ. τοῦτο πότερόν ἐστι ταυτὸν τῷ ἀλείσῳ καὶ τῷ δέπαϊ, ἢ ὀνόματι μόνον διαλλάσσει;

τοὺς μὲν ἄρα χρυσέοισι κυπέλλοις υἷες Ἀχαιῶν
δειδέχατ' ἄλλοθεν ἄλλος ἀνασταδόν.

ἢ διάφορος ἦν ὁ τύπος, καὶ οὐχ ὥσπερ τὸ δέπας καὶ τὸ ἄλεισον ἀμφικύπελλον οὕτω δὲ καὶ τοῦτο, κυφὸν δὲ μόνον; ἀπὸ γὰρ τῆς κυφότητος τὸ κύπελλον ὥσπερ καὶ τὸ ἀμφικύπελλον· ἢ ὅτι παραπλήσιον ἦν ταῖς f
πέλλαις, συνηγμένον μᾶλλον εἰς τὴν κυφότητα· ἢ ἀμφικύπελλα οἷον ἀμφίκυρτα ἀπὸ τῶν ὤτων, διὰ τὸ τοιαῦτα εἶναι τῇ κατασκευῇ. φησὶ γὰρ καὶ ὁ ποιητής 'χρύσεον ἄμφωτον.' Ἀντίμαχος δ' ἐν πέμπτῳ Θηβαΐδος

πᾶσιν δ' ἡγεμόνεσσιν ἐποιχόμενοι κήρυκες
χρύσεα καλὰ κύπελλα τετυγμένα νωμήσαντο.

Σειληνὸς δέ φησι 'κύπελλα ἐκπώματα σκύφοις ὅμοια, ὡς καὶ Νίκανδρος ὁ Κολοφώνιος· κύπελλα δ' ἔνειμε 483
συβώτης.' Εὔμολπος δὲ ποτηρίου γένος ἀπὸ τοῦ κυφὸν εἶναι. Σιμάριστος δὲ τὸ δίωτον ποτήριον Κυπρίους, τὸ δὲ δίωτον καὶ τετράωτον Κρῆτας. Φιλητᾶς δὲ Συρακοσίους κύπελλα καλεῖν τὰ τῆς μάζης καὶ τῶν ἄρτων ἐπὶ τῆς τραπέζης καταλείμματα.

ΚΥΜΒΗ. Φιλήμων ἐν ταῖς Ἀττικαῖς φωναῖς κύλικος εἶδος. Ἀπολλόδωρος δ' ἐν τῷ περὶ ἐτυμολογιῶν Παφίους τὸ ποτήριον καλεῖν κύμβαν.

66. ΚΩΘΩΝ. Λακωνικὸν ποτήριον, οὗ μνημονεύει b
Ξενοφῶν ἐν πρώτῳ Κύρου παιδείας. Κριτίας δὲ ἐν Λακεδαιμονίων πολιτείᾳ γράφει οὕτως 'χωρὶς δὲ τού-

των τὰ σμικρότατα ἐς τὴν δίαιταν, ὑποδήματα ἄριστα λακωνικά, ἱμάτια φορεῖν ἥδιστα καὶ χρησιμώτατα· κώθων λακωνικός, ἔκπωμα ἐπιτηδειότατον εἰς στρατείαν καὶ εὐφορώτατον ἐν γυλίῳ. τοῦ δὲ ἕνεκα; στρατιωτικὸν πολλάκις ἀνάγκη ὕδωρ πίνειν οὐ καθαρόν. πρῶτον μὲν οὖν τῷ μὴ λίαν κατάδηλον εἶναι τὸ πῶμα, εἶτα ἄμβωνας ὁ κώθων ἔχων ὑπολεί-
c πει τὸ οὐ καθαρὸν ἐν αὐτῷ.' καὶ Πολέμων δ' ἐν τῇ . . τῶν πρὸς Ἀδαῖον καὶ Ἀντίγονον, ὅτι κεραμέοις ἀγγείοις ἐχρῶντο οἱ Λακεδαιμόνιοι γράφει οὕτως 'ἀλλὰ μὴν ὅτι ἀρχαϊκὸν ἦν τὸ τοιοῦτον δὲ τῆς ἀγωγῆς γένος, ὃ καὶ νῦν ὁρᾶται παρά τισι τῶν Ἑλλήνων· ἐν Ἄργει μὲν ἐν ταῖς δημοσίαις θοίναις, ἐν Λακεδαίμονι δὲ κατὰ τὰς ἑορτὰς ἔν τε τοῖς ἐπινικίοις καὶ τοῖς γάμοις τῶν παρθένων πίνουσιν ἐκ κεραμέων ποτηρίων, ἐν
d δὲ τοῖς ἄλλοις συμποσίοις καὶ φιδιτίοις ἐν πιθάκναις.' μνημονεύει αὐτοῦ καὶ Ἀρχίλοχος ἐν ἐλεγείοις ὡς ποτηρίου οὕτως

ἀλλ' ἄγε σὺν κώθωνι θοῆς διὰ σέλματα νηὸς
φοίτα, καὶ κοίλων πώματ' ἄφελκε κάδων,
ἄγρει δ' οἶνον ἐρυθρὸν ἀπὸ τρυγός· οὐδὲ γὰρ ἡμεῖς
νήφειν ἐν φυλακῇ τῇδε δυνησόμεθα.

ὡς τῆς κύλικος λεγομένης κώθωνος. Ἀριστοφάνης Ἱππεῦσιν

εἰς τὰς ἱππαγωγοὺς εἰσεπήδων ἀνδρικῶς,
πριάμενοι κώθωνας, οἱ δὲ καὶ σκόροδα καὶ κρόμμυα.

e Ἡνίοχος Γοργόσι

πιεῖν πιεῖν τις ἔγχει, πυριγενῆ
λαβὼν βραχύωτον κυκλοτερῆ παχύστομον
κώθωνα παῖδα φάρυγος.

Θεόπομπος Στρατιώτισιν

ἐγὼ γὰρ ἂν κώθωνος ἐκ στρεψαύχενος
πίοιμι τὸν τράχηλον ἀνακεκλασμένη;

Ἄλεξις Ἐρίθοις

εἶτα τετρακότυλον ἐπεσόβει κώθωνά μοι,
παλαιὸν οἴκων κτῆμα.

ἀπὸ δὲ τοῦ ποτηρίου τούτου καὶ ἀκρατοκώθωνας καλοῦσι τοὺς πλέον ἄκρατον σπῶντας, ὡς Ὑπερείδης ἐν τῷ κατὰ Δημοσθένους. Καλλίξενος δ' ἐν τετάρτῳ περὶ Ἀλεξανδρείας ἀναγράφων τὴν τοῦ Φιλαδέλφου f πομπὴν καὶ καταλέγων πολλὰ ἐκπώματα γράφει καὶ τάδε 'κώθωνες διμέτρητοι δύο.'

67. περὶ δὲ τοῦ κωθωνίζεσθαι καὶ ὅτι χρήσιμός ἐστι διὰ χρόνου ὁ κωθωνισμὸς Μνησίθεος ὁ Ἀθηναῖος ἰατρὸς ἐν τῇ περὶ κωθωνισμοῦ ἐπιστολῇ φησὶν οὕτως 'συμβαίνει τοὺς μὲν πολὺν ἄκρατον ἐν ταῖς συνουσίαις πίνοντας μεγάλα βλάπτεσθαι καὶ τὸ σῶμα καὶ τὴν ψυχήν. τὸ μέντοι κωθωνίζεσθαι διά τινων 484 ἡμερῶν δοκεῖ μοι ποιεῖν τινα καὶ τοῦ σώματος κάθαρσιν καὶ τῆς ψυχῆς ἄνεσιν. γίγνονται γάρ τινες ἡμῖν ἐκ τῶν καθ' ἡμέραν συμποσίων ἐπιπόλαιοι δριμύτητες. ταύταις οὖν ἐστὶ τῶν μὲν πόρων οἰκειότατος ὁ διὰ τῆς οὐρήσεως, τῶν δὲ καθάρσεων ἡ διὰ τῶν κωθωνισμῶν πρέπει μάλιστα. κατανίζεται γὰρ τὸ σῶμα τοῖς οἴνοις· ὑγρὸν γὰρ καὶ θερμὸν ὁ οἶνος. τὸ δὲ ἀφ' ἡμῶν διηθούμενον οὖρόν ἐστι δριμύ. τὰ γοῦν ἱμάτια τούτῳ χρώμενοι ῥύμματι πλύνουσιν οἱ γναφεῖς. b τρία δὲ παραφύλαττε ὅταν κωθωνίζῃ· μὴ πονηρὸν οἶνον πίνειν, μηδὲ ἄκρατον, μηδὲ τραγηματίζεσθαι ἐν τοῖς κωθωνισμοῖς. ὅταν δὲ ἱκανῶς ἔχῃς ἤδη, μὴ κοιμῶ πρὶν ἂν ἐμέσῃς πλέον ἢ ἔλαττον. εἶτα ἐὰν μὲν ἐμέσῃς ἱκανῶς, ἀναπαύου μικρὸν περιχεάμενος· ἐὰν δὲ μὴ δυνηθῇς ἱκανῶς κενῶσαι σαυτόν,

πλείονι χρῆσαι τῷ λουτρῷ καὶ εἰς τὴν πύελον κατακλίθητι σφόδρα εἰς θερμὸν ὕδωρ.᾽ Πολέμων δ᾽ ἐν
c πέμπτῳ τῶν πρὸς Ἀδαῖον καὶ Ἀντίγονόν φησι ῾Διόνυσος τέλειος, καθήμενος ἐπὶ πέτρας· ἐξ εὐωνύμων δ᾽ αὐτοῦ σάτυρος φαλακρός, ἐν τῇ δεξιᾷ κώθωνα μόνωτον ῥαβδωτὸν κρατῶν.᾽

68. ΛΑΒΡΩΝΙΑ. ἐκπώματος περσικοῦ εἶδος ἀπὸ τῆς ἐν τῷ πίνειν λαβρότητος ὠνομασμένον. πλατὺ δ᾽ ἐστὶ τῇ κατασκευῇ καὶ μέγα· ἔχει δὲ καὶ ὦτα μεγάλα. Μένανδρος Ἁλιεῖ

εὐποροῦμεν, οὐδὲ μετρίως· ἐκ Κυΐνδων χρυσίον,
d περσικαὶ στολαὶ δ᾽ ἐκεῖναι πορφυρᾶ τε στρώματα·
ἔνδον ἔστ᾽, ἄνδρες, ποτηρίδια . . τορεύματα,
κἀκτυπωμάτων πρόσωπα, τραγέλαφοι, λαβρώνια.

ἐν δὲ Φιλαδέλφοις

ἤδη δ᾽ ἐπίχυσις, διάλιθοι λαβρώνιοι,
Πέρσαι δ᾽ ἔχοντες μυιοσόβας ἑστήκεσαν.

Ἵππαρχος δ᾽ ἐν Θαΐδι

ὁ λαβρώνιος δ᾽ ἔσθ᾽ οὗτος ὄρνις; Β. Ἡράκλεις,
e ποτήριον χρυσοῦς διακοσίους ἄγον.
Α. ὢ περιβοήτου, φιλτάτη, λαβρωνίου.

Δίφιλος Τιθραύστῃ καὶ ἄλλα γένη καταλέγων ποτηρίων φησί

πρίστις τραγέλαφος βατιάκη λαβρώνιος.
Β. ἀνδραπόδι᾽ ἤδη ταῦθ᾽, ὁρᾷς; Α. ἥκιστά γε·
ἐκπωμάτων δ᾽ ὀνόματα, πρὸς τῆς Ἑστίας.
ὁ λαβρώνιος χρυσῶν δέ, παῖδες, εἴκοσιν.

f Δίδυμος δὲ ὅμοιον εἶναί φησιν αὐτὸν βομβυλιῷ ἢ βατιακίῳ.

69. ΛΑΚΑΙΝΑΙ. κυλίκων εἶδος οὕτως λεγόμενον

ἢ ἀπὸ τοῦ κεράμου, ὡς τὰ ἀττικὰ σκεύη, ἢ ἀπὸ τοῦ σχήματος ἐπιχωριάσαντος ἐκεῖ, ὥσπερ αἱ θηρίκλειαι λέγονται. Ἀριστοφάνης Δαιταλεῦσι

συβαρίτιδάς τ' εὐωχίας καὶ χῖον ἐκ λακαινᾶν.
[κυλίκων μέθυ ἡδέως καὶ φίλως.]

70. ΛΕΠΑΣΤΗ. οἱ μὲν ὀξύνουσι τὴν τελευταίαν ὡς καλή, οἱ δὲ παροξύνουσιν ὡς μεγάλη. τοῦτο δὲ τὸ ποτήριον ὠνομάσθη ἀπὸ τῶν εἰς τὰς μέθας καὶ 485 τὰς ἀσωτίας πολλὰ ἀναλισκόντων, οὓς λαφύκτας καλοῦμεν. κύλικες δ' ἦσαν μεγάλαι. Ἀριστοφάνης Εἰρήνῃ

τί δῆτ', ἐπειδὰν ἐκπίῃς οἴνου κύλικα λεπαστήν;

ἀφ' ἧς ἐστὶ λάψαι, τουτέστιν ἀθρόως πιεῖν, κατεναντίον τῷ λεγομένῳ βομβυλιῷ. φησὶ γάρ που ὁ αὐτός

τὸ δ' αἷμα λέλαφας τοὐμόν, ὦναξ δέσποτα.

οἷον ἄθρουν μ' ἐξέπιες. ἐν δὲ Γηρυτάδῃ 'ἦν δὲ τὸ πρᾶγμ' ἑορτή. περιέφερε δ' ἐν κύκλῳ λεπαστὴν ἡμῖν b ταχὺ προσφέρων παῖς ἐνέχει τε σφόδρα κυανοβενθῆ.' τὸ βάθος παρίστησιν ὁ κωμικὸς τοῦ ποτηρίου. Ἀντιφάνης δ' ἐν Ἀσκληπιῷ

τὴν δὲ γραῦν τὴν ἀσθενοῦσαν πάνυ πάλαι τὴν βρυτικήν,
ῥίζιον τρίψας τι μικρὸν δελεάσας τε γεννικῇ
τὸ μέγεθος κοίλῃ λεπαστῇ, τοῦτ' ἐποίησ' ἐκπιεῖν.

Φιλύλλιος Αὔγῃ

πάντα γὰρ ἦν
μέστ' ἀνδρῶν καὶ μειρακίων
πινόντων, ὁμοῦ δὲ λάλων
γραδίων, μεγάλαισιν οἴ-
νου χαίροντα λεπασταῖς.

Θεόπομπος Παμφίλῃ

c σπόγγος, λεκάνη, πτερόν, λεπαστὴ πάνυ πυκνή,
ἣν ἐκπιοῦσ᾽ ἄκρατον ἀγαθοῦ δαίμονος
τέττιξ κελαδεῖ.

καὶ ἐν Μήδῳ

ὥς ποτ᾽ ἐκήλησεν Καλλίστρατος υἷας Ἀχαιῶν
κέρμα φίλον διαδούς, ὅτε συμμαχίαν ἐρέεινεν·
οἷον δ᾽ οὐ κήλησε δέμας λεπτὸν Ῥαδάμανθυν
Λύσανδρον κώθωνι πρὶν αὐτῷ δῶκε λεπαστήν.

d Ἀμερίας δέ φησι τὴν οἰνοχόην λεπαστὴν καλεῖσθαι. Ἀριστοφάνης δὲ καὶ Ἀπολλόδωρος γένος εἶναι κύλικος. Φερεκράτης Κραπατάλοις 'τῶν θεατῶν δ᾽ ὅστις ἂν διψῇ, λεπαστὴν λαψάμενος μεστὴν ἐκχαρυβδίσαι.' Νίκανδρος δ᾽ ὁ Κολοφώνιός φησι Δόλοπας οὕτω καλεῖν τὴν κύλικα. Λυκόφρων δ᾽ ἐν τῷ ἐνάτῳ περὶ κωμῳδίας παραθέμενος τὸ Φερεκράτους καὶ αὐτὸς
e εἶναί φησι γένος κύλικος τὴν λεπαστήν. Μόσχος δ᾽ ἐν ἐξηγήσει ῥοδιακῶν λέξεων κεραμεοῦν ἀγγεῖόν φησιν αὐτὸ εἶναι, ἐοικὸς ταῖς λεγομέναις πτωματίσιν, ἐκπεταλώτερον δέ. Ἀρτεμίδωρος δὲ ὁ Ἀριστοφάνειος ποτήριον ποιόν. Ἀπολλοφάνης δὲ Κρησί

καὶ λεπαστά μ᾽ ἁδύοινος εὐφρανεῖ δι᾽ ἁμέρας.

Θεόπομπος Παμφίλῃ

λεπαστὴ μάλα συχνή,
f ἣν ἐκπιοῦσ᾽ ἄκρατον ἀγαθοῦ δαίμονος
περίστατον βοῶσα τὴν κώμην ποιεῖ.

Νίκανδρος δ᾽ ὁ Θυατειρηνὸς κύλιξ φησὶ μείζων, παρατιθέμενος Τηλεκλείδου ἐκ Πρυτάνεων

καὶ μελιχρὸν οἶνον εἷλκεν ἐξ ἡδύπνου λεπαστῆς.

486 Ἕρμιππος Μοίραις

ἢν ἐγὼ πάθω τι τήνδε τὴν λεπαστὴν ἐκπιών,
τῷ Διονύσῳ πάντα τἀμαυτοῦ δίδωμι χρήματα.

71. ΛΟΙΒΑΣΙΟΝ. κύλιξ, ὥς φησι Κλέαρχος καὶ

*Νίκανδρος ὁ Θυατειρηνός, ᾧ τὸ ἔλαιον ἐπισπένδουσι τοῖς ἱεροῖς· σπονδεῖον δὲ ᾧ τὸν οἶνον· καλεῖσθαι λέγων λοιβίδας καὶ τὰ σπονδεῖα ὑπὸ Ἀντιμάχου τοῦ Κολοφωνίου.*

ΛΕΣΒΙΟΝ. *ὅτι ποτηρίου εἶδος Ἡδύλος παρίστησιν ἐν ἐπιγράμμασιν οὑτωσὶ λέγων*

*ἡ διαπινομένη Καλλίστιον ἀνδράσι, θαῦμα,* b
*κοὐ ψευδές, νῆστις τρεῖς χόας ἐξέπιεν·*
*ἧς τόδε σοί, Παφίη, ζωροῖς μέτροισι θυῶεν*
*κεῖται πορφυρέης λέσβιον ἐξ ὑέλου.*
*ἣν σῴου πάντως· ὡς καὶ πάντων ἀπ' ἐκείνης*
*σοὶ τοῖχοι γλυκερῶν σῦλα φέρωσι πόθων.*

ΛΟΥΤΗΡΙΟΝ. *Ἐπιγένης Μνηματίῳ ἐν τῷ τῶν ποτηρίων καταλόγῳ φησί*

*κρατῆρες, κάδοι,*
*ὁλκεῖα, κρουνεῖ'. Β. ἔστι γὰρ κρουνεῖα; Α. ναί.* c
*λουτήρι'. ἀλλὰ τί καθ' ἕκαστα δεῖ λέγειν;*
*ὄψει γὰρ αὐτός.*

72. ΛΥΚΙΟΥΡΓΕΙΣ. *φιάλαι τινὲς οὕτω καλοῦνται ἀπὸ Λύκωνος τοῦ κατεσκευασμένου, ὡς καὶ κονώνειοι αἱ ὑπὸ Κόνωνος ποιηθεῖσαι. μνημονεύει [τοῦ Λύκωνος] Δημοσθένης ἐν τῷ περὶ τοῦ Στεφάνου, κἀν τῷ πρὸς Τιμόθεον ὑπὲρ χρέως, λέγων οὕτως ʽφιάλας λυκιουργεῖς δύο.' [ἐν δὲ τῷ πρὸς Τιμόθεον γράφει ʽδίδωσιν ἀποθεῖναι τῷ Φορμίωνι μετὰ τῶν χρημάτων καὶ ἄλλας φιάλας λυκιουργεῖς δύο.' Ἡρόδοτος δ' ἐν ἑβδόμῃ, προβόλους δύο λυκιουργέας, ὅτι ἀκόντιά ἐστι πρὸς λύκων θήραν ἐπιτήδεια, ἐν Λυκίᾳ εἰργασμένα.] ὅπερ ἐξηγούμενος Δίδυμος ὁ γραμματικὸς τὰς ὑπὸ Λυκίου φησὶ κατεσκευασμένας. ἦν δὲ οὗτος τὸ γένος Βοιώτιος ἐξ Ἐλευθερῶν, υἱὸς Μύρωνος τοῦ ἀνδριαντοποιοῦ, ὡς Πολέμων φησὶν ἐν* d

πρώτῳ περὶ ἀκροπόλεως. ἀγνοεῖ δ' ὁ γραμματικὸς ὅτι τὸν τοιοῦτον σχηματισμὸν ἀπὸ κυρίων ὀνομάτων οὐκ ἄν τις εὕροι γινόμενον ἀλλ' ἀπὸ πόλεων ἢ
e ἐθνῶν. Ἀριστοφάνης τε γὰρ ἐν Εἰρήνῃ φησί

τὸ δὲ πλοῖον ἔσται ναξιουργὴς κάνθαρος.

Κριτίας δ' ἐν τῇ Λακεδαιμονίων πολιτείᾳ 'κλίνη μιλησιουργὴς καὶ δίφρος μιλησιουργής. κλίνη χιουργὴς καὶ τράπεζα ῥηνειουργής.' Ἡρόδοτός τε ἐν τῇ ἑβδόμῃ φησὶ 'προβόλους δύο λυκοεργέας.' μήποτ' οὖν καὶ παρὰ τῷ Ἡροδότῳ, ὡς καὶ παρὰ τῷ Δημοσθένει, γραπτέον λυκιοεργέας, ἵν' ἀκούηται τὰ ἐν Λυκίᾳ εἰργασμένα.

73. ΜΕΛΗ. οὕτω καλεῖταί τινα ποτήρια, ὧν μνημονεύει Ἀνάξιππος ἐν Φρέατι λέγων οὕτως

f σὺ δὲ τὴν μέλην, Συρίσκε, ταυτηνὶ λαβὼν
ἔνεγκον ἐπὶ τὸ μνῆμ' ἐκείνης, μανθάνεις;
καὶ κατάχεον.

ΜΕΤΑΝΙΠΤΡΟΝ. ἡ μετὰ τὸ δεῖπνον, ἐπὴν ἀπονίψωνται, διδομένη κύλιξ. Ἀντιφάνης Λαμπάδι

δαίμονος
ἀγαθοῦ μετάνιπτρον, ἐντραγεῖν, σπονδή, κρότος.

487 Δίφιλος Σαπφοῖ

Ἀρχίλοχε, δέξαι τήνδε τὴν μετανιπτρίδα
μεστὴν Διὸς σωτῆρος ἀγαθοῦ δαίμονος.

ἔνιοι δὲ τὴν μετὰ τὸ νίψασθαι πόσιν, ὡς Σέλευκος ἐν Γλώσσαις. Καλλίας δ' ἐν Κύκλωψι

καὶ δέξαι τηνδὶ μετανιπτρίδα τῆς ὑγιείας.

Φιλέταιρος Ἀσκληπιῷ

ἐνέσεισε μεστὴν ἴσον ἴσῳ μετανιπτρίδα
μεγάλην, ὑπειπὼν τῆς ὑγιείας τοὔνομα.

Φιλόξενος δ' ὁ διθυραμβοποιὸς ἐν τῷ ἐπιγραφομένῳ

*Δείπνῳ μετὰ τὸ ἀπονίψασθαι τὰς χεῖρας προπίνων τινί φησι*

σὺ δὲ τάνδε βακχίαν b
εὔδροσον πλήρη μετανιπτρίδα δέξαι.
πραΰ τί τοι βρόμιος γάνος τόδε δοὺς ἐπὶ τέρψιν
πάντας ἄγει.

*Ἀντιφάνης Λαμπάδι*

τράπεζα, φυστή, μαινίς, ἀμία, δαίμονος
ἀγαθοῦ μετάνιπτρον.

*Νικόστρατος Ἀντερώσῃ*

μετανιπτρίδ᾽ αὐτῷ τῆς ὑγιείας ἔγχεον.

74. ΜΑΣΤΟΣ. *Ἀπολλόδωρος ὁ Κυρηναῖος, ὡς Πάμφιλός φησι, Παφίους τὸ ποτήριον οὕτως καλεῖν.*

ΜΑΘΑΛΙΔΕΣ. *Βλαῖσος ἐν Σατούρνῳ φησίν* c

ἑπτὰ μαθαλίδας
ἐπίχε᾽ ἁμῖν τῷ γλυκυτάτω.

*Πάμφιλος δέ φησι ʽμήποτε ἐκπώματός ἐστιν εἶδος, ἢ μέτρον οἷον κύαθος.᾽ Διόδωρος δὲ κύλικα ἀποδίδωσι.*

75. ΜΑΝΗΣ. *ποτηρίου εἶδος. Νίκων Κιθαρῳδῷ*

καὶ πάνυ τις εὐκαίρως ʽπροπίνω᾽ φησὶ ʽσοί
πατριῶτα.᾽ μάνην δ᾽ εἶχε κεραμεοῦν ἁδρόν,
χωροῦντα κοτύλας πέντ᾽ ἴσως. ἐδεξάμην.

*παρέθετο τὰ ἰαμβεῖα καὶ Δίδυμος καὶ Πάμφιλος. καλεῖται δὲ μάνης καὶ τὸ ἐπὶ τοῦ κοττάβου ἐφεστηκός,* d *ἐφ᾽ οὗ τὰς λάταγας ἐν παιδιᾷ ἔπεμπον· ὅπερ ὁ Σοφοκλῆς ἐν Σαλμωνεῖ χάλκειον ἔφη κάρα λέγων οὕτως*

τάδ᾽ ἐστὶ κνισμὸς καὶ φιλημάτων ψόφος,
τῷ καλλικοσσαβοῦντι νικητήρια
τίθημι καὶ βαλόντι χάλκειον κάρα.

*Ἀντιφάνης Ἀφροδίτης γοναῖς*

ἐγὼ ᾽πιδείξω καθ᾽ ὅν. ὃς ἂν τὸν κότταβον

ἀφεὶς ἐπὶ τὴν πλάστιγγα ποιήσῃ πεσεῖν
Β. πλάστιγγα ποίαν; Α. τοῦτο τοὐπικείμενον
e ἄνω τὸ μικρόν. Β. τὸ πινακίσκιον λέγεις;
Α. τοῦτ' ἐστὶ πλάστιγξ. οὗτος ὁ κρατῶν γίγνεται.
Β. πῶς δ' εἴσεταί τις τοῦτ'; Α. ἐὰν θίγῃ μόνον
αὐτῆς, ἐπὶ τὸν μάνην πεσεῖται καὶ ψόφος
ἔσται πάνυ πολύς. Β. πρὸς θεῶν, τῷ κοττάβῳ
πρόσεστι καὶ μάνης τις ὥσπερ οἰκέτης;

Ἕρμιππος Μοίραις

ῥάβδον δ' ὄψει (φησὶ) τὴν κοτταβικὴν
ἐν τοῖς ἀχύροισι κυλινδομένην,
μάνης δ' οὐδὲν λατάγων ἀίει·
τὴν δὲ τάλαιναν πλάστιγγ' ἂν ἴδοις
f παρὰ τὸν στροφέα τῆς κηπαίας
ἐν τοῖσι κορήμασιν οὖσαν.

76. ΝΕΣΤΟΡΙΣ. περὶ τῆς ἰδέας τοῦ Νέστορος ποτηρίου φησὶν ὁ ποιητής

πὰρ δὲ δέπας περικαλλές, ὃ οἴκοθεν ἦγ' ὁ γεραιός,
χρυσείοις ἥλοισι πεπαρμένον· οὔατα δ' αὐτοῦ
τέσσαρ' ἔσαν, δοιαὶ δὲ πελειάδες ἀμφὶς ἕκαστον
χρύσειαι νεμέθοντο· δύω δ' ὑπὸ πυθμένες ἦσαν.
488 ἄλλος μὲν μογέων ἀποκινήσασκε τραπέζης
πλεῖον ἐόν· Νέστωρ δ' ὁ γέρων ἀμογητὶ ἄειρεν.

ἐν τούτοις ζητεῖται πρῶτον μὲν τί ποτ' ἐστὶ τὸ χρυσείοις ἥλοισι πεπαρμένον, ἔπειτα τί τὸ οὔατα δ' αὐτοῦ τέσσαρ' ἔσαν. τὰ γὰρ ἄλλα ποτήρια φησὶν ὁ Μυρλεανὸς Ἀσκληπιάδης ἐν τῷ περὶ τῆς νεστορίδος δύο ὦτα ἔχειν. πελειάδας δὲ πῶς ἄν τις ὑπόθοιτο νεμομένας περὶ ἕκαστον τῶν ὤτων; πῶς δὲ καὶ λέγει δύο πυθμένας εἶναι τοῦ ποτηρίου; ἰδίως δὲ καὶ τοῦτο
b λέγεται ὅτι οἱ μὲν ἄλλοι μογοῦντες ἐβάσταζον τὸ πο-

τήριον, Νέστωρ δ' ὁ γέρων ἀμογητὶ ἄειρεν. ταῦτα προθέμενος ὁ Ἀσκληπιάδης ζητεῖ περὶ τῶν ἥλων, πῶς πεπαρμένους αὐτοὺς δεῖ δέχεσθαι. οἱ μὲν οὖν λέγουσιν ἔξωθεν δεῖν ἐμπείρεσθαι τοὺς χρυσοῦς ἥλους τῷ ἀργυρῷ ἐκπώματι κατὰ τὸν τῆς ἐμπαιστικῆς τέχνης [τρόπον], ὡς καὶ ἐπὶ τοῦ Ἀχιλλέως σκήπτρου

ὣς φάτο χωόμενος, ποτὶ δὲ σκῆπτρον βάλε γαίῃ,
χρυσείοις ἥλοισι πεπαρμένον.

ἐμφαίνεται γὰρ ὡς τῶν ἥλων ἐμπεπερονημένων, καθάπερ ἐπὶ τῶν ῥοπάλων. καὶ ἐπὶ τοῦ ξίφους τοῦ c
Ἀγαμέμνονος

ἀμφὶ δ' ἄρ' ὤμοισιν βάλετο ξίφος· ἐν δέ οἱ ἧλοι
χρύσειοι πάμφαινον· ἀτὰρ περὶ κουλεὸν ἦεν
ἀργύρεον.

Ἀπελλῆς μὲν οὖν ὁ τορευτὴς ἐπεδείκνυε, φησίν, ἡμῖν ἔν τισι κορινθιακοῖς ἔργοις τὴν τῶν ἥλων θέσιν. ἐξοχὴ δ' ἦν ὀλίγη τοῖς κολαπτῆρσιν ἐπηρμένη καὶ οἱονεὶ κεφαλίδας ἥλων ἀποτελοῦσα. πεπάρθαι δὲ λέγεται τοὺς ἥλους ὑπὸ τοῦ ποιητοῦ, οὐχ ὅτι ἔξωθεν πρόσκεινται καὶ πεπαρμένοι εἰσίν, ἀλλ' ὅτι ἐμπεπαρμένοις ἐοίκασιν, ἔξω τε ὀλίγῳ προὔχουσι, μετέωροι d
τῆς ἄλλης ἐπιφανείας ὄντες.

77. καὶ περὶ τῶν ὤτων οὕτως διορίζονται, ὅτι εἶχε μὲν δύο ὦτα ἄνω, καθότι καὶ τἆλλα ποτήρια, ἄλλα δὲ δύο κατὰ τὸ κύρτωμα μέσον ἐξ ἀμφοῖν τοῖν μεροῖν μικρά, παρόμοια ταῖς κορινθιακαῖς ὑδρίαις. ὁ δὲ Ἀπελλῆς ἐντέχνως ἄγαν ὑπέδειξε τὴν τῶν τεσσάρων ὤτων σχέσιν ἔχουσαν ὧδε. ἐκ μιᾶς οἱονεὶ ῥίζης, ἥτις τῷ πυθμένι προσκυρεῖ, καθ' ἑκάτερον τὸ οὖς διασχιδεῖς εἰσὶ ῥάβδοι ἐπ' ἀμφοῖν, οὐ πολὺ ἀπ' ἀλλήλων διεστῶσαι διάστημα. αὗται μέχρι τοῦ e
χείλους διήκουσαι τοῦ ποτηρίου, καὶ μικρὸν ἔτι μετ-

εωριζόμεναι, κατὰ μὲν τὴν ἀπόστασιν τοῦ ἀγγείου
φυλάττουσι τὴν διάσχισιν, κατὰ δὲ τὸ ἀπολῆγον πρὸς
τὴν τοῦ χείλους ἔρεισιν πάλιν συμφυεῖς. καὶ γίνεται
τὸν τρόπον τοῦτον τέτταρα ὦτα. τοῦτο δὲ οὐκ ἐπὶ
πάντων, ἀλλ' ἐπ' ἐνίων ποτηρίων τὸ εἶδος τῆς κατα-
σκευῆς θεωρεῖται, μάλιστα δὲ τῶν λεγομένων σελευ-
κίδων. τὸ δὲ περὶ τῶν δυοῖν πυθμένοιν ζητούμενον,
f πῶς λέγεται τὸ δύω δ' ὑπὸ πυθμένες ἦσαν, διαλύ-
ουσιν οὕτως τινές. τῶν ποτηρίων τινὰ μὲν ἕνα πυθ-
μένα ἔχειν τὸν φυσικὸν καὶ συγκεχαλκευμένον τῷ
ὅλῳ ποτηρίῳ, καθότι τὰ λεγόμενα κυμβία καὶ τὰς
φιάλας καὶ εἴ τι φιαλῶδές ἐστι τὴν ἰδέαν· τινὰ δὲ
δύο, ὥσπερ τὰ ᾠοσκύφια καὶ τὰ κανθάρια καὶ τὰς
σελευκίδας καὶ καρχήσια καὶ τὰ τούτοις ὅμοια· ἕνα
μὲν γὰρ εἶναι πυθμένα τὸν κατὰ τὸ κύτος συγκε-
χαλκευμένον ὅλῳ τῷ ἀγγείῳ, ἕτερον δὲ τὸν προσθε-
τόν, ἀπὸ ὀξέος ἀρχόμενον, καταλήγοντα δ' εἰς πλα-
489 τύτερον, ἐφ' οὗ ἵσταται τὸ ποτήριον. καὶ τὸ τοῦ
Νέστορος οὖν δέπας φασὶν εἶναι τοιοῦτον. δύναται
δὲ καὶ δύο πυθμένας ὑποτίθεσθαι, τὸν μὲν οἷον τοῦ
ποτηρίου φέροντα τὸν ὅλον ὄγκον, καὶ κατὰ μείζονα
κυκλοειδῆ περιγραφὴν ἔξαρσιν ἔχοντα τοῦ ὕψους
σύμμετρον, τὸν δὲ κατ' ἐλάττω κύκλον συνεχόμενον
ἐν κύκλῳ μείζονι, καθ' ὅσον συννεύειν συμβέβηκεν
εἰς ὀξὺ τὸν φυσικὸν τοῦ ποτηρίου πυθμένα, ὥστε
ὑπὸ δυοῖν πυθμένοιν φέρεσθαι τὸ ἔκπωμα. Διονύ-
σιος δὲ ὁ Θρᾷξ ἐν Ῥόδῳ λέγεται τὴν νεστορίδα κατα-
σκευάσαι τῶν μαθητῶν αὐτῷ συνενεγκάντων τἀρ-
b γύριον. ὅπερ Προμαθίδας ὁ Ἡρακλεώτης, ἐξηγού-
μενος τὴν κατὰ τὸν Διονύσιον διάταξιν, φησὶ σκύφον
εἶναι παρακειμένως ἔχοντα τὰ ὦτα καθάπερ αἱ δί-
πρῳροι τῶν νεῶν, περὶ δὲ τὰ ὦτα τὰς περιστεράς·

ὡσπερεὶ δέ τινα ῥοπάλια δύο ὑποκεῖσθαι τῷ ποτηρίῳ πλάγια διὰ μήκους· ταῦτα δ' εἶναι τοὺς δύο πυθμένας. ὁποῖόν τι καὶ νῦν ἔστιν ἰδεῖν ἐν Καπύῃ πόλει τῆς Καμπανίας ἀνακείμενον τῇ Ἀρτέμιδι ποτήριον, ὅπερ λέγουσιν ἐκεῖνοι Νέστορος γεγονέναι· ἔστι δὲ c ἀργύρεον χρυσοῖς γράμμασιν ἐντετυπωμένα ἔχον τὰ Ὁμηρικὰ ἔπη.

78. 'ἐγὼ δὲ (φησὶν ὁ Μυρλεανὸς) τάδε λέγω περὶ τοῦ ποτηρίου. οἱ παλαιοὶ καὶ τὰ περὶ τὴν ἥμερον τροφὴν πρῶτοι διαταξάμενοι τοῖς ἀνθρώποις, πειθόμενοι τὸν κόσμον εἶναι σφαιροειδῆ, λαμβάνοντες ἔκ τε τοῦ ἡλίου καὶ τῆς σελήνης σχήματος ἐναργεῖς τὰς φαντασίας, καὶ τὰ περὶ τὴν ἀίδιον τροφὴν τῷ περιέχοντι κατὰ τὴν ἰδέαν τοῦ σχήματος ἀφομοιοῦν εἶναι δίκαιον ἐνόμιζον. διὸ τὴν τράπεζαν κυκλοειδῆ κατεσκευάσαντο, καὶ τοὺς τρίποδας τοὺς τοῖς θεοῖς καθαγιζομένους, φθόεις κυκλοτερεῖς καὶ ἀστέρας ἔχοντας, d οὓς καὶ καλοῦσι σελήνας. καὶ τὸν ἄρτον δὲ ἐκάλεσαν, ὅτι τῶν σχημάτων ὁ κύκλος ἀπήρτισται καὶ ἔστι τέλειος. καὶ τὸ ποτήριον οὖν τὸ δεχόμενον τὴν ὑγρὰν τροφὴν κυκλοτερὲς ἐποίησαν κατὰ μίμημα τοῦ κόσμου. τὸ δὲ τοῦ Νέστορος καὶ ἰδιαίτερόν ἐστιν. ἔχει γὰρ καὶ ἀστέρας, οὓς ἥλοις ὁ ποιητὴς ἀπεικάζει, διὰ τὸ τοὺς ἀστέρας περιφερεῖς εἶναι τοῖς ἥλοις ὁμοίως, καὶ ὡς ἐμπεπηγέναι τῷ οὐρανῷ. καθὼς καὶ Ἄρατός φησιν ἐπ' αὐτῶν

οὐρανῷ αἰὲν ἄρηρεν ἀγάλματα νυκτὸς ἰούσης. e

περιττῶς δὲ καὶ τοῦτ' ἔφρασεν ὁ ποιητής, τοὺς χρυσοῦς ἥλους παρατιθεὶς τῇ τοῦ ἀργυροῦ ἐκπώματος φύσει, τὴν τῶν ἀστέρων καὶ τοῦ οὐρανοῦ ἐκτυπῶν κατὰ τὴν ἰδέαν τῆς χρόας οὐσίαν. ὁ μὲν γὰρ οὐρανὸς

ἀργύρῳ προσέοικεν, οἱ δὲ ἀστέρες χρυσῷ, διὰ τὸ πυρῶδες.’

79. ‘ὑποθέμενος οὖν κατηστερισμένον τὸ τοῦ Νέστορος ποτήριον μεταβαίνει καὶ ἐπὶ τὰ κράτιστα τῶν ἀπλανῶν ἀστέρων, οἷς δὴ τεκμαίρονται τὰ περὶ τὴν ζωὴν ἄνθρωποι· λέγω δὲ τὰς πελειάδας. ὅταν γὰρ εἴπῃ ‘δύω δὲ πελειάδες ἀμφὶς ἕκαστον χρύσειαι νεμέθοντο,’ πελειάδας οὐ σημαίνει τὰς ὄρνιθας, ὥς τινες ὑπονοοῦσι περιστερὰς εἶναι, ἁμαρτάνοντες. ἕτερον γάρ φησιν εἶναι Ἀριστοτέλης πελειάδα καὶ ἕτερον περιστεράν. πελειάδας δὲ ὁ ποιητὴς καλεῖ νῦν τὰς πλειάδας, πρὸς ἃς σπόρος τε καὶ ἄμητος καὶ τῶν καρπῶν ἀρχὴ γενέσεως καὶ συναίρεσις, καθά φησι καὶ Ἡσίοδος

Πληιάδων ἀτλαγενέων ἐπιτελλομενάων
490 ἄρχεσθ’ ἀμήτου, ἀρότοιο δὲ δυσομενάων.

καὶ Ἄρατος

αἱ μὲν ὁμῶς ὀλίγαι καὶ ἀφεγγέες, ἀλλ’ ὀνομασταὶ
ἦρι καὶ ἑσπέριαι, Ζεὺς δ’ αἴτιος, εἱλίσσονται·
ὅς σφισι καὶ θέρεος καὶ χείματος ἀρχομένοιο,
σημαίνειν ἐπένευσεν, ἐπερχομένου τ’ ἀρότοιο.

τὰς οὖν τῆς τῶν καρπῶν γενέσεως καὶ τελειώσεως προσημαντικὰς πλειάδας οἰκείως ἐνετόρευσε τῷ τοῦ σοφωτάτου Νέστορος ὁ ποιητὴς ποτηρίῳ· καὶ γὰρ
b τοῦτο τῆς ἑτέρας τροφῆς δεκτικὸν ἀγγεῖον. διὸ καὶ τῷ Διὶ τὴν ἀμβροσίαν τὰς πελειάδας φέρειν φησί

τῇ μέν τ’ οὐδὲ ποτητὰ παρέρχεται οὐδὲ πέλειαι
τρήρωνες, ταί τ’ ἀμβροσίην Διὶ πατρὶ φέρουσι.

οὐ γὰρ τὰς πελειάδας τὰς ὄρνεις φέρειν τῷ Διὶ νομιστέον τὴν ἀμβροσίαν, ὡς οἱ πολλοὶ δοξάζουσιν· ἄσεμνον γάρ· ἀλλὰ τὰς πλειάδας. οἰκεῖον γὰρ τὰς προσημαινούσας τῷ τῶν ἀνθρώπων γένει τὰς ὥρας,

ταύτας καὶ τῷ Διὶ φέρειν τὴν ἀμβροσίαν. διόπερ ἀπὸ τῶν πτηνῶν αὐτὰς χωρίζει λέγων

τῇ μέν τ' οὐδὲ ποτητὰ παρέρχεται οὐδὲ πέλειαι. c

ὅτι δὲ τὰς πλειάδας τῶν ἐνδοξοτάτων καὶ ἀπλανῶν ἄστρων ὑπείληφε δῆλον ἐκ τοῦ προτάττειν αὐτὰς κατὰ τὴν ἄλλων συναρίθμησιν

ἐν δὲ τὰ τείρεα πάντα, τά τ' οὐρανὸς ἐστεφάνωται,
πληιάδας θ' ὑάδας τε τό τε σθένος Ὠρίωνος,
ἄρκτον θ', ἣν καὶ ἅμαξαν ἐπίκλησιν καλέουσιν.

ἐπλανήθησαν δ' οἱ πολλοὶ νομίζοντες τὰς πλειάδας d ὄρνεις εἶναι, πρῶτον μὲν ἐκ τοῦ ποιητικοῦ σχηματισμοῦ τοῦ κατὰ τὴν πρόσθεσιν τοῦ γράμματος· ἔπειτα δ' ὅτι τὸ τρήρωνες μόνον ἐδέξαντο εἶναι ἐπίθετον πελειάδων· ἐπεὶ διὰ τὴν ἀσθένειαν εὐλαβὴς ἡ ὄρνις αὕτη· τρεῖν δ' ἐστὶ τὸ εὐλαβεῖσθαι. πιθανὸν δέ ἐστι τὸ ἐπίθετον καὶ ἐπὶ τῶν πλειάδων τιθέμενον. μυθεύονται γὰρ καὶ αὗται τὸν Ὠρίωνα φεύγειν, διωκομένης τῆς μητρὸς αὐτῶν Πληιόνης ὑπὸ τοῦ Ὠρίωνος.'

80. 'ἡ δὲ τοῦ ὀνόματος ἐκτροπή, καθ' ἣν αἱ e πλειάδες λέγονται πέλειαι καὶ πελειάδες, παρὰ πολλοῖς ἔστι τῶν ποιητῶν. πρώτη δὲ Μοιρὼ ἡ Βυζαντία καλῶς ἐδέξατο τὸν νοῦν τῶν Ὁμήρου ποιημάτων ἐν τῇ Μνημοσύνῃ ἐπιγραφομένῃ φάσκουσα τὴν ἀμβροσίαν τῷ Διὶ τὰς πλειάδας κομίζειν. Κράτης δὲ ὁ κριτικὸς σφετερισάμενος αὐτῆς τὴν δόξαν ὡς ἴδιον ἐκφέρει τὸν λόγον. καὶ Σιμωνίδης δὲ τὰς πλειάδας πελειάδας εἴρηκεν ἐν τούτοις f

δίδωτι δ' εὖτε σ' Ἑρμᾶς ἐναγώνιος,
Μαίας εὐπλοκάμοιο παῖς, ἔτικτε δ' Ἄτλας
ἑπτὰ ἰοπλοκάμων φιλᾶν θυγατρῶν

τὰν ἔξοχον εἶδος, αἳ καλέονται
πελειάδες οὐράνιαι.

σαφῶς γὰρ τὰς πλειάδας, οὔσας Ἄτλαντος θυγατέρας, πελειάδας καλεῖ, καθάπερ καὶ Πίνδαρος

ἔστι δ᾽ ἐοικὸς
ὀρειᾶν γε Πελειάδων
μὴ τηλόθεν Ὀαρίωνα νεῖσθαι.

σύνεγγυς γάρ ἐστιν ὁ Ὠρίων τῇ ἀστροθεσίᾳ τῶν πλειάδων· διὸ καὶ ὁ περὶ ταύτας μῦθος ὅτι φεύγουσι μετὰ τῆς μητρὸς τῆς Πληιόνης τὸν Ὠρίωνα. ὀρείας δὲ λέγει τὰς Πλειάδας ἐν ἴσῳ τῷ οὐρείας, κατὰ παρά-
491 λειψιν τοῦ ῡ, ἐπειδὴ κεῖνται ἐπὶ τῆς οὐρᾶς τοῦ ταύρου. καὶ Αἰσχύλος δ᾽ ἐκφανέστερον προσπαίζων τῷ ὀνόματι κατὰ τὴν ὁμοφωνίαν

αἱ δ᾽ ἑπτ᾽ Ἄτλαντος παῖδες ὠνομασμέναι
πατρὸς μέγιστον ᾱθλον οὐρανοστεγῆ
κλαίεσκον, ἔνθα νυκτέρων φαντασμάτων
ἔχουσι μορφὰς ἄπτεροι πελειάδες.

ἀπτέρους γὰρ αὐτὰς εἴρηκε διὰ τὴν πρὸς τὰς ὄρνεις ὁμωνυμίαν. ἡ δὲ Μοιρὼ καὶ αὐτὴ τὸν τρόπον τοῦτόν φησι

Ζεὺς δ᾽ ἄρ᾽ ἐνὶ Κρήτῃ τρέφετο μέγας, οὐδ᾽
b ἄρα τίς νιν
ἠείδει μακάρων· ὃ δ᾽ ἀέξετο πᾶσι μέλεσσιν.
τὸν μὲν ἄρα τρήρωνες ὑπὸ ζαθέῳ τράφον ἄντρῳ,
ἀμβροσίην φορέουσαι ἀπ᾽ ὠκεανοῖο ῥοάων·
νέκταρ δ᾽ ἐκ πέτρης μέγας αἰετὸς αἰὲν ἀφύσσων
γαμφηλῇς φορέεσκε ποτὸν Διὶ μητιόεντι.
τὸν καὶ νικήσας πατέρα Κρόνον εὐρύοπα Ζεὺς
ἀθάνατον ποίησε καὶ οὐρανῷ ἐγκατένασσεν.
ὣς δ᾽ αὔτως τρήρωσι πελειάσιν ὤπασε τιμήν,
c αἳ δή τοι θέρεος καὶ χείματος ἄγγελοι εἰσίν.

*καὶ Σιμμίας δ' ἐν τῇ Γοργοῖ φησίν*

*αἰθέρος ὠκεῖαι πρόπολοι πίλναντο πέλειαι.*

*Ποσείδιππός τ' ἐν τῇ Ἀσωπίᾳ*

*οὐδέ τοι ἀκρόνυχοι ψυχραὶ δύνουσι πέλειαι.*

*Λαμπροκλῆς δ' ὁ διθυραμβοποιὸς καὶ ῥητῶς αὐτὰς
εἶπεν ὁμωνυμεῖν ταῖς περιστεραῖς ἐν τούτοις 'αἵ τε
ποταναῖς ὁμώνυμοι πελειάσιν αἰθέρι νεῖσθε.' καὶ ὁ
τὴν εἰς Ἡσίοδον δὲ ἀναφερομένην ποιήσας Ἀστρονο-
μίαν ἀεὶ πελειάδας αὐτὰς λέγει 'τάσδε βροτοὶ καλέ-* d
*ουσι πελειάδας.' καὶ πάλιν 'χειμέριαι δύνουσι πε-
λειάδες.' καὶ πάλιν 'τῆμος ἀποκρύπτουσι πελειάδες.'
οὐδὲν οὖν ἄπιστον καὶ Ὅμηρον τὰς πλειάδας κατὰ
ποιητικὸν νόμον πελειάδας ὠνομακέναι.'*

81. *'ἀποδεδειγμένου οὖν τοῦ ὅτι πλειάδες ἦσαν
ἐντετορευμέναι τῷ ποτηρίῳ, καθ' ἕκαστον τῶν ὤτων
δύο ὑποθετέον, εἴτε βούλεταί τις ὀρνιθοφυεῖς κόρας
εἴτ' αὖ καὶ ἀνθρωποειδεῖς, ἄστροις δὲ πεποικιλμένας.
τὸ μέντοι 'ἀμφὶς ἕκαστον χρύσειαι νεμέθοντο' οὐχ* e
*ὡς περὶ ἓν ἕκαστον ἀκουστέον· γενήσονται γὰρ οὕ-
τως ὀκτὼ τὸν ἀριθμόν· ἀλλ' ἐπείπερ ἔσχισται μὲν
ἑκάτερον τῶν ὤτων εἰς δύο σχίσεις, τούτων δ' αὖ
συνάφεια κατὰ τὴν τελευταίαν ὑπόληξιν· ἕκαστον
μὲν ἂν λέγοιτο καθὸ τέτταρες αἱ πᾶσαι σχίσεις τῶν
ὤτων, ἑκάτερον δὲ καθὸ συμφυῆ πάλιν ἐπὶ τέλει γί-
νεται τῆς ἀνατάσεως αὐτῶν. ὅταν οὖν εἴπῃ*

*δοιαὶ δὲ πελειάδες ἀμφὶς ἕκαστον
χρύσειαι νεμέθοντο, δύω δ' ὕπο πυθμένες
ἦσαν·*

*καθ' ἑκατέραν τὴν σχίσιν τῶν ὤτων ἀκουσόμεθα* f
*μίαν πελειάδα· ἃς δοιὰς εἶπε καθὸ συμφυεῖς εἰσὶν
ἀλλήλαις καὶ συνεξευγμέναι. τὸ γὰρ δοιοὶ καὶ δοιαὶ
σημαίνει καὶ τὸ κατ' ἀριθμὸν εἶδος, τὸ δύο, οἷον*

δοιοὺς δὲ τρίποδας, δέκα δὲ χρυσοῖο τάλαντα.

καὶ δοιὼ θεράποντε. σημαίνει δὲ καὶ τὸ συμφυὲς καὶ τὸ συνεξευγμένον κατ' ἀριθμόν, ὡς ἐν τούτοις

δοιοὺς δ' ἄρ' ὑπήλυθε θάμνους
ἐξ ὁμόθεν πεφυῶτας, ὃ μὲν φυλίης ὃ δ' ἐλαίης.

492 γενήσονται οὖν ἐπὶ τῶν ὤτων τέσσαρες πελειάδες.'

82. 'ἔπειθ' ὅταν ἐπενέγκῃ τό

δοιαὶ δὲ πελειάδες ἀμφὶς ἕκαστον
χρύσειαι νεμέθοντο, δύω δ' ὑποπυθμένες ἦσαν·

ἀκουστέον οὐ πυθμένας δύο, ἀλλ' οὐδὲ κατὰ διαίρεσιν ἀναγνωστέον, ὡς ὁ Θρᾷξ Διονύσιος, ἀλλὰ κατὰ σύνθετον ὑποπυθμένες, ὅπως ἐπὶ τῶν πελειάδων ἀκούωμεν· ὅτι τέσσαρες μὲν ἦσαν ἐπὶ τῶν ὤτων, δύο δ' ὑποπυθμένες, τουτέστιν ὑπὸ τῷ πυθμένι, οἷον ὑποπυθμένιοι· ὥστε διακρατεῖσθαι τὸ δέπας ὑπὸ
b δυοῖν πελειάδων ὑποκειμένων τῷ πυθμένι, ἓξ δὲ τὰς πάσας γενέσθαι πλειάδας, ἐπείπερ ὁρῶνται τοσαῦται, λέγονται δὲ ἑπτά, καθότι καὶ Ἄρατός φησιν

ἑπτάποροι δὴ ταί γε μετ' ἀνθρώποις καλέονται,
ἓξ οἶαί περ ἐοῦσαι ἐπόψιαι ὀφθαλμοῖσιν.
οὐ μέν πως ἀπόλωλεν ἀπευθὴς ἐκ Διὸς ἀστήρ,
ἐξ οὗ καὶ γενεῆθεν ἀκούομεν, ἀλλὰ μάλ' αὔτως
εἴρεται. ἑπτὰ δ' ἐκεῖναι ἐπιρρήδην καλέονται.
c ἓξ οἶαί περ ἐοῦσαι ἐπόψιαι ὀφθαλμοῖσιν.

τὸ ὁρώμενον οὖν ἐν τοῖς ἄστροις καὶ ἐν τῇ φαινομένῃ κατασκευῇ προσηκόντως ἐτόρευσεν. τοῦτο μέντοι καὶ ἐπὶ τοῦ Διὸς σημαίνειν πείθονται τὸν ποιητήν, ὅταν λέγῃ

τῇ μέν τ' οὐδὲ ποτητὰ παρέρχεται οὐδὲ πέλειαι
τρήρωνες, ταί τ' ἀμβροσίην Διὶ πατρὶ φέρουσιν.
ἀλλά τε καὶ τῶν αἰεὶ ἀφαιρεῖται λὶς πέτρη·
ἀλλ' ἄλλην ἐνίησι πατὴρ ἐναρίθμιον εἶναι.

d ὑπὸ τῆς ὀξύτητος τῶν πλαγκτῶν πετρῶν καὶ τῆς

λειότητος ἀφαιρεῖσθαι λέγων μίαν τῶν πλειάδων, ἄλλην δὲ πρὸς τοῦ Διὸς ἐνίεσθαι χάριν τοῦ σώζειν τὸν ἀριθμὸν αὐτῶν· ποιητικῶς αἰνιττόμενος ὅτι τῶν πλειάδων ἓξ ὁρωμένων, ὅμως ὁ ἀριθμὸς αὐτῶν οὐκ ἀπόλλυται, λέγονται δὲ καὶ τῷ ἀριθμῷ καὶ τοῖς ὀνόμασιν ἑπτά.'

83. 'πρὸς δὲ τοὺς λέγοντας οὐκ οἰκείως τῷ ποτηρίῳ ἐντετυπῶσθαι τὰς πλειάδας ξηρῶν τροφῶν οὔσας σημαντικάς, λεκτέον ὅτι τὸ δέπας ἀμφοτέρων τῶν τροφῶν ἐστὶ δεκτικόν. κυκεὼν γὰρ ἐν αὐτῷ e γίνεται· τοῦτο δ' ἐστὶ πόσις ἐν τῷ κράματι τυρὸν ἔχουσα καὶ ἄλφιτον· ἄμφω δὲ ταῦτα κυκώμενα καὶ οὕτω πινόμενα λέγει ὁ ποιητής

τοῖσι δὲ τεῦχε κυκειῶ ἐϋπλόκαμος Ἑκαμήδη·
ἣ σφῶιν πρῶτον μὲν ἐπιπροΐηλε τράπεζαν,
καλήν, κυανόπεζαν, ἐΰξοον· αὐτὰρ ἐπ' αὐτῆς
χάλκειον κάνεον· ἐπὶ δὲ κρόμυον ποτῷ ὄψον,
ἠδὲ μέλι χλωρόν, παρὰ δ' ἀλφίτου ἱεροῦ ἀκτήν.
πὰρ δὲ δέπας περικαλλές, ὃ οἴκοθεν ἦγ' ὁ γεραιός, f
ἐν τῷ ῥά σφι κύκησε γυνὴ εἰκυῖα θεῇσιν
οἴνῳ πραμνείῳ, ἐπὶ δ' αἴγειον κνῆ τυρὸν
κνήστι χαλκείῃ, ἐπὶ δ' ἄλφιτα λευκὰ πάλυνε·
πινέμεναι δ' ἐκέλευεν, ἐπεί ῥ' ὥπλισσε κυκειῶ.'

84. 'τὸ δέ

ἄλλος μὲν μογέων ἀποκινήσασκε τραπέζης
πλεῖον ἐόν, Νέστωρ δ' ὁ γέρων ἀμογητὶ ἄειρεν, 493

οὐκ ἀκουστέον ἐπὶ μόνων Μαχάονος καὶ Νέστορος, ὡς οἴονταί τινες, τὸ ὃς ἀντὶ τοῦ ὁ λαμβάνοντες ἐπὶ τοῦ Μαχάονος, λέγοντες

ἀλλ' ὃς μὲν μογέων ἀποκινήσασκε τραπέζης,

ἐκ τοῦ μογέων δηλοῦσθαι νομίζοντες, ἐπειδὴ τέτρωται.

ὅτι δὲ καθ᾽ Ὅμηρον ὁ Μαχάων οὐ τέτρωται ἐν ἄλλοις δειχθήσεται. ἀγνοοῦσι δὲ ὅτι τὸ ἄλλος Ὅμηρος οὐκ ἐπὶ μόνων Μαχάονος καὶ Νέστορος ἔθηκε, δύο
b γὰρ οὗτοι πίνουσιν, ἀλλ᾽ εἶπεν ἂν ἕτερος. τοῦτο γὰρ ἐπὶ δύο τάσσεσθαι πέφυκεν, ὡς καὶ ἐπὶ τούτων

οἴσετε δ᾽ ἄρν᾽ ἕτερον λευκόν, ἑτέρην δὲ μέλαιναν.

ἔπειτα δὲ τὸ ὃς ἀντὶ προτακτικοῦ τοῦ ὁ Ὅμηρος οὐδέποτε τίθησι· τοὔμπαλιν δὲ ἀντὶ τοῦ ὃς ὑποτακτικοῦ παραλαμβάνει τὸ προτακτικὸν ὁ, οἷον

ἔνθα δὲ Σίσυφος ἔσκεν, ὁ κέρδιστος γένετ᾽ ἀνδρῶν.

ἐλλείπει οὖν τὸ τὶς μόριον. τὸ γὰρ πλῆρές ἐστιν, ἄλ-
c λος μέν τις μογέων ἀποκινήσασκε τραπέζης, πλεῖον ἐόν, Νέστωρ δ᾽ ὁ γέρων ἀμογητὶ ἄειρεν, ὡς παντὸς ἀνθρώπου μόλις ἂν ἀποκινήσοντος ἀπὸ τῆς τραπέζης τὸ ποτήριον, τοῦ δὲ Νέστορος αὐτὸ ῥαδίως βαστάζοντος δίχα πόνου καὶ κακοπαθείας. τὸ γὰρ ποτήριον ὑφίσταται μέγα καὶ κατὰ τὸ κύτος καὶ βαρὺ τὴν ὁλκήν· ὅπερ φιλοπότης ὢν ὁ Νέστωρ ἐκ τῆς συνεχοῦς συνηθείας βαστάζειν ἔσθενε.᾽

85. Σωσίβιος δὲ ὁ λυτικὸς προθεὶς τὰ ἔπη

ἄλλος μὲν μογέων ἀποκινήσασκε τραπέζης
d πλεῖον ἐόν, Νέστωρ δ᾽ ὁ γέρων ἀμογητὶ ἄειρεν

γράφει κατὰ λέξιν ῾νῦν τὸ μὲν ἐπιτιμώμενόν ἐστι τῷ ποιητῇ ὅτι τοὺς μὲν λοιποὺς ἔστι μογέοντας ἀείρειν τὸ δέπας, τὸν δὲ Νέστορα μόνον ἀμογητί. ἄλογον δ᾽ ἐδόκει Διομήδους καὶ Αἴαντος ἔτι δ᾽ Ἀχιλλέως παρόντων εἰσάγεσθαι τὸν Νέστορα γενναιότερον, τῇ ἡλικίᾳ προβεβηκότα. τούτων τοίνυν οὕτως κατηγορουμένων τῇ ἀναστροφῇ χρησάμενοι ἀπολύομεν τὸν ποιητήν. ἀπὸ γὰρ τούτου τοῦ ἑξαμέτρου

πλεῖον ἐόν, Νέστωρ δ' ὁ γέρων ἀμογητὶ ἄειρεν e ἀπὸ τοῦ μέσου ἐξελόντες τὸ γέρων τάξομεν τοῦ πρώτου στίχου πρὸς τὴν ἀρχὴν ὑπὸ τὸ Ἄλλος μέν, εἶτα τὸ ἐξ ἀρχῆς συνεροῦμεν, Ἄλλος μὲν γέρων μογέων ἀποκινήσασκε τραπέζης πλεῖον ἐόν, ὁ δὲ Νέστωρ ἀπονητὶ ἄειρεν. νῦν οὖν οὕτω τεταγμένων ὁ Νέστωρ φαίνεται τῶν μὲν λοιπῶν πρεσβυτῶν μόνος τὸ δέπας ἀμογητὶ ἀείρων.' ταῦτα καὶ ὁ θαυμάσιος λυτικὸς Σωσίβιος, ὃν οὐκ ἀχαρίτως διέπαιξε διὰ τὰς πολυθρυλήτους ταύτας καὶ τὰς τοιαύτας λύσεις Πτολε- f μαῖος ὁ φιλάδελφος βασιλεύς. λαμβάνοντος γὰρ αὐτοῦ σύνταξιν βασιλικὴν μεταπεμψάμενος τοὺς ταμίας ἐκέλευσεν, ἐὰν παραγένηται ὁ Σωσίβιος ἐπὶ τὴν ἀπαίτησιν τῆς συντάξεως, λέγειν αὐτῷ ὅτι ἀπείληφε. καὶ μετ' οὐ πολὺ παραγενομένῳ καὶ αἰτοῦντι εἰπόντες δεδωκέναι αὐτῷ τὰς ἡσυχίας εἶχον, ὁ δὲ τῷ βασιλεῖ προσελθὼν κατεμέμφετο τοὺς ταμίας. Πτολεμαῖος δὲ μεταπεμψάμενος αὐτοὺς καὶ ἥκειν κελεύσας μετὰ 494 τῶν βιβλίων ἐν οἷς αἱ ἀναγραφαί εἰσι τῶν τὰς συντάξεις λαμβανόντων, λαβὼν ταύτας εἰς χεῖρας ὁ βασιλεὺς καὶ κατιδὼν ἔφη καὶ αὐτὸς εἰληφέναι αὐτὸν οὕτως. ἦν ὀνόματα ἐγγεγραμμένα ταῦτα, Σωτῆρος Σωσιγένους Βίωνος Ἀπολλωνίου Δίωνος, εἰς ἃ ἀποβλέψας ὁ βασιλεὺς εἶπεν, ὦ θαυμάσιε λυτικέ, ἐὰν ἀφέλῃς τοῦ Σωτῆρος τὸ σω καὶ τοῦ Σωσιγένους τὸ σι καὶ τοῦ Βίωνος τὴν πρώτην συλλαβὴν βι καὶ τὴν τελευταίαν τοῦ Ἀπολλωνίου, εὑρήσεις σαυτὸν ἀπειληφότα κατὰ τὰς σὰς ἐπινοίας. καὶ ταῦτα οὐχ ὑπ' b ἄλλων, ἀλλὰ τοῖς σαυτοῦ πτεροῖς κατὰ τὸν θαυμάσιον Αἰσχύλον ἁλίσκῃ, ἀπροσδιονύσους λύσεις πραγματευόμενος.'

86. ΟΛΜΟΣ. ποτήριον κερατίου τρόπον εἰργασμέ-

νον. Μενεσθένης ἐν τετάρτῳ Πολιτικῶν γράφει οὕτως ''Ἀλβατάνης δὲ στρεπτὸν καὶ ὅλμον χρυσοῦν. ὁ δὲ ὅλμος ἐστὶ ποτήριον κερατίου τρόπον εἰργασμένον, ὕψος ὡς πυγονιαῖον.'

87. ΟΞΥΒΑΦΟΝ. ἡ μὲν κοινὴ συνήθεια οὕτως καλεῖ τὸ ὄξους δεκτικὸν σκεῦος· ἔστι δὲ καὶ ὄνομα ποτηρίου, οὗ μνημονεύει Κρατῖνος μὲν ἐν Πυτίνῃ οὕτως

c πῶς τις αὐτὸν πῶς τις ἂν
ἀπὸ τοῦ πότου παύσειε τοῦ λίαν πότου;
Β. ἐγῷδα. συντρίψω γὰρ αὐτοῦ τοὺς χόας,
καὶ τοὺς καδίσκους συγκεραυνώσω σποδῶν,
καὶ τἆλλα πάντ' ἀγγεῖα τὰ περὶ τὸν πότον,
κοὐδ' ὀξύβαφον οἰνηρὸν ἔτι κεκτήσεται.

ὅτι δ' ἐστὶ τὸ ὀξύβαφον εἶδος κύλικος μικρᾶς κεραμέας σαφῶς παρίστησιν Ἀντιφάνης ἐν Μύστιδι διὰ τούτων. γραῦς ἐστὶ φίλοινος ἐπαινοῦσα κύλικα με-
d γάλην καὶ ἐξευτελίζουσα τὸ ὀξύβαφον ὡς βραχύ. εἰπόντος οὖν τινὸς πρὸς αὐτήν 'σὺ δ' ἀλλὰ πῖθι' λέγει

τοῦτο μέν σοι πείσομαι.
καὶ γὰρ ἐπαγωγόν, ὦ θεοί, τὸ σχῆμά πως
τῆς κύλικός ἐστιν ἄξιόν τε τοῦ κλέους
τοῦ τῆς ἑορτῆς. οὗ μὲν ἦμεν ἄρτι γὰρ
ἐξ ὀξυβαφίων κεραμέων ἐπίνομεν·
τούτῳ δέ, τέκνον, πολλὰ κἀγάθ' οἱ θεοὶ
τῷ δημιουργῷ δοῖεν, ὃς ἐποίησέ σε,
τῆς συμμετρίας καὶ τῆς ἀφελείας οὕνεκα.

κἀν τοῖς Βαβυλωνίοις οὖν τοῖς Ἀριστοφάνους ἀκουσόμεθα ποτήριον τὸ ὀξύβαφον, ὅταν ὁ Διόνυσος λέγῃ
e περὶ τῶν Ἀθήνησι δημαγωγῶν ὡς αὐτὸν ᾔτουν ἐπὶ τὴν δίκην ἀπελθόντα ὀξυβάφω δύο. οὐ γὰρ ἄλλο τι ἡγητέον εἶναι ἢ ὅτι ἐκπώματα ᾔτουν. καὶ τὸ τοῖς

ἀποκοτταβίζουσι δὲ ὀξύβαφον τιθέμενον εἰς ὃ τὰς λάταγας ἐγχέουσιν οὐκ ἄλλο τι ἂν εἴη ἢ ἐκπέταλον ποτήριον. μνημονεύει δὲ τοῦ ὀξυβάφου ὡς ποτηρίου καὶ Εὔβουλος ἐν Μυλωθρίδι

καὶ πιεῖν χωρὶς μετρῶ
ὀξύβαφον εἰς τὸ κοινόν, εἶθ' ὑπώμνυτο
ὁ μὲν οἶνος ὄξος αὐτὸς εἶναι γνήσιον,
τὸ δ' ὄξος οἶνος αὐτὸ μᾶλλον θατέρου. f

88. ΟΙΝΙΣΤΗΡΙΑ. οἱ μέλλοντες ἀποκείρειν τὸν σκόλλυν ἔφηβοι, φησὶ Πάμφιλος, εἰσφέρουσι τῷ Ἡρακλεῖ μέγα ποτήριον πληρώσαντες οἴνου, ὃ καλοῦσιν οἰνιστηρίαν, καὶ σπείσαντες τοῖς συνελθοῦσι διδόασι πιεῖν.

ΟΛΛΙΞ. Πάμφιλος ἐν Ἀττικαῖς λέξεσι τὸ ξύλινον ποτήριον ἀποδίδωσι.

ΠΑΝΑΘΗΝΑΙΚΟΝ. Ποσειδώνιος ὁ φιλόσοφος ἐν ἕκτῃ καὶ τριακοστῇ τῶν ἱστοριῶν ὡς οὕτω καλουμένων τινῶν ποτηρίων μνημονεύει γράφων οὕτως 495
'ἦσαν δὲ καὶ ὀνύχινοι σκύφοι καὶ συνδέσεις τούτων μέχρι δικοτύλων, καὶ παναθηναϊκὰ μέγιστα τὰ μὲν δίχοα τὰ δὲ καὶ μείζονα.'

ΠΡΟΑΡΟΝ. κρατὴρ ξύλινος, εἰς ὃν τὸν οἶνον κιρνᾶσιν οἱ Ἀττικοί, 'κοίλοις ἐν προάροις,' φησὶ Πάμφιλος.

90. ΠΕΛΙΚΑΙ. Καλλίστρατος ἐν ὑπομνήμασι Θραττῶν Κρατίνου ἀποδίδωσι κύλικα. Κράτης δ' ἐν δευτέρῳ Ἀττικῆς διαλέκτου γράφει οὕτως 'οἱ χόες πελίκαι, καθάπερ εἴπομεν, ὠνομάζοντο. ὁ δὲ τύπος ἦν τοῦ ἀγγείου πρότερον μὲν τοῖς παναθηναϊκοῖς ἐοικώς, b
ἡνίκα ἐκαλεῖτο πελίκη, ὕστερον δὲ ἔσχεν οἰνοχόης σχῆμα, οἷοί εἰσιν οἱ ἐν τῇ ἑορτῇ παρατιθέμενοι, ὁποίους δή ποτε ὄλπας ἐκάλουν, χρώμενοι πρὸς τὴν τοῦ

οἴνου ἔγχυσιν. καθάπερ Ἴων ὁ Χῖος ἐν Εὐρυτίδαις φησίν

ἐκ ζαθέων πιθακνῶν ἀφύσαντες ὄλπαις
οἶνον ὑπερφίαλον κελαρύζετε.

νυνὶ δὲ τὸ μὲν τοιοῦτον ἀγγεῖον καθιερωμένον τινὰ τρόπον ἐν τῇ ἑορτῇ παρατίθεται μόνον, τὸ δ' ἐς τὴν
c χρείαν πῖπτον μετεσχημάτισται, ἀρυταίνῃ μάλιστα ἐοικός, ὃ δὴ καλοῦμεν χόα.' τὴν δὲ ὄλπην Κλείταρχος Κορινθίους μέν φησι καὶ Βυζαντίους καὶ Κυπρίους τὴν λήκυθον ἀποδιδόναι, Θεσσαλοὺς δὲ τὴν πρόχοον. Σέλευκος δὲ πελίχναν Βοιωτοὺς μὲν τὴν κύλικα, Εὐφρόνιος δ' ἐν ὑπομνήμασι τοὺς χόας.

91. ΠΕΛΛΑ. ἀγγεῖον σκυφοειδές, πυθμένα ἔχον πλατύτερον, εἰς ὃ ἤμελγον τὸ γάλα. Ὅμηρος

ὡς ὅτε μυῖαι
σταθμῷ ἐνιβρομέωσιν ἐυγλαγέας κατὰ πέλλας.

τοῦτο δὲ Ἱππῶναξ λέγει πελλίδα

ἐκ πελλίδος πίνοντες· οὐ γὰρ ἦν αὐτῇ
d κύλιξ, ὁ παῖς γὰρ ἐμπεσὼν κατήραξεν.

δῆλον, οἶμαι, ποιῶν ὅτι ποτήριον μὲν οὐκ ἦν, δι' ἀπορίαν δὲ κύλικος ἐχρῶντο τῇ πελλίδι. καὶ πάλιν

ἐκ δὲ τῆς πέλλης
ἔπινον, ἄλλοτ' αὐτὸς ἄλλοτ' Ἀρήτη
προὔπινεν.

Φοίνιξ δὲ ὁ Κολοφώνιος ἐν τοῖς ἰάμβοις ἐπὶ φιάλης τίθησι τὴν λέξιν λέγων οὕτως

Θαλῆς γάρ, ὅστις ἱστόρων ὀνήιστος,
καὶ τῶν τότ', ὡς λέγουσι, πολλὸν ἀνθρώπων
ἔην ἄριστος, ἔλαβε πελλίδα χρυσέην.

e καὶ ἐν ἄλλῳ δὲ μέρει φησίν

ἐκ πελλίδος δὲ τάργανον κατηγυίης
χωλοῖσι δακτύλοισι τἠτέρῃ σπένδει,

τρέμων οἷόν περ ἐν βορηίῳ νωδός.

Κλείταρχος δ' ἐν ταῖς Γλώσσαις πελλητῆρα μὲν καλεῖν Θεσσαλοὺς καὶ Αἰολεῖς τὸν ἀμολγέα, πέλλαν δὲ τὸ ποτήριον. Φιλητᾶς δ' ἐν Ἀτάκτοις τὴν κύλικα Βοιωτούς.

92. ΠΕΝΤΑΠΛΟΑ. μνημονεύει αὐτῆς Φιλόχορος ἐν δευτέρᾳ Ἀτθίδος. Ἀριστόδημος δ' ἐν τρίτῳ περὶ f
Πινδάρου τοῖς σκίροις φησὶν Ἀθήνησι ἀγῶνα ἐπιτελεῖσθαι τῶν ἐφήβων δρόμου· τρέχειν δ' αὐτοὺς ἔχοντας ἀμπέλου κλάδον κατάκαρπον, τὸν καλούμενον ὦσχον. τρέχουσι δ' ἐκ τοῦ ἱεροῦ τοῦ Διονύσου μέχρι τοῦ τῆς σκιράδος Ἀθηνᾶς ἱεροῦ, καὶ ὁ νικήσας λαμβάνει κύλικα τὴν λεγομένην πενταπλόαν καὶ κωμάζει μετὰ χοροῦ. πενταπλόα δ' ἡ κύλιξ καλεῖται, καθ' 496
ὅσον οἶνον ἔχει καὶ μέλι καὶ τυρὸν καὶ ἄλφιτον καὶ ἐλαίου βραχύ.

ΠΕΤΑΧΝΟΝ. ποτήριον ἐκπέταλον, οὗ μνημονεύει Ἄλεξις ἐν Δρωπίδῃ· πρόκειται δὲ τὸ μαρτύριον. μνημονεύει αὐτοῦ καὶ Ἀριστοφάνης ἐν Δράμασι λέγων 'πάντες δ' ἔνδον πεταχνοῦνται.'

93. ΠΛΗΜΟΧΟΗ. σκεῦος κεραμεοῦν βεμβικῶδες ἑδραῖον ἡσυχῇ, ὃ κοτυλίσκον ἔνιοι προσαγορεύουσιν, ὥς φησι Πάμφιλος. χρῶνται δὲ αὐτῷ ἐν Ἐλευσῖνι τῇ τελευταίᾳ τῶν μυστηρίων ἡμέρᾳ, ἣν καὶ ἀπ' αὐτοῦ προσαγορεύουσι πλημοχόας· ἐν ᾗ δύο πλημοχόας b
πληρώσαντες, τὴν μὲν πρὸς ἀνατολὰς τὴν δὲ πρὸς δύσιν ἀνιστάμενοι, ἀνατρέπουσιν ἐπιλέγοντες ῥῆσιν μυστικήν. μνημονεύει δὲ αὐτῶν καὶ ὁ τὸν Πειρίθουν γράψας, εἴτε Κριτίας ἐστὶν ὁ τύραννος ἢ Εὐριπίδης, λέγων οὕτως

ἵνα πλημοχόας τάσδ' εἰς χθόνιον
χάσμ' εὐφήμως προχέωμεν.

ΠΡΙΣΤΙΣ. ὅτι ποτηρίου εἶδος προείρηται ἐν τῷ περὶ τοῦ βατιακίου λόγῳ.

c 94. ΠΡΟΧΥΤΗΣ. εἶδος ἐκπώματος, ὡς Σιμάριστος ἐν τετάρτῳ Συνωνύμων. Ἴων δ' ὁ Χῖος ἐν ἐλεγείοις

ἡμῖν δὲ κρητῆρ' οἰνοχόοι θέραπες
κιρνάντων προχύταισιν ἐν ἀργυρέοις.

Φιλητᾶς δ' ἐν Ἀτάκτοις ἀγγεῖον ξύλινον, ἀφ' οὗ τοὺς ἀγροίκους πίνειν. μνημονεύει αὐτοῦ καὶ Ἀλέξανδρος ἐν Τιγονίῳ. Ξενοφῶν δ' ἐν ὀγδόῳ Παιδείας προχοΐδας τινὰς λέγει κύλικας γράφων ὧδε· ὁ δὲ λόγος ἐστὶν αὐτῷ περὶ Περσῶν· ʽἦν δὲ αὐτοῖς νόμιμον μὴ προχοΐδας εἰσφέρεσθαι εἰς τὰ συμπόσια, δῆ-
d λον ὅτι νομίζοντες τὸ μὴ ὑπερπίνειν ἧττον ἂν καὶ σώματα καὶ γνώμας σφάλλειν· νῦν δὲ τὸ μὲν μὴ εἰσφέρεσθαι ἔτι αὖ καταμένει, τοσοῦτον δὲ πίνουσιν ὥστε ἀντὶ τοῦ εἰσφέρειν αὐτοὶ ἐκφέρονται, ἐπειδὰν μηκέτι δύνωνται ὀρθούμενοι ἐξιέναι.'

ΠΡΟΥΣΙΑΣ. ὅτι τὸ ποτήριον τοῦτο δίορθόν ἐστι προείρηται. καὶ ὅτι τὴν προσηγορίαν ἔσχεν ἀπὸ Προυσίου τοῦ Βιθυνίας βασιλεύσαντος καὶ ἐπὶ τρυ-
e φῇ καὶ μαλακίᾳ διαβοήτου γενομένου ἱστορεῖ Νίκανδρος ὁ Καλχηδόνιος ἐν τετάρτῳ Προυσίου συμπτωμάτων.

95. ΡΕΟΝΤΑ. οὕτως ποτήριά τινα ἐκαλεῖτο. μνημονεύει δ' αὐτῶν Ἀστυδάμας ἐν Ἑρμῇ λέγων οὕτως

κρατῆρε μὲν πρώτιστον ἀργυρῶ δύο,
φιάλας δὲ πεντήκοντα, δέκα δὲ κυμβία,
ῥέοντα δώδεχ', ὧν τὰ μὲν δέκ' ἀργυρᾶ
ἦν, δύο δὲ χρυσᾶ, γρύψ, τὸ δ' ἕτερον πήγασος.

ΡΥΣΙΣ. φιάλη χρυσῆ, Θεόδωρος. Κρατῖνος ἐν Νόμοις ʽῥυσίδι σπένδων.'

96. ΡΟΔΙΑΣ. Δίφιλος Αἱρησιτείχει· τὸ δὲ δρᾶμα

τοῦτο Καλλίμαχος ἐπιγράφει Εὐνοῦχον· λέγει δὲ f
οὕτως

πιεῖν δ' ἔτι
ἁδρότερον ἐκ τῶν ῥοδιακῶν ἢ τῶν ῥυτῶν.

μνημονεύει αὐτῶν καὶ Διώξιππος ἐν Φιλαργύρῳ καὶ Ἀριστοτέλης ἐν τῷ περὶ μέθης Λυγκεύς τε ὁ Σάμιος ἐν ταῖς ἐπιστολαῖς.

97. ΡΥΤΟΝ. ἔχει τὸ υ βραχὺ καὶ ὀξύνεται. Δημοσθένης ἐν τῷ κατὰ Μειδίου 'ῥυτὰ καὶ κυμβία (φησὶ) καὶ φιάλας.' Δίφιλος δ' ἐν Εὐνούχῳ ἢ Στρατιώτῃ, ἔστι δὲ τὸ δρᾶμα διασκευὴ τοῦ Αἱρησιτείχους·

ἔσθ' ὑποχέασθαι πλείονας, πιεῖν δ' ἔτι 497
ἁδρότερον ἐκ τῶν ῥοδιακῶν ἢ τῶν ῥυτῶν.

Ἐπίνικος δ' ἐν Ὑποβαλλομέναις

καὶ τῶν ῥυτῶν τὰ μέγιστα τῶν ὄντων τρία
πίνειν δεήσει τήμερον πρὸς κλεψύδραν
κρουνιζόμενον. ἀμφότερα δ' οἰωνίζομαι.
ἔστι δ' ἐλέφας. Β. ἐλέφαντα περιάγεις; Α. ῥυτὸν
χωροῦν δύο χόας. Β. οὐδ' ἂν ἐλέφας ἐκπίοι.
Α. ἐγὼ δὲ τοῦτό γ' ἐκπέπωκα πολλάκις. b
Β. οὐδὲν ἐλέφαντος γὰρ διαφέρεις οὐδὲ σύ.
Α. ἕτερον τριήρης· τοῦτ' ἴσως χωρεῖ χόα.

περὶ δὲ τοῦ τρίτου λέγων φησίν

ὁ Βελλεροφόντης ἐστὶν ἀπὸ τοῦ πηγάσου
τὴν πύρπνοον χίμαιραν εἰσηκοντικώς.
Β. εἶεν, δέχου καὶ τοῦτο.

ἐκαλεῖτο δὲ τὸ ῥυτὸν πρότερον δίκερας. δοκεῖ δὲ σκευοποιηθῆναι ὑπὸ πρώτου τοῦ φιλαδέλφου Πτολεμαίου βασιλέως, φορήματα γενέσθαι τῶν Ἀρσινόης εἰκόνων. τῇ γὰρ εὐωνύμῳ χειρὶ τοιοῦτον φέρει δημιούργημα πάντων τῶν ὡραίων πλῆρες, ἐμφαινόν- c
των τῶν δημιουργῶν ὡς καὶ τοῦ τῆς Ἀμαλθείας

ἐστὶν ὀλβιώτερον τὸ κέρας τοῦτο. μνημονεύει αὐτοῦ Θεοκλῆς ἐν Ἰθυφάλλοις οὕτως

ἐθύσαμεν γὰρ σήμερον σωτήρια
πάντες οἱ τεχνῖται·
μεθ᾽ ὧν πιὼν τὸ δίκερας ὡς τὸν φίλτατον
βασιλέα πάρειμι.

Διονύσιος δ᾽ ὁ Σινωπεὺς ἐν Σωζούσῃ καταλέγων τινὰ ποτήρια καὶ τοῦ ῥυτοῦ ἐμνήσθη ὡς προεῖπον.
d Ἡδύλος δ᾽ ἐν ἐπιγράμμασι περὶ τοῦ κατασκευασθέντος ὑπὸ Κτησιβίου τοῦ μηχανοποιοῦ ῥυτοῦ μνημονεύων φησί

ζωροπόται, ναὶ τοῦτο φιλοζεφύρου κατὰ νηὸν
τὸ ῥυτὸν αἰδοίης δεῦτ᾽ ἴδετ᾽ Ἀρσινόης,
ὀρχηστὴν βήσαν αἰγύπτιον, ὃς λιγὺν ἦχον
σαλπίζει κρουνοῦ πρὸς ῥύσιν οἰγομένου,
οὐ πολέμου σύσσημα, διὰ χρυσέου δὲ γεγωνεῖ
κώδωνος κώμου σύνθεμα καὶ θαλίης,
Νεῖλος ὁκοῖον ἄναξ μύσταις φίλον ἱεραγωγοῖς
εὗρε μέλος θείων πάτριον ἐξ ἀδύτων.
e ἀλλ᾽ εἰ Κτησιβίου σοφὸν εὕρεμα τίετε τοῦτο,
δεῦτε, νέοι, νηῷ τῷδε παρ᾽ Ἀρσινόης . . .

Θεόφραστος δ᾽ ἐν τῷ περὶ μέθης τὸ ῥυτόν φησιν ὀνομαζόμενον ποτήριον τοῖς ἥρωσι μόνοις ἀποδίδοσθαι. Δωρόθεος δ᾽ ὁ Σιδώνιός φησι τὰ ῥυτὰ κέρασιν ὅμοια εἶναι, διατετρημένα δ᾽ εἶναι, ἐξ ὧν κρουνιζόντων λεπτῶς κάτωθεν πίνουσιν. ὠνομάσθαι δὲ ἀπὸ τῆς ῥύσεως.

98. ΣΑΝΝΑΚΡΑ. Κράτης ἐν πέμπτῳ ἀττικῆς διαλέκτου ἔκπωμά φησιν εἶναι οὕτως καλούμενον. ἔστι
f δὲ περσικόν. Φιλήμων δ᾽ ἐν τῇ Χήρᾳ βατιακῶν μνησθεὶς καὶ τῇ γελοιότητι τοῦ ὀνόματος προσπαίξας φησί ʽσαννάκρα ἱπποτραγέλαφοι βατιάκια σαννάκια.᾽

ΣΕΛΕΥΚΙΣ. ὅτι ἀπὸ Σελεύκου τοῦ βασιλέως τὴν προσηγορίαν ἔσχε τὸ ἔκπωμα προείρηται, ἱστοροῦντος τοῦτο καὶ Ἀπολλοδώρου τοῦ Ἀθηναίου. Πολέμων δ' ἐν πρώτῳ τῶν πρὸς Ἀδαῖον 'ποτήρια (φησὶ) παραπλήσια σελευκὶς ῥοδιὰς ἀντιγονίς.'

ΣΚΑΛΛΙΟΝ. κυλίκιον μικρὸν ᾧ σπένδουσιν Αἰολεῖς ὡς Φιλητᾶς φησὶν ἐν Ἀτάκτοις. 498

99. ΣΚΥΦΟΣ. τούτου τινὲς τὴν γενικὴν σὺν τῷ σ προφέρονται διὰ παντός, οὐκ εὖ· ὅτε γὰρ ἀρσενικόν ἐστιν ὁ σκύφος ὡς λύχνος, ἄνευ τοῦ σ προοισόμεθα, ὅτε δὲ οὐδέτερον τὸ σκύφος, σὺν τῷ σ κλινοῦμεν, σκύφος σκύφους ὡς τεῖχος τείχους. οἱ δ' Ἀττικοὶ τὴν εὐθεῖαν καὶ ἀρσενικῶς καὶ οὐδετέρως λέγουσιν. Ἡσίοδος δ' ἐν τῷ δευτέρῳ Μελαμποδείας σὺν τῷ π σκύπφον λέγει

τῷ δὲ Μάρης θοὸς ἄγγελος ἦλθε δι' οἴκου, b
πλήσας δ' ἀργύρεον σκύπφον φέρε, δῶκε δ' ἄνακτι.

καὶ πάλιν

καὶ τότε Μάντης μὲν δεσμὸν βοὸς αἴνυτο χερσίν,
Ἴφικλος δ' ἐπὶ νῶτ' ἐπεμαίετο. τῷ δ' ἔπ' ὄπισθεν
σκύπφον ἔχων ἑτέρῃ, ἑτέρῃ δὲ σκῆπτρον ἀείρας,
ἔστειχεν Φύλακος καὶ ἐνὶ δμώεσσιν ἔειπεν.

ὁμοίως δὲ καὶ Ἀναξίμανδρος ἐν τῇ Ἡρωολογίᾳ λέγων ὧδε ''Ἀμφιτρύων δὲ τὴν ληίην δασάμενος τοῖσι συμμάχοισι, καὶ τὸν σκύπφον ἔχων ὃν εἵλετο αὐτῷ.' καὶ πάλιν 'τὸν δὲ σκύπφον Τηλεβόῃ δίδωσι Ποσειδέων παιδὶ τῷ ἑωυτοῦ, Τηλεβόης δὲ Πτερέλεῳ· τοῦτον ἔχων ἀπέπλωεν.' ὁμοίως εἴρηκε καὶ Ἀνακρέων c

ἐγὼ δ' ἔχων σκύπφον Ἐρξίωνι
τῷ λευκολόφῳ μεστὸν ἐξέπινον.

ἀντὶ τοῦ προέπινον. κυρίως γάρ ἐστι τοῦτο προπίνειν τὸ ἑτέρῳ πρὸ ἑαυτοῦ δοῦναι πιεῖν. καὶ ὁ Ὀδυσσεὺς δὲ παρ' Ὁμήρῳ τῇ

d Ἀρήτῃ δ' ἐν χερσὶ τίθει δέπας ἀμφικύπελλον.

καὶ ἐν Ἰλιάδι

πλησάμενος δ' οἴνοιο δέπας δείδεκτ' Ἀχιλῆα.

πληροῦντες γὰρ προέπινον ἀλλήλοις μετὰ προσαγορεύσεως. Πανύασις τρίτῳ Ἡρακλείας φησί

τοῦ κεράσας κρητῆρα μέγαν χρυσοῖο φαεινόν,
σκύπφους αἰνύμενος θαμέας πότον ἡδὺν ἔπινεν.

Εὐριπίδης δ' ἐν Εὐρυσθεῖ ἀρσενικῶς ἔφη 'σκύφος τε μακρός.' καὶ Ἀχαιὸς ἐν Ὀμφάλῃ

e ὁ δὲ σκύφος με τοῦ θεοῦ καλεῖ.

Σιμωνίδης δ' 'ουατόεντα σκύφον' ἔφη. Ἴων δ' ἐν Ὀμφάλῃ 'οἶνος οὐκ ἔνι ἐν τῷ σκύφει' τῷ σκύφει ἰδίως ἀπὸ τοῦ σκύφος σχηματίσας οὐδετέρως ἔφη. ὁμοίως καὶ Ἐπίχαρμος ἐν Κύκλωπι 'φέρ' ἐγχέας ἐς τὸ σκύφος.' καὶ Ἄλεξις ἐν Λευκαδίᾳ

οἴνου γεραιοῖς χείλεσιν μέγα σκύφος.

καὶ Ἐπιγένης ἐν Βακχείᾳ

τὸ σκύφος ἔχαιρον δεχόμενος.

Φαίδιμός τε ἐν πρώτῳ Ἡρακλείας

δουράτεον σκύφος εὐρὺ μελιζώροιο ποτοῖο.

f καὶ παρ' Ὁμήρῳ δὲ Ἀριστοφάνης ὁ Βυζάντιος γράφει

πλησάμενος δ' ἄρα οἱ δῶκε σκύφος ᾧπερ ἔπινεν.

Ἀρίσταρχος δέ

πλησάμενος δ' ἄρα οἱ δῶκε σκύφον ᾧπερ ἔπινεν.

Ἀσκληπιάδης δὲ ὁ Μυρλεανὸς ἐν τῷ περὶ τῆς νεστορίδος φησὶν ὅτι τῷ σκύφει καὶ τῷ κισσυβίῳ τῶν μὲν ἐν ἄστει καὶ μετρίων οὐδεὶς ἐχρῆτο, συβῶται δὲ καὶ νομεῖς καὶ οἱ ἐν ἀγρῷ, ὡς ὁ Εὔμαιος

πλησάμενος δῶκε σκύφος ᾧπερ ἔπινεν,

οἴνου ἐνίπλειον.

καὶ Ἀλκμὰν δέ φησι

πολλάκι δ' ἐν κορυφαῖς ὀρέων, ὅκα 499
θεοῖσιν ἅδη πολύφοινος ἑορτά,
χρύσεον ἄγγος ἔχοισα μέγαν σκύφον,
οἷά τε ποιμένες ἄνδρες ἔχουσιν,
χερσὶ λεόντειον γάλα θεῖσα
τυρὸν ἐτύρησας μέγαν ἄτρυφον
ἀργιοφόντᾳ.

Αἰσχύλος δ' ἐν Περραιβίσι φησί

ποῦ μοι τὰ πολλὰ δῶρα κἀκροθίνια;
ποῦ χρυσότευκτα κἀργυρᾶ σκυφώματα;

Στησίχορος δὲ τὸ παρὰ Φόλῳ τῷ κενταύρῳ ποτήριον σκύφειον δέπας καλεῖ ἐν ἴσῳ τῷ σκυφοειδές· λέγει δ' ἐπὶ τοῦ Ἡρακλέους

σκύπφειον δὲ λαβὼν δέπας ἔμμετρον ὡς τριλά- b
γυνον,
πῖεν ἐπισχόμενος, τό ῥά οἱ παρέθηκε Φόλος κε-
ράσας.

καὶ Ἄρχιππος δ' ἐν Ἀμφιτρύωνι οὐδετέρως εἴρηκε.

100. λάγυνον δὲ μέτρου λέγουσιν εἶναι ὄνομα παρὰ τοῖς Ἕλλησιν, ὡς χοὸς καὶ κοτύλης· χωρεῖν δ' αὐτὸ κοτύλας ἀττικὰς δώδεκα. καὶ ἐν Πάτραις δέ φασι τοῦτ' εἶναι τὸ μέτρον τὴν λάγυνον. ἀρσενικῶς δὲ εἴρηκε τὸν λάγυνον Νικόστρατος μὲν ἐν Ἑκάτῃ

τῶν κατεσταμνισμένων c
ἡμῖν λαγύνων πηλίκοι τινές; Β. τρίχους.

καὶ πάλιν

τὸν μεστὸν ἡμῖν φέρε λάγυνον.

καὶ ἐν τῇ ἐπιγραφομένῃ Κλίνῃ

καὶ δυσχερὴς λάγυνος οὗτος πλησίον
ὄξους.

*Δίφιλος δ' ἐν Ἀνασῳζομένοις*

*λάγυνον ἔχω κενὸν ὦ γραῦ, θύλακον δὲ μεστόν.*

*Λυγκεύς θ' ὁ Σάμιος ἐν τῇ πρὸς Διαγόραν ἐπιστολῇ γράφει 'καθ' ὃν χρόνον ἐπεδήμησας ἐν Σάμῳ, Διαγόρα, πολλάκις οἶδά σε παραγινόμενον εἰς τοὺς παρ' ἐμοὶ πότους, ἐν οἷς λάγυνος κατ' ἄνδρα κείμενος* d *ᾠνοχοεῖτο πρὸς ἡδονὴν διδοὺς ἑκάστῳ ποτήριον.' Ἀριστοτέλης δ' ἐν τῇ Θετταλῶν πολιτείᾳ θηλυκῶς λέγεσθαί φησιν ὑπὸ Θετταλῶν τὴν λάγυνον. καὶ Ῥιανὸς ὁ ἐποποιὸς ἐν ἐπιγράμμασιν*

*ἥμισυ μὲν πίσσης κωνίτιδος ἥμισυ δ' οἴνου,*
*Ἀρχῖν', ἀτρεκέως ἥδε λάγυνος ἔχει.*
*λεπτοτέρης δ' οὐκ οἶδ' ἐρίφου κρέα· πλὴν ὅ γε πέμψας*
*αἰνεῖσθαι πάντων ἄξιος Ἱπποκράτης.*

*οὐδετέρως δὲ Δίφιλος ἐν Ἀδελφοῖς εἴρηκεν*

e *ὦ τοιχωρύχον*
*ἐκεῖνο καὶ τῶν δυναμένων λαγύνιον*
*ἔχον βαδίζειν εἰς τὰ γεύμαθ' ὑπὸ μάλης,*
*καὶ τοῦτο πωλεῖν, μέχρι ἄν, ὥσπερ ἐν ἐράνῳ,*
*εἷς λοιπὸς ᾖ κάπηλος ἠδικημένος*
*ὑπ' οἰνοπώλου.*

*τὸ δ' ἐν Γηρυονηίδι Στησιχόρου 'ἔμμετρον ὡς τριλάγυνον' τὴν τῶν τριῶν γενῶν ἀμφιβολίαν ἔχει. Ἐρατοσθένης δέ φησι λέγεσθαι τὴν πέτασον καὶ τὴν στάμνον ὑπό τινων.*

101. *τὸ δὲ σκύφος ὠνομάσθη ἀπὸ τῆς σκαφίδος. καὶ τοῦτο δ' ἐστὶν ὁμοίως ἀγγεῖον ξύλινον στρογγύ-*f *λον, γάλα καὶ ὀρὸν δεχόμενον, ὡς καὶ παρ' Ὁμήρῳ λέγεται*

*ναῖον δ' ὀρῷ ἄγγεα πάντα,*
*γαυλοί τε σκαφίδες τε, τετυγμένα, τοῖς ἐνάμελγεν.*

εἰ μὴ σκύφος οἷον σκύθος τις, διὰ τὸ τοὺς Σκύθας περαιτέρω τοῦ δέοντος μεθύσκεσθαι. Ἱερώνυμος δὲ ὁ Ῥόδιος ἐν τῷ περὶ μέθης καὶ τὸ μεθύσαι σκυθίσαι φησί· συγγενὲς γὰρ εἶναι τῷ φ τὸ θ. ὕστερον δὲ 500 κατὰ μίμησιν εἰργάσαντο κεραμέους τε καὶ ἀργυροῦς σκύφους. ὧν πρῶτοι μὲν ἐγένοντο καὶ κλέος ἔλαβον οἱ βοιώτιοι λεγόμενοι, χρησαμένου διὰ τὰς στρατείας πρώτου Ἡρακλέους τῷ γένει· διὸ καὶ ἡρακλεωτικοὶ πρός τινων καλοῦνται. ἔχουσι μέντοι πρὸς τοὺς ἄλλους διαφοράν· ἔπεστι γὰρ ἐπὶ τῶν ὤτων αὐτοῖς ὁ λεγόμενος ἡράκλειος δεσμός. μνημονεύει δὲ τῶν βοιωτικῶν σκύφων Βακχυλίδης ἐν τούτοις, ποιούμενος τὸν λόγον πρὸς τοὺς Διοσκόρους, καλῶν αὐτοὺς b ἐπὶ ξένια

οὐ βοῶν πάρεστι σώματ' οὔτε χρυσὸς  
οὔτε πορφύρεοι τάπητες, ἀλλὰ θυμὸς εὐμενὴς  
μοῦσά τε γλυκεῖα καὶ βοιωτίοισιν  
ἐν σκύφοισιν οἶνος ἡδύς.

διήνεγκαν δὲ μετὰ τοὺς βοιωτίους οἱ ῥοδιακοὶ λεγόμενοι, Δαμοκράτους δημιουργήσαντος. τρίτοι δ' εἰσὶν οἱ συρακόσιοι. καλεῖται δ' ὁ σκύφος ὑπὸ Ἠπειρωτῶν, ὥς φησι Σέλευκος, λυρτός, ὑπὸ δὲ Μηθυμναίων, ὡς Παρμένων φησὶν ἐν τῷ περὶ διαλέκτων, σκύθος. ἐκαλεῖτο δὲ καὶ Δερκυλίδας ὁ Λακεδαιμόνιος Σκύφος, ὥς φησιν Ἔφορος ἐν τῇ ὀκτωκαιδε- c κάτῃ λέγων οὕτως 'Λακεδαιμόνιοι ἀντὶ Θίβρωνος Δερκυλίδαν ἔπεμψαν εἰς τὴν Ἀσίαν, ἀκούοντες ὅτι πάντα πράττειν εἰώθασιν οἱ περὶ τὴν Ἀσίαν βάρβαροι μετὰ ἀπάτης καὶ δόλου. διόπερ Δερκυλίδαν ἔπεμψαν, ἥκιστα νομίζοντες ἐξαπατηθήσεσθαι· ἦν γὰρ οὐδὲν ἐν τῷ τρόπῳ λακωνικὸν οὐδ' ἁπλοῦν ἔχων, ἀλλὰ πολὺ τὸ πανοῦργον καὶ τὸ θηριῶδες.

διὸ καὶ Σκύθον αὐτὸν οἱ Λακεδαιμόνιοι προσηγόρευον.'

d 102. ΤΑΒΑΙΤΑΣ. Ἀμύντας ἐν τῷ πρώτῳ τῶν τῆς Ἀσίας σταθμῶν περὶ τοῦ ἀερομέλιτος καλουμένου διαλεγόμενος γράφει οὕτως 'σὺν τοῖς φύλλοις δρέποντες συντιθέασιν εἰς παλάθης συριακῆς τρόπον πλάττοντες, οἱ δὲ σφαίρας ποιοῦντες. καὶ ἐπειδὰν μέλλωσι προσφέρεσθαι, ἀποκλάσαντες ἀπ' αὐτῶν ἐν τοῖς ξυλίνοις ποτηρίοις, οὓς καλοῦσι ταβαίτας, προβρέχουσι καὶ διηθήσαντες πίνουσι. καὶ ἔστιν ὅμοιον ὡς ἄν τις μέλι πίνοι διείς, τοῦτο δὲ καὶ πολὺ ἥδιον.'

ΤΡΑΓΕΛΑΦΟΣ. οὕτω τινὰ καλεῖται ποτήρια, ὧν
e μνημονεύει Ἄλεξις μὲν ἐν Κονιάτῃ

κυμβία
φιάλαι τραγέλαφοι κύλικες.

Εὔβουλος δ' ἐν Κατακολλωμένῳ

ἀλλ' εἰσὶ φιάλαι πέντε, τραγέλαφοι δύο.

Μένανδρος δ' ἐν Ἁλιεῖ φησί 'τραγέλαφοι λαβρώνιοι.' Ἀντιφάνης Χρυσίδι

τῷ σατραποπλούτῳ δ', ὡς λέγουσι, νυμφίῳ,
κεκτημένῳ τάλαντα παῖδας ἐπιτρόπους
ζεύγη καμήλους στρώματ' ἀργυρώματα
φιάλας τριήρεις τραγελάφους καρχήσια
f γαυλοὺς ὁλοχρύσους. Β. πλοῖα; Α. τοὺς κάδους
μὲν οὖν
καλοῦσι γαυλοὺς πάντες οἱ προγάστορες.

ΤΡΙΗΡΗΣ. ὅτι καὶ τριήρης εἶδος ἐκπώματος Ἐπίνικος ἐν Ὑποβαλλομέναις δεδήλωκε. προείρηται δὲ τὸ μαρτύριον.

ΥΣΤΙΑΚΟΝ. ποτήριον ποιόν. Ῥίνθων ἐν Ἡρακλεῖ

ἐν ὑστιακῷ τε καθαρὸν ἐλατῆρα . .
καθαρῶν τ' ἀλήτων κἀλφίτων ἀπερρόφεις.

103. ΦΙΑΛΗ. Ὅμηρος μέν, ὅταν λέγῃ

ἀμφίθετον φιάλην ἀπύρωτον ἔθηκε,

καί ‘χρυσῆν φιάλην καὶ δίπλακα δημόν,’ οὐ τὸ ποτήριον 501 λέγει, ἀλλὰ χαλκίον τι ἐκπέταλον λεβητῶδες, ἴσως δύο ὦτα ἔχον ἐξ ἀμφοτέρων τῶν μερῶν. Παρθένιος δ’ ὁ τοῦ Διονυσίου ἀμφίθετον ἀκούει τὴν ἀπύθμενον φιάλην. Ἀπολλόδωρος δ’ ὁ Ἀθηναῖος ἐν τῷ περὶ τοῦ κρατῆρος ῥησειδίῳ τὴν κατὰ τὸν πυθμένα μὴ δυναμένην τίθεσθαι καὶ ἐρείδεσθαι, ἀλλὰ κατὰ τὸ στόμα. τινὲς δέ φασιν, ὃν τρόπον ἀμφιφορεὺς λέγεται ὁ ἀμφοτέρωθεν κατὰ τὰ ὦτα δυνάμενος φέρεσθαι, οὕτω καὶ ἀμφίθετον φιάλην. Ἀρίσταρχος b δὲ τὴν δυναμένην ἐξ ἀμφοτέρων τῶν μερῶν τίθεσθαι, κατὰ τὸν πυθμένα καὶ κατὰ τὸ στόμα. Διονύσιος δ’ ὁ Θρᾷξ τὴν στρογγύλην, τὴν ἀμφιθέουσαν κυκλοτερεῖ τῷ σχήματι. Ἀσκληπιάδης δ’ ὁ Μυρλεανός ‘ἡ μὲν φιάλη (φησὶ) κατ’ ἀντιστοιχίαν ἐστὶ πιάλη, ἡ τὸ πιεῖν ἅλις ἔχουσα· μείζων γὰρ τοῦ ποτηρίου. ἡ δὲ [ἀμφίθετος καὶ] ἀπύρωτος ἡ ψυχρήλατος, ἡ ἐπὶ πῦρ οὐκ ἐπιτιθεμένη· καθότι καὶ λέβητα καλεῖ ὁ ποιητὴς τὸν μὲν ἐμπυριβήτην, τὸν δὲ c ἄπυρον·

κὰδ δὲ λέβητ’ ἄπυρον βοὸς ἄξιον ἀνθεμόεντα.

τὸν δεχόμενον ἴσως ὕδωρ ψυχρόν, ὥστε καὶ τὴν φιάλην εἶναι χαλκείῳ προσεοικυῖαν ἐκπετάλῳ δεχομένην ψυχρὸν ὕδωρ. τὴν δ’ ἀμφίθετον πότερα δύο βάσεις ἔχειν δεῖ νομίζειν ἐξ ἑκατέρου μέρους, ἢ τὸ μὲν ἀμφὶ σημαίνει τὸ περί, τοῦτο δ’ αὖ τὸ περιττόν; ὥστε λέγεσθαι τὴν περιττῶς πεποιημένην ἀμφίθετον, ἐπεὶ τὸ ποιῆσαι θεῖναι πρὸς τῶν ἀρχαίων ἐλέγετο. δύναται δὲ καὶ ἡ ἐπὶ τὸν πυθμένα καὶ τὸ στόμα τιθεμένη· d ἡ δὲ τοιαύτη θέσις τῶν φιαλῶν ἰωνική ἐστι καὶ ἀρ-

χαία. ἔτι γοῦν καὶ νῦν οὕτω Μασσαλιῆται τιθέασι τὰς φιάλας ἐπὶ πρόσωπον.᾽

104. Κρατίνου δ᾽ εἰπόντος ἐν Δραπέτισι

δέχεσθε φιάλας τάσδε βαλανειομφάλους,

Ἐρατοσθένης ἐν τῷ ἑνδεκάτῳ περὶ κωμῳδίας τὴν λέξιν ἀγνοεῖν φησὶ Λυκόφρονα· τῶν γὰρ φιαλῶν οἱ ὀμφαλοὶ καὶ τῶν βαλανείων οἱ θόλοι παρόμοιοι· εἰς δὲ τὸ εἶδος οὐκ ἀρρύθμως παίζονται. Ἀπίων δὲ καὶ

e Διόδωρός φησι, φιάλαι ποιαί, ὧν ὁ ὀμφαλὸς παραπλήσιος ἠθμῷ. ὁ δὲ Μυρλεανὸς Ἀσκληπιάδης ἐν τοῖς περὶ Κρατίνου ʽβαλανειόμφαλοι (φησὶ) λέγονται, ὅτι οἱ ὀμφαλοὶ αὐτῶν καὶ τῶν βαλανείων οἱ θόλοι ὅμοιοί εἰσιν.᾽ καὶ Δίδυμος δὲ τὰ αὐτὰ εἰπὼν παρατίθεται Λυκόφρονος οὕτως ἔχοντα ʽἀπὸ τῶν ὀμφαλῶν τῶν ἐν ταῖς γυναικείαις πυέλοις, ὅθεν τοῖς σκαφίοις ἀρύουσι.᾽ Τίμαρχος δ᾽ ἐν τετάρτῳ περὶ τοῦ Ἐρατοσθένους Ἑρμοῦ ʽπεπαῖχθαί τις ἂν οἰηθείη (φησὶ) τὴν

f λέξιν, διότι τὰ πλεῖστα τῶν Ἀθήνησι βαλανείων κυκλοειδῆ ταῖς κατασκευαῖς ὄντα τοὺς ἐξαγωγοὺς ἔχει κατὰ μέσον, ἐφ᾽ οὗ χαλκοῦς ὀμφαλὸς ἔπεστιν.᾽ Ἴων δ᾽ ἐν Ὀμφάλῃ

ἴτ᾽ ἐκφορεῖτε παρθένοι
κύπελλα καὶ μεσομφάλους
φιάλας.

οὕτω δ᾽ εἴρηκε τὰς βαλανειομφάλους, ὧν Κρατῖνος μνημονεύει

δέχεσθε φιάλας τάσδε βαλανειομφάλους.

καὶ Θεόπομπος δ᾽ ἐν Ἀλθαίᾳ ἔφη

502 λαβοῦσα πλήρη χρυσέαν μεσόμφαλον
φιάλην. Τελέστης δ᾽ ἄκατον ὠνόμαξέ νιν.

ὡς τοῦ Τελέστου ἄκατον τὴν φιάλην εἰρηκότος. Φε-

ρεκράτης δὲ ἢ ὁ πεποιηκὼς τοὺς εἰς αὐτὸν ἀναφερομένους Πέρσας φησί

στεφάνους τε πᾶσι κὠμφαλωτὰς χρυσίδας.

105. Ἀθηναῖοι δὲ τὰς μὲν ἀργυρᾶς φιάλας ἀργυρίδας λέγουσι, χρυσίδας δὲ τὰς χρυσᾶς. τῆς δὲ ἀργυρίδος φιάλης Φερεκράτης μὲν ἐν Πέρσαις οὕτως b
μνημονεύει

οὗτος σὺ ποῖ τὴν ἀργυρίδα τηνδὶ φέρεις;

χρυσίδος δὲ Κρατῖνος ἐν Νόμοις

χρυσίδι σπένδων κέκραγε, τοῖς ὄφεσι πιεῖν δίδου.

καὶ Ἕρμιππος ἐν Κέρκωψι

χρυσίδ' οἴνου πανσέληνον ἐκπιὼν ὑφείλετο.

ἐκαλεῖτο δέ τις καὶ βαλανωτὴ φιάλη, ἧς τῷ πυθμένι χρυσοῖ ὑπέκειντο ἀστράγαλοι. Σῆμος δὲ ἐν Δήλῳ ἀνακεῖσθαί φησι χαλκοῦν φοίνικα, Ναξίων ἀνάθημα, καὶ καρυωτὰς φιάλας χρυσᾶς. Ἀναξανδρίδης δὲ φιάλας Ἄρεος καλεῖ τὰ ποτήρια ταῦτα. Αἰολεῖς δὲ τὴν φιάλην ἀρακὶν καλοῦσι.

106. ΦΘΟΙΣ. πλατεῖαι φιάλαι ὀμφαλωτοί. Εὔπολις 'σὺν φθοῖσι προπεπωκώς.' ἔδει δὲ ὀξύνεσθαι, ὡς Καρσί παισί φθειρσί.

ΦΙΛΟΤΗΣΙΑ. κύλιξ τις, ἣν κατὰ φιλίαν προύπινον, ὥς φησι Πάμφιλος. Δημοσθένης δέ φησι 'καὶ φιλοτησίαν προύπινεν.' Ἄλεξις

φιλοτησίαν σοι τήνδ' ἐγὼ
ἰδίᾳ τε καὶ κοινῇ κύλικα προπίομαι.

ἐκαλεῖτο δὲ καὶ τὸ ἑταιρικὸν συνευωχούμενον φιλοτήσιον. Ἀριστοφάνης 'ἑπτάπους γοῦν ἡ σκιά 'στὶν ἡ 'πὶ τὸ δεῖπνον· ὡς ἤδη καλεῖ μ' ὁ χορὸς ὁ φιλοτήσιος.' διὰ δὲ τὴν τοιαύτην πρόποσιν ἐκαλεῖτο καὶ κύλιξ φιλοτησία, ὡς ἐν Λυσιστράτῃ

δέσποινα πειθοῖ καὶ κύλιξ φιλοτησία.

ΧΟΝΝΟΙ. *παρὰ Γορτυνίοις ποτηρίου εἶδος ὅμοιον θηρικλείῳ χάλκεον, ὃ δίδοσθαι τῷ ἁρπασθέντι ὑπὸ τοῦ ἐραστοῦ φησὶν Ἑρμῶναξ.*

ΧΑΛΚΙΔΙΚΑ *ποτήρια. ἴσως ἀπὸ τῆς Χαλκίδος τῆς θρᾳκικῆς, εὐδοκιμοῦντα.*

107. ΧΥΤΡΙΔΕΣ . . *καὶ ὅ γε Ἄλεξις ἐν Ὑποβολιμαίῳ*

*ἐγὼ Πτολεμαίου τοῦ βασιλέως τέτταρα*
*χυτρίδι᾽ ἀκράτου τῆς τ᾽ ἀδελφῆς προσλαβὼν*
*τῆς τοῦ βασιλέως ταῦτ᾽, ἀπνευστί τ᾽ ἐκπιὼν*
*ὡς ἄν τις ἥδιστ᾽ ἴσον ἴσῳ κεκραμένον,*
c *καὶ τῆς ὁμονοίας, διὰ τί νῦν μὴ κωμάσω*
*ἄνευ λυχνούχου πρὸς τὸ τηλικοῦτο φῶς;*

*Ἡρόδοτος δ᾽ ἐν τῇ πέμπτῃ τῶν ἱστοριῶν νόμον φησὶ θέσθαι Ἀργείους καὶ Αἰγινήτας ἀττικὸν μηδὲν προσφέρειν πρὸς τὰς θυσίας, μηδὲ κέραμον, ἀλλ᾽ ἐκ χυτρίδων ἐπιχωρίων τὸ λοιπὸν αὐτόθι [νόμον] εἶναι πίνειν. καὶ Μελέαγρος δ᾽ ὁ κυνικὸς ἐν τῷ Συμποσίῳ οὑτωσὶ γράφει ʽκἀν τοσούτῳ πρόποσιν αὐτῷ βαρεῖαν διέδωκε, χυτρίδια βαθέα δώδεκα.᾽*

108. ΨΥΓΕΥΣ ἢ ΨΥΚΤΗΡ. *Πλάτων Συμποσίῳ*
d *ʽἀλλὰ φέρε, παῖ, φάναι τὸν ψυκτῆρα ἐκεῖνον, ἰδόντα αὐτὸν πλέον ἢ ὀκτὼ κοτύλας χωροῦντα. τοῦτον οὖν ἐμπλησάμενον πρῶτον μὲν αὐτὸν ἐκπιεῖν, ἔπειτα τῷ Σωκράτει κελεύειν ἐγχεῖν.᾽ . . . ʽπαραμηκύνειν ἐγχειροῦντος τοῦ Ἀρχεβούλου, εὐκαιρότατα προχέων ὁ παῖς τοῦ οἰναρίου ἀνατρέπει τὸν ψυκτῆρα.᾽ Ἄλεξις Εἰσοικιζομένῳ φησί ʽτρικότυλον ψυγέα.᾽ Διώξιππος Φιλαργύρῳ*

*παρ᾽ Ὀλυμπίχου δὲ θηρικλείους ἔλαβεν ἕξ,*
*ἔπειτα τοὺς δύο ψυγέας.*

*Μένανδρος δ' ἐν τῷ ἐπιγραφομένῳ δράματι Χαλκεῖα φησί* e

τοῦτο δὴ τὸ νῦν ἔθος,
ἄκρατον, ἐβόων· τὴν μεγάλην· ψυκτῆρά τις
προὔπινεν αὐτοῖς, ἀθλίους ἀπολλύων.

*Ἐπιγένης δ' ἐν Ἡρωίνῃ καταλέγων πολλὰ ποτήρια καὶ τοῦ ψυγέως οὕτως μνημονεύει*

τὴν θηρίκλειον δεῦρο καὶ τὰ ῥοδιακὰ
κόμισον λαβὼν τοὺς παῖδας. εἶτ' οἴσεις μόνος
ψυκτῆρα, κύαθον, κυμβία.

*Στράττις Ψυχασταῖς*

ὃ δέ τις ψυκτῆρ', ὃ δέ τις κύαθον
χαλκοῦν κλέψας ἀπορῶν κεῖται,
κοτύλη δ' ἀνὰ χοίνικα μάττει.

*Ἄλεξις δ' ἐν Ἱππίσκῳ ψυκτηρίδιον καλεῖ διὰ τούτων* f

ἀπήντων τῷ ξένῳ,
εἰς τὴν κατάλυσιν ἦγον, ἦν δ' αἴθων ἀνήρ.
τοῖς παισί τ' εἶπα, δύο γὰρ ἦγον οἴκοθεν,
τἀκπώματ' εἰς τὸ φανερὸν ἐκνενιτρωμένα
θεῖναι. κύαθος δ' ἦν ἀργυροῦς, τἀκπώματα
ἦγεν δύο δραχμάς, κυμβίον δὲ τέτταρας
ἴσως ἑτέρας, ψυκτηρίδιον δὲ δύ' ὀβολούς, 503
Φιλιππίδου λεπτότερον.

109. *Ἡρακλέων δὲ ὁ Ἐφέσιος 'ὃν ἡμεῖς (φησὶ) ψυγέα καλοῦμεν, ψυκτηρίαν τινὲς ὀνομάζουσιν.' τοὺς δ' Ἀττικοὺς καὶ κωμῳδεῖν τὸν ψυγέα ὡς ξενικὸν ὄνομα. Εὔφρων ἐν Ἀποδιδούσῃ*

ἐπὰν δὲ καλέσῃ ψυγέα τὴν ψυκτηρίαν,
τὸ τευτλίον δὲ σεῦτλα, φακέα τὴν φακῆν,
τί δεῖ ποιεῖν; σὺ γὰρ εἶπον. Β. ὥσπερ χρυσίου
φωνῆς ἀπότισον, Πυργόθεμι, καταλλαγήν. b

*Ἀντιφάνης Ἱππεῦσι*

πῶς οὖν διαιτώμεσθα; Β. τὸ μὲν ἐφίππιον
στρῶμ' ἐστὶν ἡμῖν, ὁ δὲ καλὸς πῖλος καλὸς
ψυκτήρ. τί βούλει; πάντ' Ἀμαλθείας κέρας.

ἐν δὲ τῇ Καρίνῃ σαφῶς δηλοῦται ὅτι τούτῳ ἐχρῶντο οἰνοχοοῦντες κυάθῳ. εἰπὼν γὰρ

τρίποδα καὶ κάδον
παραθέμενος ψυκτῆρά τ' οἴνου . . .
μεθύσκεται.

c ἐν τοῖς ἑξῆς ποιεῖ αὐτὸν λέγοντα

ἔσται πότος
σφοδρότερος. οὐκοῦν, εἰ φράσαι τις, οὐκ ἔτι
ἔξεστι κυαθίζειν γάρ,
τὸν δὲ κάδον ἔξω καὶ τὸ ποτήριον λαβὼν
ἀπόφερε τἆλλα πάντα.

Διονύσιος δὲ ὁ τοῦ Τρύφωνος ἐν τῷ περὶ ὀνομάτων τὸν ψυγέα, φησίν, ἐκάλουν οἱ ἀρχαῖοι δῖνον. Νίκανδρος δ' ὁ Θυατειρηνὸς καλεῖσθαί φησι ψυκτήρια καὶ τοὺς ἀλσώδεις καὶ συσκίους τόπους τοὺς τοῖς θεοῖς ἀνειμένους, ἐν οἷς ἔστιν ἀναψῦξαι. Αἰσχύλος Νεανίσκοις

αὔρας ὑποσκίοισιν ἐν ψυκτηρίοις.

d Εὐριπίδης Φαέθοντι

ψυκτήρια
δένδρων φίλαισιν ὠλέναισι δέξεται.

καὶ ὁ τὸν Αἰγίμιον δὲ ποιήσας, εἴθ' Ἡσίοδός ἐστιν ἢ Κέρκωψ ὁ Μιλήσιος,

ἔνθα ποτ' ἔσται ἐμὸν ψυκτήριον, ὄρχαμε λαῶν.

110. ᾨΔΟΣ. οὕτως ἐκαλεῖτο τὸ ποτήριον, φησὶ Τρύφων ἐν τοῖς Ὀνοματικοῖς, τὸ ἐπὶ τῷ σκολίῳ διδόμενον, ὡς Ἀντιφάνης παρίστησιν ἐν Διπλασίοις

τί οὖν ἐνέσται τοῖς θεοῖσιν; Β. οὐδὲ ἕν,
e ἂν μὴ κεράσῃ τις. Α. ἔχε τὸν ᾠδόν, λάμβανε.

ἔπειτα μηδὲν τῶν ἀπηρχαιωμένων
τούτων περάνῃς, τὸν Τελαμῶνα, μηδὲ τὸν
Παιῶνα μηδ' Ἁρμόδιον.

ΩιΟΣΚΥΦΙΑ. περὶ τῆς ἰδέας τῶν ποτηρίων Ἀσκληπιάδης ὁ Μυρλεανὸς ἐν τῷ περὶ τῆς νεστορίδος φησὶν ὅτι δύο πυθμένας ἔχει, ἕνα μὲν τὸν κατὰ τὸ κύτος αὐτῷ συγκεχαλκευμένον, ἕτερον δὲ τὸν προσθετόν, ἀπ' ὀξέος ἀρχόμενον, καταλήγοντα δὲ εἰς πλατύτερον, f
ἐφ' οὗ ἵσταται τὸ ποτήριον.

ΩιΟΝ. Δείνων ἐν τρίτῳ Περσικῶν φησὶν οὕτως 'ἔστι δὲ ποτίβαζις, ἄρτος κρίθινος καὶ πύρινος ὀπτός, καὶ κυπαρίσσου στέφανος, καὶ οἶνος κεκραμένος ἐν ᾠῷ χρυσῷ, οὗ αὐτὸς βασιλεὺς πίνει.'

111. τοσαῦτα εἰπὼν ὁ Πλούταρχος καὶ ὑπὸ πάντων κροταλισθεὶς ᾔτησε φιάλην, ἀφ' ἧς σπείσας ταῖς Μούσαις καὶ τῇ τούτων Μνημοσύνῃ μητρὶ προύπινε πᾶσι φιλοτησίαν ἐπειπών 'φιάλαν ὡς εἴ τις ἀφνειᾶς ἀπὸ χειρὸς ἑλὼν ἔνδον ἀμπέλου καχλάζοισαν δρόσῳ 504
δωρήσεται' οὐ μόνον νεανίᾳ γαμβρῷ προπίνων ἀλλὰ καὶ πᾶσι τοῖς φιλτάτοις, ἔδωκε τῷ παιδὶ περισοβεῖν ἐν κύκλῳ κελεύσας, τὸ κύκλῳ πίνειν τοῦτ' εἶναι λέγων, παρατιθέμενος Μενάνδρου ἐκ Περινθίας

οὐδεμίαν ἡ γραῦς ὅλως
κύλικα παρῆκεν, ἀλλὰ πίνει τὴν κύκλῳ.

καὶ πάλιν ἐκ Θεοφορουμένης

παῖ, ταχὺ τὸ πρῶτον περισόβει ποτήριον
αὐτοῖς ἀκράτου.

καὶ Εὐριπίδης δ' ἐν Κρήσσαις b

τὰ δ' ἄλλα χαῖρε κύλικος ἑρπούσης κύκλῳ.

αἰτοῦντος δὲ τοῦ γραμματικοῦ Λεωνίδου μεῖζον ποτήριον καὶ εἰπόντος, κρατηρίζωμεν ἄνδρες φίλοι (οὕτως δὲ τοὺς πότους Λυσανίας φησὶν ὁ Κυρηναῖος

Ἡρόδωρον εἰρηκέναι ἐν τούτοις ‛ἐπεὶ δὲ θύσαντες
πρὸς δεῖπνον καὶ κρατῆρας καὶ εὐχὰς καὶ παιῶνας
ἐτράποντο.’ καὶ ὁ τοὺς μίμους δὲ πεποιηκώς, οὓς
ἀεὶ διὰ χειρὸς ἔχειν Δοῦρίς φησι τὸν σοφὸν Πλά-
τωνα, λέγει που κἠκεκρατηρίχημες ἀντὶ τοῦ πεπώ-
c κειμεν), ἀλλὰ μήν, πρὸς θεῶν, ὁ Ποντιανὸς ἔφη, οὐ
δεόντως ἐκ μεγάλων πίνετε ποτηρίων, τὸν ἥδιστον
καὶ χαριέστατον Ξενοφῶντα πρὸ ὀφθαλμῶν ἔχοντες,
ὃς ἐν τῷ Συμποσίῳ φησίν ‛ὁ δ’ αὖ Σωκράτης εἶπεν,
ἀλλὰ πίνειν μέν, ὦ ἄνδρες, καὶ ἐμοὶ πάνυ δοκεῖ.
τῷ γὰρ ὄντι ὁ οἶνος ἄρδων τὰς ψυχὰς τὰς μὲν λύπας
ὥσπερ ὁ μανδραγόρας ἀνθρώπους κοιμίζει, τὰς δὲ
φιλοφροσύνας ὥσπερ ἔλαιον φλόγα ἐγείρει. δοκεῖ
μέντοι μοι καὶ τὰ τῶν ἀνδρῶν σώματα ταὐτὰ πά-
σχειν ἅπερ καὶ τὰ τῶν ἐν γῇ φυομένων. καὶ γὰρ
d ἐκεῖνα, ὅταν μὲν ὁ θεὸς αὐτὰ ἄγαν ἀθρόως ποτίζῃ,
οὐ δύναται ὀρθοῦσθαι οὐδὲ ταῖς ὥραις διαπλοῦσθαι·
ὅταν δὲ ὅσῳ ἥδεται τοσοῦτο πίνῃ, καὶ μάλα ὀρθά τε
αὔξεται καὶ θάλλοντα ἀφικνεῖται εἰς τὴν καρπογονίαν.
οὕτω δὴ καὶ ἡμεῖς, ἢν μὲν ἀθρόον τὸ ποτὸν ἐγχεώ-
μεθα, ταχὺ ἡμῶν καὶ τὰ σώματα καὶ αἱ γνῶμαι σφα-
λοῦνται, καὶ οὐδ’ ἀναπνεῖν, μὴ ὅτι λέγειν δυνησό-
μεθα· ἢν δὲ ἡμῖν οἱ παῖδες μικραῖς κύλιξι μικρὰ ἐπι-
e ψακάζωσιν, ἵνα καὶ ἐγὼ γοργιείοισι ῥήμασιν εἴπω,
οὕτως οὐ βιαζόμενοι μεθύειν ὑπὸ τοῦ οἴνου, ἀλλ’
ἀναπειθόμενοι πρὸς τὸ παιγνιωδέστερον ἀφιξόμεθα.’

112. εἰς ταῦτά τις ἀποβλέπων τὰ τοῦ καλοῦ Ξε-
νοφῶντος ἐπιγινώσκειν δυνήσεται ἣν εἶχε πρὸς αὐ-
τὸν ὁ λαμπρότατος Πλάτων ζηλοτυπίαν. ἢ τάχα φι-
λονείκως εἶχον ἀρχῆθεν πρὸς ἑαυτοὺς οἱ ἄνδρες οὗτοι,
αἰσθόμενοι τῆς ἰδίας ἑκάτερος ἀρετῆς, καὶ ἴσως καὶ
περὶ πρωτείων διεφέροντο· οὐ μόνον ἐξ ὧν περὶ

Κύρου εἰρήκασι τεκμαιρομένοις ἡμῖν, ἀλλὰ κἀκ τῶν
αὐτῶν ὑποθέσεων. συμπόσια μὲν γὰρ γεγράφασιν
ἀμφότεροι, καὶ ἐν αὐτοῖς ὃ μὲν τὰς αὐλητρίδας ἐκ-
βάλλει ὃ δὲ εἰσάγει, καὶ ὃ μέν, ὡς πρόκειται, παραι- f
τεῖται πίνειν μεγάλοις ποτηρίοις ὃ δὲ τὸν Σωκράτην
παράγει τῷ ψυκτῆρι πίνοντα μέχρι τῆς ἕω. κἀν τῷ
περὶ ψυχῆς δὲ ὁ Πλάτων καταλεγόμενος ἕκαστον τῶν
παρατυχόντων οὐδὲ κατὰ μικρὸν τοῦ Ξενοφῶντος
μέμνηται. καὶ περὶ τοῦ Κύρου οὖν ὃ μὲν λέγει ὡς ἐκ
πρώτης ἡλικίας ἐπεπαίδευτο πάντα τὰ πάτρια, ὁ δὲ
Πλάτων ὥσπερ ἐναντιούμενος ἐν τρίτῳ Νόμων φησί 505
'μαντεύομαι δὲ περὶ Κύρου τὰ μὲν ἄλλα στρατηγὸν
αὐτὸν ἀγαθὸν εἶναι καὶ φιλόπονον, παιδείας δ' ὀρθῆς
οὐδὲ ἧφθαι τὸ παράπαν, οἰκονομίᾳ δ' οὐδ' ᾗτινι οὖν
προσεσχηκέναι. ἔοικε δ' ἐκ νέου στρατεύεσθαι, πα-
ραδούς τε τοὺς παῖδας ταῖς γυναιξὶ τρέφειν.' πάλιν
ὁ μὲν Ξενοφῶν συναναβὰς Κύρῳ εἰς Πέρσας μετὰ
τῶν μυρίων Ἑλλήνων καὶ ἀκριβῶς εἰδὼς τὴν προδο-
σίαν τοῦ Θεσσαλοῦ Μένωνος, ὅτι αὐτὸς αἴτιος ἐγέ-
νετο τοῖς περὶ Κλέαρχον τῆς ἀπωλείας τῆς ὑπὸ Τισ-
σαφέρνου γενομένης, καὶ οἷός τις ἦν τὸν τρόπον, ὡς b
χαλεπός, ὡς ἀσελγής, διηγησαμένου ὁ καλὸς Πλάτων
μονονουχὶ εἰπὼν 'οὐκ ἔστ' ἔτυμος λόγος οὗτος,' ἐγ-
κώμια αὐτοῦ διεξέρχεται ὁ τοὺς ἄλλους ἅπαξαπλῶς
κακολογήσας, ἐν μὲν τῇ Πολιτείᾳ Ὅμηρον ἐκβάλλων
καὶ τὴν μιμητικὴν ποίησιν, αὐτὸς δὲ τοὺς διαλόγους
μιμητικῶς γράψας, ὧν τῆς ἰδέας οὐδ' αὐτὸς εὑρετής
ἐστιν. πρὸ γὰρ αὐτοῦ τοῦθ' εὗρε τὸ εἶδος τῶν λόγων
ὁ Τήιος Ἀλεξαμενός, ὡς Νικίας ὁ Νικαεὺς ἱστορεῖ
καὶ Σωτίων. Ἀριστοτέλης δὲ ἐν τῷ περὶ ποιητῶν c
οὕτως γράφει 'οὐκοῦν οὐδὲ ἐμμέτρους τοὺς καλουμέ-
νους Σώφρονος μίμους μὴ φῶμεν εἶναι λόγους καὶ

μιμήσεις, ἢ τοὺς Ἀλεξαμενοῦ τοῦ Τηΐου τοὺς προτέρους γραφέντας τῶν σωκρατικῶν διαλόγων.᾽ ἄντικρυς φάσκων ὁ πολυμαθέστατος Ἀριστοτέλης πρὸ Πλάτωνος διαλόγους γεγραφέναι τὸν Ἀλεξαμενόν. διαβάλλει δὲ ὁ Πλάτων καὶ Θρασύμαχον τὸν Καλχηδόνιον, σοφιστὴν ὅμοιον εἶναι λέγων τῷ ὀνόματι. d ἔτι δὲ Ἱππίαν καὶ Γοργίαν καὶ Παρμενίδην καὶ ἐνὶ διαλόγῳ τῷ Πρωταγόρᾳ πολλούς, ὁ τοιαῦτα ἐν τῇ Πολιτείᾳ εἰπών ῾ὅταν, οἶμαι, δημοκρατουμένη πόλις ἐλευθερίας διψήσασα κακῶν οἰνοχόων τύχῃ καὶ ἀκράτου αὐτῆς μεθυσθῇ.᾽

113. λέγεται δὲ ὡς καὶ ὁ Γοργίας αὐτὸς ἀναγνοὺς τὸν ὁμώνυμον αὐτῷ διάλογον πρὸς τοὺς συνήθεις ἔφη, ὡς καλῶς οἶδε Πλάτων ἰαμβίζειν. Ἕρμιππος δὲ ἐν τῷ περὶ Γοργίου ῾ὡς ἐπεδήμησε (φησὶ) ταῖς Ἀθήναις Γοργίας μετὰ τὸ ποιήσασθαι τὴν ἀνάθεσιν τῆς ἐν Δελφοῖς ἑαυτοῦ χρυσῆς εἰκόνος, εἰπόντος τοῦ e Πλάτωνος ὅτε εἶδεν αὐτόν, ἥκει ἡμῖν ὁ καλός τε καὶ χρυσοῦς Γοργίας· ἔφη ὁ Γοργίας, ἦ καλόν γε αἱ Ἀθῆναι καὶ νέον τοῦτον Ἀρχίλοχον ἐνηνόχασιν.᾽ ἄλλοι δέ φασιν ὡς ἀναγνοὺς ὁ Γοργίας τὸν Πλάτωνος διάλογον πρὸς τοὺς παρόντας εἶπεν ὅτι οὐδὲν τούτων οὔτε εἶπεν οὔτε ἤκουσε [παρὰ Πλάτωνος]. ταὐτά φασι καὶ Φαίδωνα εἰπεῖν ἀναγνόντα τὸν περὶ ψυχῆς. διὸ καλῶς ὁ Τίμων περὶ αὐτοῦ ἔφη

ὡς ἀνέπλαττε Πλάτων ὁ πεπλασμένα θαύματα εἰδώς.

f Παρμενίδῃ μὲν γὰρ καὶ ἐλθεῖν εἰς λόγους τὸν τοῦ Πλάτωνος Σωκράτην μόλις ἡ ἡλικία συγχωρεῖ, οὐχ ὡς καὶ τοιούτους εἰπεῖν ἢ ἀκοῦσαι λόγους. τὸ δὲ πάντων σχετλιώτερον, καὶ τὸ εἰπεῖν οὐδεμιᾶς κατεπειγούσης χρείας ὅτι παιδικὰ γεγόνοι τοῦ Παρμενί-

δου Ζήνων ὁ πολίτης αὐτοῦ. ἀδύνατον δὲ καὶ Φαῖδρον οὐ μόνον κατὰ Σωκράτην εἶναι, ἦ πού γε καὶ ἐρώμενον αὐτοῦ γεγονέναι. ἀλλὰ μὴν οὐ δύνανται Πάραλος καὶ Ξάνθιππος οἱ Περικλέους υἱοὶ τελευτήσαντες τῷ λοιμῷ Πρωταγόρᾳ διαλέγεσθαι, ὅτε δεύ- 506
τερον ἐπεδήμησε ταῖς Ἀθήναις, οἱ πέμπτῳ ἔτει πρότερον τελευτήσαντες. πολλὰ δ' ἔστι καὶ ἄλλα λέγειν περὶ αὐτοῦ καὶ δεικνύναι ὡς ἔπλαττε τοὺς διαλόγους. 114. ὅτι δὲ καὶ δυσμενὴς ἦν πρὸς ἅπαντας δῆλον καὶ ἐκ τῶν ἐν τῷ Ἴωνι ἐπιγραφομένῳ. ἐν ᾧ πρῶτον μὲν κακολογεῖ πάντας τοὺς ποιητάς, ἔπειτα καὶ τοὺς ὑπὸ τοῦ δήμου προαγομένους, Φανόσθένη τὸν Ἄνδριον κἀπολλόδωρον τὸν Κυζικηνόν, ἔτι δὲ τὸν Κλαζομένιον Ἡρακλείδην. ἐν δὲ τῷ Μένωνι καὶ τοὺς μεγίστους παρ' Ἀθηναίοις γενομένους Ἀριστείδην καὶ Θεμιστοκλέα· Μένωνα δὲ ἐπαινεῖ τὸν τοὺς Ἕλληνας b
προδόντα. ἐν δὲ τῷ Εὐθυδήμῳ καὐτὸν καὶ τὸν ἀδελφὸν αὐτοῦ Διονυσόδωρον προπηλακίζων καὶ καλῶν ὀψιμαθεῖς ἔτι δὲ ἐριστὰς ὀνομάζων, ὀνειδίζει αὐτοῖς καὶ τὴν ἐκ Χίου τῆς πατρίδος φυγήν, ἀφ' ἧς ἐν Θουρίοις κατῳκίσθησαν. ἐν δὲ τῷ περὶ ἀνδρείας Μελησίαν τὸν Θουκυδίδου τοῦ ἀντιπολιτευσαμένου Περικλεῖ καὶ Λυσίμαχον τὸν Ἀριστείδου τοῦ δικαίου, τῆς τῶν πατέρων ἀρετῆς ἀναξίους εἶναι φά- c
σκων. ἃ δὲ περὶ Ἀλκιβιάδου εἴρηκεν ἐν τῷ Συμποσίῳ οὐδ' εἰς φῶς λέγεσθαί ἐστιν ἄξιον ἔν τε τῷ προτέρῳ τῶν εἰς αὐτὸν διαλόγων· ὁ γὰρ δεύτερος ὑπό τινων Ξενοφῶντος εἶναι λέγεται, ὡς καὶ ἡ Ἀλκυὼν Λέοντος τοῦ ἀκαδημιακοῦ, ὥς φησι Νικίας ὁ Νικαεύς. τὰ μὲν οὖν κατ' Ἀλκιβιάδου λεχθέντα σιωπῶ· ὅτι δὲ τὸν Ἀθηναίων δῆμον εἰκαῖον εἴρηκε κριτὴν [ἔτι πρόκωπον], Λακεδαιμονίους δὲ ἐπαινῶν ἐπαινεῖ καὶ τοὺς

πάντων Ἑλλήνων ἐχθροὺς Πέρσας, καὶ τὸν ἀδελφὸν d δὲ τοῦ Ἀλκιβιάδου Κλεινίαν μαινόμενον [τε] ἀποφαίνει καὶ τοὺς υἱοὺς αὐτοῦ ἠλιθίους, Μειδίαν τε ὀρτυγοκόπον, καὶ τὸν τῶν Ἀθηναίων δῆμον εὐπρόσωπον μὲν εἶναι δεῖν δ' αὐτὸν ἀποδύσαντας θεωρεῖν· ὀφθήσεται γάρ, φησί, περίβλεπτον ἀξίωμα περικείμενος κάλλους οὐκ ἀληθινοῦ.

115. ἐν δὲ τῷ Κίμωνι οὐδὲ τῆς Θεμιστοκλέους φείδεται κακηγορίας, οὐδὲ τῆς Περικλέους καὶ Μυρωνίδου, ἀλλ' οὐδ' αὐτοῦ τοῦ Κίμωνος. καὶ ὁ Κρίτων δ' αὐτοῦ Σοφοκλέους περιέχει καταδρομήν. ὁ δὲ Γοργίας οὐ μόνον ἀφ' οὗ τοὐπίγραμμα, ἀλλὰ καὶ e Ἀρχελάου τοῦ Μακεδονίας βασιλέως· ὃν οὐ μόνον ἐπονείδιστον γένος ἔχειν, ἀλλ' ὅτι καὶ ἀπέκτεινε τὸν δεσπότην. οὗτος δ' ἐστὶ Πλάτων, ὃν Σπεύσιππός φησι φίλτατον ὄντα Ἀρχελάῳ Φιλίππῳ τῆς βασιλείας αἴτιον γενέσθαι. γράφει γοῦν Καρύστιος ὁ Περγαμηνὸς ἐν τοῖς ἱστορικοῖς ὑπομνήμασιν οὕτως ʽ Σπεύσιππος πυνθανόμενος Φίλιππον βλασφημεῖν περὶ Πλάτωνος εἰς ἐπιστολὴν ἔγραψέ τι τοιοῦτον ʽ ὥσπερ ἀγνοοῦντας τοὺς ἀνθρώπους ὅτι καὶ τὴν ἀρχὴν τῆς βασιλείας Φίλιππος διὰ Πλάτωνος ἔσχεν. Εὐφραῖον f γὰρ ἀπέστειλε τὸν Ὠρείτην πρὸς Περδίκκαν Πλάτων, ὃς ἔπεισεν ἀπομερίσαι τινὰ χώραν Φιλίππῳ. διατρέφων δ' ἐνταῦθα δύναμιν, ὡς ἀπέθανε Περδίκκας, ἐξ ἑτοίμου δυνάμεως ὑπαρχούσης ἐπέπεσε τοῖς πράγμασι.' τοῦτο δ' εἴπερ οὕτως ἀληθείας ἔχει θεὸς ἂν εἰδείη. ὁ δὲ καλὸς αὐτοῦ Πρωταγόρας πρὸς τῷ καταδρομὴν ἔχειν πολλῶν ποιητῶν καὶ σοφῶν ἀνδρῶν ἐκθεατριζόμενον ἔχει καὶ τὸν Καλλίου βίον μᾶλλον τῶν Εὐπόλιδος Κολάκων. ἐν δὲ τῷ Μενεξένῳ οὐ μόνον Ἱππίας ὁ Ἠλεῖος χλευάζεται, ἀλλὰ καὶ ὁ Ῥαμνού-

σιος Ἀντιφῶν καὶ ὁ μουσικὸς Λάμπρος. ἐπιλίποι δ'
ἄν με ἡ ἡμέρα, εἰ πάντας ἐθελήσαιμι ἐπελθεῖν τοὺς 507
κακῶς ἀκούσαντας ὑπὸ τοῦ σοφοῦ. ἀλλὰ μὴν οὐδ'
Ἀντισθένη ἐπαινῶ. καὶ γὰρ οὗτος πολλοὺς εἰπὼν
κακῶς οὐδ' αὐτοῦ τοῦ Πλάτωνος ἀπέσχετο, ἀλλὰ
καλέσας αὐτὸν φορτικῶς Σάθωνα τὸν ταύτην ἔχοντα
τὴν ἐπιγραφὴν διάλογον ἐξέδωκεν.

116. Ἡγήσανδρος δ' ὁ Δελφὸς ἐν τοῖς ὑπομνή-
μασι περὶ τῆς πρὸς πάντας τοῦ Πλάτωνος κακοη-
θείας λέγων γράφει καὶ ταῦτα ʻμετὰ τὴν Σωκράτους
τελευτὴν ἐπὶ πλεῖον τῶν συνήθων ἀθυμούντων ἔν
τινι συνουσίᾳ Πλάτων συμπαρὼν λαβὼν τὸ ποτήριον b
παρεκάλει μὴ ἀθυμεῖν αὐτούς, ὡς ἱκανὸς αὐτὸς εἴη
ἡγεῖσθαι τῆς σχολῆς, καὶ προέπιεν Ἀπολλοδώρῳ. καὶ
ὃς εἶπεν, ἥδιον ἂν παρὰ Σωκράτους τὴν τοῦ φαρμά-
κου κύλικα εἰλήφειν ἢ παρὰ σοῦ τὴν τοῦ οἴνου πρό-
ποσιν. ἐδόκει γὰρ Πλάτων φθονερὸς εἶναι καὶ κατὰ
τὸ ἦθος οὐδαμῶς εὐδοκιμεῖν. καὶ γὰρ Ἀρίστιππον
πρὸς Διονύσιον ἀποδημήσαντα ἔσκωπτεν, αὐτὸς τρὶς
εἰς Σικελίαν ἐκπλεύσας· ἅπαξ μὲν τῶν ῥυάκων χά-
ριν, ὅτε καὶ τῷ πρεσβυτέρῳ Διονυσίῳ συγγενόμενος
ἐκινδύνευσε, δὶς δὲ πρὸς τὸν νεώτερον Διονύσιον. c
Αἰσχίνου τε πένητος ὄντος καὶ μαθητὴν ἕνα ἔχοντος
Ξενοκράτην, τοῦτον περιέσπασε. καὶ Φαίδωνι δὲ
τὴν τῆς δουλείας ἐφιστὰς δίκην ἐφωράθη· καὶ τὸ καθ-
όλου πᾶσι τοῖς Σωκράτους μαθηταῖς ἐπεφύκει μη-
τρυιᾶς ἔχων διάθεσιν. διόπερ Σωκράτης οὐκ ἀηδῶς
περὶ αὐτοῦ στοχαζόμενος ἐνύπνιον ἔφησεν ἑορακέναι
πλειόνων παρόντων. δοκεῖν γὰρ ἔφη τὸν Πλάτωνα
κορώνην γενόμενον ἐπὶ τὴν κεφαλήν μου ἀναπηδή-
σαντα τὸ φαλακρόν μου κατασκαριφᾶν καὶ κρώζειν
περιβλέπουσαν. δοκῶ οὖν σε, ὦ Πλάτων, πολλὰ κατὰ d

τῆς ἐμῆς ψεύδεσθαι κεφαλῆς. ἦν δὲ ὁ Πλάτων πρὸς τῇ κακοηθείᾳ καὶ φιλόδοξος, ὅστις ἔφησεν, ἔσχατον τὸν τῆς δόξης χιτῶνα ἐν τῷ θανάτῳ αὐτῷ ἀποδυόμεθα, ἐν διαθήκαις, ἐν ἐκκομιδαῖς, ἐν τάφοις· ὥς φησι Διοσκουρίδης ἐν τοῖς ἀπομνημονεύμασι. καὶ τὸ πόλιν δὲ θελῆσαι κτίσαι καὶ τὸ νομοθετῆσαι τίς οὐ φήσει πάθος εἶναι φιλοδοξίας; δῆλον δέ ἐστι τοῦτο ἐξ ὧν ἐν τῷ Τιμαίῳ λέγει ʽπέπονθά τι πάθος πρὸς e τὴν πολιτείαν, ὥσπερ ἂν εἰ ζωγράφος ἐβούλετο τὰ ἑαυτοῦ ἔργα κινούμενα καὶ ἐνεργὰ ἰδεῖν, οὕτω κἀγὼ τοὺς πολίτας οὓς διαγράφω.ʼ

117. περὶ δὲ τῶν ἐν τοῖς διαλόγοις αὐτοῦ λελεγμένων τί ἂν καὶ λέγοι τις; ἡ μὲν γὰρ ψυχὴ ἡ διαπλαττομένη ἀθάνατος ὑπʼ αὐτοῦ καὶ κατὰ τὴν ἀπόλυσιν χωριζομένη τοῦ σώματος παρὰ πρώτῳ εἴρηται Ὁμήρῳ. οὗτος γὰρ εἶπεν ὡς ἡ τοῦ Πατρόκλου ψυχὴ

ἄιδόσδε κατῆλθεν,
ὃν πότμον γοόωσα, λιποῦσʼ ἀνδροτῆτα καὶ ἥβην.

εἰ δʼ οὖν καὶ Πλάτωνος φήσειέ τις εἶναι τὸν λόγον, f οὐχ ὁρῶ τίνʼ ἐσχήκαμεν ἀπʼ αὐτοῦ ὠφέλειαν. ἐὰν γὰρ καὶ συγχωρήσῃ τις μεθίστασθαι τὰς τῶν τετελευτηκότων ψυχὰς εἰς ἄλλας φύσεις καὶ πρὸς τὸν μετεωρότερον καὶ καθαρώτερον ἀνέρχεσθαι τόπον, ἅτε κουφότητος μετεχούσας, τί πλέον ἡμῖν; ὧν γὰρ μήτʼ ἀνάμνησίς ἐστιν οὗ ποτε ἦμεν μήτʼ αἴσθησις εἰ καὶ τὸ σύνολον ἦμεν, τίς χάρις ταύτης τῆς ἀθανασίας; οἱ δὲ συντεθέντες ὑπʼ αὐτοῦ νόμοι καὶ τούτων 508 ἔτι πρότερον ἡ πολιτεία τί πεποιήκασιν; καίτοι γʼ ἔδει, καθάπερ τὸν Λυκοῦργον τοὺς Λακεδαιμονίους καὶ τὸν Σόλωνα τοὺς Ἀθηναίους καὶ τὸν Ζάλευκον τοὺς Θουρίους, καὶ αὐτόν, εἴπερ ἦσαν χρήσιμοι, πεῖσαί τινας τῶν Ἑλλήνων αὐτοῖς χρήσασθαι. νόμος γὰρ

ἐστιν, ὥς φησιν Ἀριστοτέλης, λόγος ὡρισμένος καθ'
ὁμολογίαν κοινὴν πόλεως, μηνύων πῶς δεῖ πράττειν
ἕκαστα. ὁ δὲ Πλάτων πῶς οὐκ ἄτοπος, τριῶν Ἀθη-
ναίων γενομένων νομοθετῶν τῶν γε δὴ γνωριζομέ-
νων, Δράκοντος καὶ Σόλωνος καὶ αὐτοῦ τοῦ Πλάτω-
νος, τῶν μὲν τοῖς νόμοις ἐμμένειν τοὺς πολίτας, τῶν
δὲ τοῦ Πλάτωνος καὶ προσκαταγελᾶν; ὁ δ' αὐτὸς λό- b
γος καὶ περὶ τῆς πολιτείας· εἰ καὶ πασῶν εἴη αὕτη
βελτίων, μὴ πείθοι δ' ἡμᾶς, τί πλέον; ἔοικεν οὖν ὁ
Πλάτων οὐ τοῖς οὖσιν ἀνθρώποις γράψαι τοὺς νό-
μους ἀλλὰ τοῖς ὑπ' αὐτοῦ διαπλαττομένοις, ὥστε
καὶ ζητεῖσθαι τοὺς χρησομένους. ἐχρῆν οὖν ἃ πείσει
λέγων, ταῦτα καὶ γράφειν, καὶ μὴ ταὐτὰ ποιεῖν
τοῖς εὐχομένοις ἀλλὰ τοῖς τῶν ἐνδεχομένων ἀντε-
χομένοις.

118. χωρὶς τοίνυν τούτων, εἴ τις διεξίοι τοὺς
Τιμαίους αὐτοῦ καὶ τοὺς Γοργίας καὶ τοὺς ἄλλους δὲ c
τοὺς τοιούτους διαλόγους, ἐν οἷς καὶ περὶ τῶν ἐν τοῖς
μαθήμασι διεξέρχεται καὶ περὶ τῶν κατὰ φύσιν καὶ
περὶ πλειόνων ἄλλων, οὐδ' ὣς διὰ ταῦτα θαυμαστέος
ἐστίν. ἔχει γάρ τις καὶ παρ' ἑτέρων ταῦτα λαβεῖν ἢ
βέλτιον λεχθέντα ἢ μὴ χεῖρον. καὶ γὰρ Θεόπομπος ὁ
Χῖος ἐν τῷ κατὰ τῆς Πλάτωνος διατριβῆς 'τοὺς πολ-
λοὺς (φησὶ) τῶν διαλόγων αὐτοῦ ἀχρείους καὶ ψευ-
δεῖς ἄν τις εὕροι· ἀλλοτρίους δὲ τοὺς πλείους, ὄντας
ἐκ τῶν Ἀριστίππου διατριβῶν, ἐνίους δὲ κἀκ τῶν d
Ἀντισθένους, πολλοὺς δὲ κἀκ τῶν Βρύσωνος τοῦ
Ἡρακλεώτου.' ἀλλὰ τὰ κατὰ τὸν ἄνθρωπον, ἅπερ
ἐπαγγέλλεται καὶ ἡμεῖς ζητοῦμεν ἐκ τῶν ἐκείνου λό-
γων, [ὅπερ] οὐχ εὑρίσκομεν· ἀλλὰ συμπόσια μὲν καὶ
λόγους ὑπὲρ ἔρωτος εἰρημένους καὶ μάλ' ἀπρεπεῖς,
οὓς καταφρονῶν τῶν ἀναγνωσομένων συνέθηκεν,

ὥσπερ καὶ οἱ πολλοὶ τῶν μαθητῶν αὐτοῦ τυραννικοί τινες καὶ διάβολοι γενόμενοι.

119. Εὐφραῖος μὲν γὰρ παρὰ Περδίκκᾳ τῷ βα-
e σιλεῖ διατρίβων ἐν Μακεδονίᾳ οὐχ ἧττον αὐτοῦ ἐβασίλευε, φαῦλος ὢν καὶ διάβολος. ὃς οὕτω ψυχρῶς συνέταξε τὴν ἑταιρίαν τοῦ βασιλέως ὥστε οὐκ ἐξῆν τοῦ συσσιτίου μετασχεῖν, εἰ μή τις ἐπίσταιτο τὸ γεωμετρεῖν ἢ τὸ φιλοσοφεῖν. ὅθεν Φιλίππου τὴν ἀρχὴν παραλαβόντος Παρμενίων αὐτὸν ἐν Ὠρεῷ λαβὼν ἀπέκτεινεν, ὥς φησι Καρύστιος ἐν ἱστορικοῖς ὑπομνήμασιν. καὶ Κάλλιππος δὲ ὁ Ἀθηναῖος, μαθητὴς καὶ αὐτὸς Πλάτωνος, ἑταῖρος Δίωνος καὶ συμμαθητὴς
f γενόμενος, καὶ συναποδημήσας αὐτῷ εἰς Συρακούσας, ὁρῶν ἤδη τὸν Δίωνα ἐξιδιοποιούμενον τὴν μοναρχίαν ἀποκτείνας αὐτὸν καὶ αὐτὸς τυραννεῖν ἐπιχειρήσας ἐπεσφάγη. Εὐάγων δ' ὁ Λαμψακηνός, ὥς φασιν Εὐρύπυλος καὶ Δικαιοκλῆς ὁ Κνίδιος ἐν εἰκοστῷ καὶ πρώτῳ Διατριβῶν, ἔτι δὲ Δημοχάρης ὁ ῥήτωρ ἐν τῷ ὑπὲρ Σοφοκλέους πρὸς Φίλωνα, δανείσας τῇ πατρίδι ἀργύριον ἐπὶ ἐνεχύρῳ τῇ ἀκροπόλει καὶ ἀποστερήσας τυραννεῖν ἐβουλεύετο, ἕως συνδραμόντες ἐπ' αὐτὸν οἱ Λαμψακηνοὶ καὶ τὰ χρήματα
509 ἀποδόντες ἐξέβαλον. Τιμόλαος δ' ὁ Κυζικηνός, ὡς ὁ αὐτὸς Δημοχάρης φησί, χρήματα καὶ σῖτον ἐπιδοὺς τοῖς πολίταις, καὶ διὰ ταῦτα πιστευθεὶς εἶναι χρηστὸς παρὰ τοῖς Κυζικηνοῖς, μικρὸν ἐπισχὼν χρόνον ἐπέθετο τῇ πολιτείᾳ δι' Ἀριδαίου. κριθεὶς δὲ καὶ ἁλοὺς καὶ ἀδοξήσας ἐν μὲν τῇ πόλει ἐπέμενε παλαιὸς καὶ γεγηρακώς, ἀτίμως δὲ καὶ ἀδόξως διαζῶν. τοιοῦτοι δ' εἰσὶ καὶ νῦν τῶν ἀκαδημιακῶν τινές, ἀνοσίως καὶ ἀδόξως βιοῦντες. χρημάτων γὰρ ἐξ ἀσεβείας καὶ παρὰ φύσιν κυριεύσαντες διὰ γοητείαν νῦν εἰσὶ

περίβλεπτοι· ὥσπερ καὶ Χαίρων ὁ Πελληνεύς, ὃς οὐ b μόνον Πλάτωνι ἐσχόλακεν ἀλλὰ καὶ Ξενοκράτει. καὶ οὗτος οὖν τῆς πατρίδος πικρῶς τυραννήσας οὐ μόνον τοὺς ἀρίστους τῶν πολιτῶν ἐξήλασεν, ἀλλὰ καὶ τοῖς τούτων δούλοις τὰ κτήματα τῶν δεσποτῶν χαρισάμενος καὶ τὰς ἐκείνων γυναῖκας συνῴκισε πρὸς γάμου κοινωνίαν, ταῦτ' ὠφεληθεὶς ἐκ τῆς καλῆς πολιτείας καὶ τῶν παρανόμων νόμων.

120. διὸ καὶ Ἔφιππος ὁ κωμῳδιοποιὸς ἐν Ναυαγῷ Πλάτωνά τε αὐτὸν καὶ τῶν γνωρίμων τινὰς κεκω- c μῴδηκεν ὡς καὶ ἐπ' ἀργυρίῳ συκοφαντοῦντας, ἐμφαίνων ὅτι καὶ πολυτελῶς ἠσκοῦντο, καὶ ὅτι τῆς εὐμορφίας τῶν καθ' ἡμᾶς ἀσελγῶν πλείονα πρόνοιαν ἐποιοῦντο. λέγει δὲ οὕτως

ἔπειτ' ἀναστὰς εὔστοχος νεανίας
τῶν ἐξ ἀκαδημείας τις ὑπὸ Πλάτωνα καὶ
βρυσωνοθρασυμαχειοληψικερμάτῳ
πληγεὶς ἀνάγκῃ, διψιλογομίσθῳ τέχνῃ
συνών τις, οὐκ ἄσκεπτα δυνάμενος λέγειν, d
εὖ μὲν μαχαίρᾳ ξύστ' ἔχων τριχώματα,
εὖ δ' ὑποκαθιεὶς ἄτομα πώγωνος βάθη,
εὖ δ' ἐν πεδίλῳ πόδα τιθεὶς ὑποξύλῳ . . .
κνήμης ἱμάντων ἰσομέτροις ἑλίγμασιν,
ὄγκῳ τε χλανίδος εὖ τεθωρακισμένος,
σχῆμ' ἀξιόχρεων ἐπικαθεὶς βακτηρίᾳ
ἀλλότριον οὐκ οἰκεῖον, ὡς ἐμοὶ δοκεῖ,
ἔλεξεν 'ἄνδρες τῆς Ἀθηναίων χθονός.' e

μέχρι τούτων ἡμῖν πεπεραιώσθω καὶ ἥδε ἡ συναγωγή, φίλτατε Τιμόκρατες. ἑξῆς δὲ ἐροῦμεν περὶ τῶν ἐπὶ τρυφῇ διαβοήτων γενομένων.

---

# IB

510 *Ἄνθρωπος εἶναί μοι Κυρηναῖος δοκεῖς, κατὰ τὸν Ἀλέξιδος Τυνδάρεων, ἑταῖρε Τιμόκρατες·*

*κἀκεῖ γὰρ ἄν τις ἐπὶ τὸ δεῖπνον ἕνα καλῇ,*
*πάρεισιν ὀκτωκαίδεκ' ἄλλοι καὶ δέκα*
*ἅρματα συνωρίδες τε πεντεκαίδεκα,*
*τούτοις δὲ δεῖ σε τἀπιτήδει' ἐμβαλεῖν·*
*ὥστ' ἦν κράτιστον μηδὲ καλέσαι μηδ' ἕνα.*

*κἀμοὶ δ' ἦν κράτιστον σιωπᾶν καὶ μὴ ἐπὶ τοσούτοις*
b *προειρημένοις ἕτερα προστιθέναι· ἀλλ' ἐπεὶ πάνυ λιπαρῶς ἡμᾶς ἀπαιτεῖς καὶ τὸν περὶ τῶν ἐπὶ τρυφῇ διαβοήτων γενομένων λόγον καὶ τῆς τούτων ἡδυπαθείας.*

2. *ἡ γὰρ ἀπόλαυσις δήπου μετ' ἐπιθυμίας πρῶτον, ἔπειτα μεθ' ἡδονῆς. καίτοι Σοφοκλῆς γ' ὁ ποιητής, τῶν ἀπολαυστικῶν γε εἷς ὤν, ἵνα μὴ κατηγορῇ τοῦ γήρως, εἰς σωφροσύνην ἔθετο τὴν ἀσθένειαν αὑτοῦ τὴν περὶ τὰς τῶν ἀφροδισίων ἀπολαύσεις, φήσας ἄσμενος ἀπηλλάχθαι αὐτῶν ὥσπερ τινὸς δεσπότου. ἐγὼ δέ φημι καὶ τὴν τοῦ Πάριδος κρίσιν*
c *ὑπὸ τῶν παλαιοτέρων πεποιῆσθαι ἡδονῆς πρὸς ἀρετὴν οὖσαν σύγκρισιν. προκριθείσης γοῦν τῆς Ἀφροδίτης, αὕτη δ' ἐστὶν ἡ ἡδονή, πάντα συνεταράχθη. καί μοι δοκεῖ καὶ ὁ καλὸς ἡμῶν Ξενοφῶν τὸν περὶ τὸν Ἡρακλέα καὶ τὴν ἀρετὴν μῦθον ἐντεῦθεν πεπλακέναι. κατὰ γὰρ τὸν Ἐμπεδοκλέα*

*οὐδέ τις ἦν κείνοισιν Ἄρης θεὸς οὐδὲ Κυδοιμός,*
d *οὐδὲ Ζεὺς βασιλεὺς οὐδὲ Κρόνος οὐδὲ Ποσειδῶν,*
*ἀλλὰ Κύπρις βασίλεια . . .*
*τὴν οἵ γ' εὐσεβέεσσιν ἀγάλμασιν ἱλάσκοντο,*

γραπτοῖς τε ζῴοισι μύροισί τε δαιδαλεόδμοις,
σμύρνης τ' ἀκρήτου θυσίαις λιβάνου τε θυώδους,
ξανθῶν τε σπονδὰς μελίτων ῥίπτοντες ἐς οὖδας.

καὶ Μένανδρος δ' ἐν Κιθαριστῇ περί τινος μουσικευομένου λέγων φησί

φιλόμουσον εἶναι αὐτὸν πάνυ 511
ἀκούσματ' εἰς τρυφήν τε παιδεύεσθ' ἀεί.

3. καίτοι τινές φασι κατὰ φύσιν εἶναι τὴν ἡδονὴν ἐκ τοῦ πάντα ζῷα δεδουλῶσθαι ταύτῃ, ὥσπερ οὐχὶ καὶ δειλίας καὶ φόβου καὶ τῶν ἄλλων παθημάτων κοινῶς μὲν ἐν ἅπασιν ὄντων, παρὰ δὲ τοῖς λογισμῷ χρωμένοις ἀποδοκιμαζομένων. τὸ οὖν ἡδονὰς διώκειν προπετῶς λύπας ἐστὶ θηρεύειν. διόπερ Ὅμηρος ἐπονείδιστον βουλόμενος ποιῆσαι τὴν ἡδονὴν καὶ τῶν θεῶν φησὶ τοὺς μεγίστους οὐδὲν ὑπὸ τῆς σφετέρας ὠφελεῖσθαι δυνάμεως, ἀλλὰ τὰ μέγιστα βλάπτεσθαι προενεχθέντας ὑπ' αὐτῆς. b ὅσα μὲν γὰρ ἀγρυπνῶν ὁ Ζεὺς ἐφρόντιζεν ὑπὲρ τῶν Τρώων, ταῦτ' ἀπώλεσε μεθ' ἡμέραν ὑφ' ἡδονῆς κρατηθείς. καὶ ὁ Ἄρης ἀλκιμώτατος ὢν ὑπὸ τοῦ ἀσθενεστάτου Ἡφαίστου συνεποδίσθη, καὶ ὦφλεν αἰσχύνην καὶ ζημίαν ἐκδοὺς ἑαυτὸν ἔρωσιν ἀλογίστοις. φησὶ γοῦν πρὸς τοὺς θεούς, ὅτ' ἦλθον αὐτὸν θεασόμενοι δεδεμένον,

οὐκ ἀρετᾷ κακὰ ἔργα· κιχάνει τοι βραδὺς ὠκύν·
ὡς καὶ νῦν Ἥφαιστος ἐὼν βραδὺς εἷλεν Ἄρηα, c
ὠκύτατόν περ ἐόντα θεῶν οἳ Ὄλυμπον ἔχουσι,
χωλὸς ἐὼν τέχνῃσι· τὸ καὶ ζωάγρι' ὀφέλλει.

οὐδεὶς δὲ λέγει τὸν Ἀριστείδου βίον ἡδύν, ἀλλὰ τὸν Σμινδυρίδου τοῦ Συβαρίτου καὶ τὸν Σαρδαναπάλλου. καίτοι κατά γε τὴν δόξαν, φησὶν ἐν τῷ περὶ

ἡδονῆς Θεόφραστος, οὐχ ὁμοίως λαμπρός ἐστιν· ἀλλ' οὐκ ἐτρύφησεν ὥσπερ ἐκεῖνοι. οὐδὲ τὸν Ἀγησιλάου τοῦ Λακεδαιμονίων βασιλέως· ἀλλὰ μᾶλλον, εἰ ἔτυχε, τὸν Ἀνάνιος, οὕτως ἀοράτου κατὰ δόξαν ὄντος. οὐδὲ
d τὸν τῶν ἡμιθέων τῶν ἐπὶ Τροίας, ἀλλὰ πολλῷ μᾶλλον τὸν τῶν νῦν. καὶ τοῦτ' εἰκότως. ὃ μὲν γὰρ ἀκατάσκευος καὶ καθάπερ ἀνεύρετος ἦν οὔτ' ἐπιμιξίας οὔσης οὔτε τῶν τεχνῶν διηκριβωμένων, ὃ δὲ πᾶσιν ἐξηρτυμένος πρὸς ῥᾳστώνην καὶ πρὸς ἀπόλαυσιν καὶ πρὸς τὰς ἄλλας διαγωγάς.

4. Πλάτων δὲ ἐν τῷ Φιλήβῳ φησίν 'ἡδονὴ μὲν γὰρ ἁπάντων ἀλαζονίστατον. ὡς δὲ λόγος, καὶ ἐν
e ταῖς ἡδοναῖς ταῖς περὶ τὰ ἀφροδίσια, ἃ δὴ μέγιστα δοκοῦσιν εἶναι, καὶ τὸ ἐπιορκεῖν συγγνώμην εἴληφε παρὰ θεῶν, ὥσπερ καθάπερ παίδων τῶν ἡδονῶν οὐδὲ τὸν λογισμὸν κεκτημένων.' ἐν δὲ τῷ ὀγδόῳ τῆς Πολιτείας ὁ αὐτὸς Πλάτων πρότερος ὑπέδειξε τὸ ὑπὸ τῶν ἐπικουρείων θρυλούμενον, ὅτι τῶν ἐπιθυμιῶν αἳ μέν εἰσι φυσικαὶ μὲν οὐκ ἀναγκαῖαι δέ, αἳ δὲ οὔτε φυσικαὶ οὔτ' ἀναγκαῖαι, γράφων οὕτως 'ἆρ' οὖν οὐχὶ ἡ τοῦ φαγεῖν μέχρι ὑγιείας καὶ εὐεξίας καὶ αὐ-
f τοῦ σίτου καὶ ὄψου ἀναγκαῖος ἂν εἴη; ἡ μέν γέ που τοῦ σίτου κατ' ἀμφότερα ἀναγκαία, ᾗ τε ὠφέλιμος ᾗ τε παῦσαι πεινῶντας δυνατή. Ναί. Ἡ δὲ ὄψου, εἴ πῃ τινὰ ὠφέλειαν πρὸς εὐεξίαν παρέχεται. Πάνυ μὲν οὖν. Τί δαί; ἡ πέρα τούτων καὶ ἀλλοίων ἐδεσμάτων ἢ τοιούτων ἐπιθυμία, δυνατὴ δὲ κολαζομένη ἐκ νέων
512 πολλῶν ἀπαλλάττεσθαι, καὶ βλαβερὰ μὲν σώματι βλαβερὰ δὲ ψυχῇ πρός τε φρόνησιν καὶ πρὸς τὸ σωφρονεῖν, ἆρά γε [ὀρθῶς καὶ ἀναγκαία ἂν καλοῖτο; Ὀρθότατα μὲν οὖν.'

5. Ἡρακλείδης δ' ὁ Ποντικὸς ἐν τῷ περὶ ἡδονῆς

τάδε λέγει· οἱ τύραννοι καὶ οἱ βασιλεῖς τῶν ἀγαθῶν ὄντες κύριοι καὶ πάντων εἰληφότες πεῖραν τὴν ἡδονὴν προκρίνουσι, μεγαλοψυχοτέρας ποιούσης τῆς ἡδονῆς τὰς τῶν ἀνθρώπων φύσεις. ἅπαντες γοῦν οἱ τὴν ἡδονὴν τιμῶντες καὶ τρυφᾶν προῃρημένοι μεγαλόψυχοι καὶ μεγαλοπρεπεῖς εἰσιν, ὡς Πέρσαι καὶ Μῆδοι. μάλιστα γὰρ τῶν ἄλλων ἀνθρώπων τὴν ἡδο- b
νὴν οὗτοι καὶ τὸ τρυφᾶν τιμῶσιν ἀνδρειότατοι καὶ μεγαλοψυχότατοι τῶν βαρβάρων ὄντες. ἔστι γὰρ τὸ μὲν ἥδεσθαι καὶ τὸ τρυφᾶν ἐλευθέρων· ἀνίησι γὰρ τὰς ψυχὰς καὶ αὔξει· τὸ δὲ πονεῖν δούλων καὶ ταπεινῶν· διὸ καὶ συστέλλονται οὗτοι τὰς φύσεις. καὶ ἡ Ἀθηναίων πόλις ἕως ἐτρύφα μεγίστη τε ἦν καὶ μεγαλοψυχοτάτους ἔτρεφεν ἄνδρας. ἁλουργῆ μὲν γὰρ ἠμπίσχοντο ἱμάτια, ποικίλους δ᾽ ὑπέδυνον χιτῶνας, c
κορύμβους δ᾽ ἀναδούμενοι τῶν τριχῶν χρυσοῦς τέττιγας περὶ τὸ μέτωπον καὶ τὰς κόμας ἐφόρουν· ὀκλαδίας τε αὐτοῖς δίφρους ἔφερον οἱ παῖδες, ἵνα μὴ καθίζοιεν ὡς ἔτυχεν. καὶ οὗτοι ἦσαν οἱ τοιοῦτοι, οἱ τὴν ἐν Μαραθῶνι νικήσαντες μάχην καὶ μόνοι τὴν τῆς Ἀσίας ἁπάσης δύναμιν χειρωσάμενοι. καὶ οἱ φρονιμώτατοι δέ, φησί, καὶ μεγίστην δόξαν ἐπὶ σοφίᾳ ἔχοντες μέγιστον ἀγαθὸν τὴν ἡδονὴν εἶναι νομίζουσι. Σιμωνίδης μὲν οὑτωσὶ λέγων

> τίς γὰρ ἁδονᾶς ἄτερ θνατῶν βίος ποθεινός, ἢ ποία τυραννίς;
> τᾶς δ᾽ ἄτερ οὐδὲ θεῶν ζαλωτὸς αἰών. d

Πίνδαρος παραινῶν Ἱέρωνι τῷ Συρακοσίων ἄρχοντι

> μηδὲ μαύρου (φησὶ) τέρψιν ἐν βίῳ· πολύ τοι
> φέρτιστον ἀνδρὶ τερπνὸς αἰών.

καὶ Ὅμηρος δὲ τὴν εὐφροσύνην καὶ τὸ εὐφραίνεσθαι

τέλος φησὶν εἶναι χαριέστατον, ὅταν δαιτυμόνες μὲν ἀοιδοῦ ἀκουάζωνται, παρὰ δὲ πλήθωσι τράπεζαι. τοὺς δὲ θεούς φησιν εἶναι ῥεῖα ζώοντας· τὸ δὲ ῥεῖα ἐστὶν ἀπόνως· ὥσπερ ἐνδεικνύμενος ὅτι μέγιστόν ἐστι τῶν κακῶν ἡ περὶ τὸ ζῆν ταλαιπωρία καὶ ὁ πόνος.'

e 6. διόπερ καὶ Μεγακλείδης ἐπιτιμᾷ τοῖς μεθ' Ὅμηρον καὶ Ἡσίοδον ποιηταῖς ὅσοι περὶ Ἡρακλέους εἰρήκασιν ὡς στρατοπέδων ἡγεῖτο καὶ πόλεις ᾕρει· ὃς μεθ' ἡδονῆς πλείστης τὸν μετ' ἀνθρώπων βίον διετέλεσε, πλείστας μὲν γυναῖκας γήμας, ἐκ πλείστων δὲ λάθρα παρθένων παιδοποιησάμενος. εἴποι γὰρ ἄν τις πρὸς τοὺς οὐ ταῦτα παραδεχομένους, πόθεν ὦ οὗτοι τὴν περὶ τὰς ἐδωδὰς αὐτῷ σπουδὴν ἀνατίθετε; ἢ πόθεν παρῆλθεν εἰς τοὺς ἀνθρώπους τὸ f τῆς λοιβαίας κύλικος μηδὲν ὑπολείπεσθαι, εἰ μὴ τὰ περὶ τὰς ἡδονὰς ἐδοκίμαζεν; ἢ διὰ τί τὰ θερμὰ λουτρὰ τὰ φαινόμενα ἐκ τῆς γῆς πάντες Ἡρακλέους φασὶν εἶναι ἱερά; ἢ διὰ τί τὰς μαλακὰς στρωμνὰς Ἡρακλέους κοίτας εἰώθασι καλεῖν, εἰ κατεφρόνει τῶν ἡδέως ζώντων; τοῦτον οὖν, φησίν, οἱ νέοι ποιηταὶ κατασκευάζουσιν ἐν λῃστοῦ σχήματι μόνον περιπορευόμενον, ξύλον ἔχοντα καὶ λεοντῆν καὶ τόξα· καὶ 513 ταῦτα πλάσαι πρῶτον Στησίχορον τὸν Ἱμεραῖον. καὶ Ξάνθος δ' ὁ μελοποιὸς πρεσβύτερος ὢν Στησιχόρου, ὡς καὶ αὐτὸς ὁ Στησίχορος μαρτυρεῖ, ὥς φησιν ὁ Μεγακλείδης, οὐ ταύτην αὐτῷ περιτίθησι τὴν στολὴν ἀλλὰ τὴν ὁμηρικήν. πολλὰ δὲ τῶν Ξάνθου παραπεποίηκεν ὁ Στησίχορος, ὥσπερ καὶ τὴν Ὀρέστειαν καλουμένην. Ἀντισθένης δὲ τὴν ἡδονὴν ἀγαθὸν εἶναι φάσκων προσέθηκε τὴν ἀμεταμέλητον.

7. ὁ δὲ παρὰ τῷ Ὁμήρῳ Ὀδυσσεὺς ἡγεμὼν δοκεῖ

γεγενῆσθαι Ἐπικούρῳ τῆς πολυθρυλήτου ἡδονῆς, ὅσπερ φησίν

οὐ γάρ ἔγωγέ τι φημὶ τέλος χαριέστερον εἶναι b
ἢ ὅταν εὐφροσύνη μὲν ἔχῃ κατὰ δῆμον ἅπαντα,
δαιτυμόνες δ' ἀνὰ δώματ' ἀκουάζωνται ἀοιδοῦ
ἥμενοι ἑξείης, παρὰ δὲ πλήθωσι τράπεζαι
σίτου καὶ κρειῶν, μέθυ δ' ἐκ κρητῆρος ἀφύσσων
οἰνοχόος παρέχῃσι καὶ ἐγχείῃ δεπάεσσιν.
τοῦτό τί μοι κάλλιστον ἐνὶ φρεσὶν εἴδεται εἶναι.

ὁ δὲ Μεγακλείδης φησὶ τὸν Ὀδυσσέα καθομιλοῦντα τοὺς καιροὺς ὑπὲρ τοῦ δοκεῖν ὁμοήθης τοῖς Φαίαξιν εἶναι τὸ ἁβροδίαιτον αὐτῶν ἀσπάζεσθαι, προπυθό- c μενον τοῦ Ἀλκίνου

αἰεὶ δ' ἡμῖν δαίς τε φίλη κίθαρίς τε χοροί τε,
εἵματά τ' ἐξημοιβὰ λοετρά τε θερμὰ καὶ εὐναί.

μόνως γὰρ οὕτως ᾠήθη ὧν ἤλπιζε μὴ διαμαρτεῖν. τοιοῦτός ἐστι καὶ ὁ παραινῶν Ἀμφιλόχῳ τῷ παιδί

ὦ τέκνον,
ποντίου θηρὸς πετραίου χρωτὶ μάλιστα νόον
προσφέρων πάσαις πολίεσσιν ὁμίλει·
τῷ παρεόντι δ' ἐπαινήσαις ἑκὼν
ἄλλοτ' ἀλλοῖα φρόνει. d

ὁμοίως φησὶ καὶ Σοφοκλῆς ἐν Ἰφιγενείᾳ

νόει πρὸς ἀνδρὶ σῶμα πουλύπους ὅπως
πέτρᾳ τραπέσθαι γνησίου φρονήματος.

καὶ ὁ Θέογνις

πουλύπου ὀργὴν ἴσχε πολυπλόκου.

εἰσὶ δ' οἵ φασι ταύτης εἶναι τῆς γνώμης τὸν Ὅμηρον, προτάττοντα τοῦ σπουδαίου βίου πολλάκις τὸν καθ' ἡδονήν, λέγοντα

οἱ δὲ θεοὶ πὰρ Ζηνὶ καθήμενοι ἠγορόωντο
χρυσέῳ ἐν δαπέδῳ, μετὰ δέ σφισι πότνια Ἥβη

e νέκταρ ἐῳνοχόει, τοὶ δὲ χρυσέοις δεπάεσσι
δειδέχατ᾽ ἀλλήλους.

καὶ ὁ Μενέλαος δὲ παρ᾽ αὐτῷ φησίν

οὐδέ κεν ἡμέας
ἄλλο διέκρινεν φιλέοντέ τε τερπομένω τε.

καί

ἥμεθα δαινύμενοι κρέα τ᾽ ἄσπετα καὶ μέθυ ἡδύ.

διόπερ καὶ Ὀδυσσεὺς τρυφὴν καὶ λαγνείαν τέλος τοῦ βίου παρὰ τῷ Ἀλκινόῳ τίθεται.

8. διαβόητοι δὲ ἐπὶ τρυφῇ ἐγένοντο πρῶτοι πάν-
f των ἀνθρώπων Πέρσαι. ὧν καὶ οἱ βασιλεῖς ἐχείμαζον μὲν ἐν Σούσοις, ἐθέριζον δ᾽ ἐν Ἐκβατάνοις. κληθῆναι δὲ τὰ Σοῦσά φησιν Ἀριστόβουλος καὶ Χάρης διὰ τὴν ὡραιότητα τοῦ τόπου· σοῦσον γὰρ εἶναι τῇ Ἑλλήνων φωνῇ τὸ κρίνον. ἐν Περσεπόλει δὲ διατρίβουσι φθινόπωρον καὶ ἐν Βαβυλῶνι τὸ λοιπὸν τοῦ ἐνιαυτοῦ μέρος. καὶ οἱ Πάρθων δὲ βασιλεῖς ἐαρίζουσι μὲν ἐν Ῥαγαῖς, χειμάζουσι δὲ ἐν Βαβυλῶνι . . . τὸ
514 λοιπὸν τοῦ ἐνιαυτοῦ. καὶ τὸ παράσημον δὲ ὃ ἐπετίθεντο τῇ κεφαλῇ οἱ τῶν Περσῶν βασιλεῖς οὐδ᾽ αὐτὸ ἠρνεῖτο τὴν τῆς ἡδυπαθείας ἀπόλαυσιν. κατεσκευάζετο γάρ, ὥς φησι Δείνων, ἐκ σμύρνης καὶ τοῦ καλουμένου λαβύζου. εὐώδης δ᾽ ἐστὶν ἡ λάβυζος καὶ πολυτιμότερον τῆς σμύρνης. ὁπότε δὲ καὶ ἀπὸ τοῦ ἅρματος κατίοι, φησί, βασιλεύς, οὔτε καθήλλετο ὀλίγου ὄντος ἐπὶ τὴν γῆν τοῦ ὕψους οὔτε διὰ χειρῶν ἐρειδόμενος, ἀλλ᾽ ἀεὶ αὐτῷ χρυσοῦς δίφρος ἐτίθετο, καὶ τούτῳ ἐπιβαίνων κατῄει· καὶ ὁ βασιλέως διφρο-
b φόρος εἰς τοῦτο εἵπετο. φυλάσσουσί τε αὐτὸν καὶ τριακόσιαι γυναῖκες, ὡς ἱστορεῖ ὁ Κυμαῖος Ἡρακλείδης ἐν πρώτῃ Περσικῶν. αὗται δὲ τὰς μὲν ἡμέρας κοιμῶνται, ἵνα νυκτὸς ἐγρηγορῶσι, τῆς δὲ νυκτὸς

ᾄδουσαι καὶ ψάλλουσαι διατελοῦσι λύχνων καιομένων. χρῆται δὲ αὐταῖς καὶ πολλάκις ὁ βασιλεὺς . . . διὰ τῆς τῶν μηλοφόρων αὐλῆς. ἦσαν δὲ οὗτοι τῶν δορυφόρων καὶ τῷ γένει πάντες Πέρσαι, ἐπὶ τῶν στυράκων μῆλα χρυσᾶ ἔχοντες, χίλιοι τὸν ἀριθμόν, ἀριστίνδην ἐκλεγόμενοι ἐκ τῶν μυρίων Περσῶν τῶν ἀθανάτων καλουμένων. καὶ διῄει διὰ τῆς τούτων [c] αὐλῆς πεζὸς ὑποτιθεμένων ψιλοταπίδων σαρδιανῶν, ἐφ' ὧν οὐδεὶς ἄλλος ἐπέβαινεν ἢ βασιλεύς. ὅτε δὲ εἰς τὴν ἐσχάτην αὐλὴν ἔλθοι, ἀνέβαινεν ἐπὶ τὸ ἅρμα· ἐνίοτε δὲ καὶ ἐφ' ἵππου, πεζὸς δὲ οὐδέποτε ἑωράθη ἔξω τῶν βασιλείων. εἰ δὲ ἐπὶ θήραν ἐξίοι, καὶ αἱ παλλακίδες αὐτῷ συνεξῄεσαν. ὁ δὲ θρόνος ἐφ' ᾧ ἐχρημάτιζε καθήμενος χρυσοῦς ἦν, ὃν περιειστήκεσαν τέσσαρες κιονίσκοι λιθοκόλλητοι χρυσοῖ, ἐφ' ὧν διετέτατο ἱμάτιον ποικίλον πορφυροῦν.

9. Κλέαρχος δὲ ὁ Σολεὺς ἐν τετάρτῳ βίων προ- [d] ειπὼν περὶ τῆς Μήδων τρυφῆς, καὶ ὅτι διὰ ταύτην πολλοὺς εὐνουχίσαιεν τῶν περικτιόνων, ἐπιφέρει καὶ τὴν παρὰ Μήδων γενέσθαι Πέρσαις μηλοφορίαν μὴ μόνον ὧν ἔπαθον τιμωρίαν, ἀλλὰ καὶ τῆς τῶν δορυφορούντων τρυφῆς εἰς ὅσον ἦλθον ἀνανδρίας ὑπόμνημα. δύναται γάρ, ὡς ἔοικεν, ἡ παράκαιρος ἅμα καὶ μάταιος αὐτῶν περὶ τὸν βίον τρυφὴ καὶ τοὺς ταῖς λόγχαις καθωπλισμένους ἀγύρτας ἀποφαίνειν. καὶ προελθὼν δὲ γράφει 'τοῖς γοῦν πορίσασί τι αὐτῷ ἡδὺ [e] βρῶμα διδοὺς ἆθλα τοῦ πορισθέντος, οὐχ ἑτέραις ἡδύνων ταῦτα τιμαῖς παρετίθει, πολὺ δὲ μᾶλλον αὐτὸς ἀπολαύειν αὐτῶν, νοῦν ἔχων· τοῦτο μὲν γάρ ἐστιν ὁ λεγόμενος, οἶμαι, καὶ Διὸς ἅμα καὶ βασιλέως ἐγκέφαλος.' Χάρης δ' ὁ Μυτιληναῖος ἐν τῇ πέμπτῃ τῶν περὶ Ἀλέξανδρον ἱστοριῶν 'εἰς τοῦτο (φησὶν)

ἧκον τρυφῆς οἱ τῶν Περσῶν βασιλεῖς ὥστε ἔχεσθαι τῆς βασιλικῆς κλίνης ὑπὲρ κεφαλῆς οἴκημά τι πεντάκλινον, ἐν ᾧ χρυσίου πεντακισχίλια διὰ παντὸς f ἔκειτο τάλαντα· καὶ τοῦτο ἐκαλεῖτο προσκεφάλαιον βασιλικόν. καὶ πρὸς ποδῶν ἕτερον οἴκημα τρίκλινον, οὗ τάλαντα τρισχίλια ἔκειτο ἀργυρίου, καὶ προσηγορεύετο βασιλικὸν ὑποπόδιον. ἦν δ᾽ ἐν τῷ κοιτῶνι καὶ λιθοκόλλητος ἄμπελος χρυσῆ ὑπὲρ τῆς κλίνης.' τὴν δὲ ἄμπελον ταύτην Ἀμύντας φησὶν ἐν τοῖς Σταθμοῖς καὶ βότρυας ἔχειν ἐκ τῶν πολυτελεστάτων ψήφων συντεθειμένους, οὐ μακράν τε ταύτης 515 ἀνακεῖσθαι κρατῆρα χρυσοῦν, Θεοδώρου τοῦ Σαμίου ποίημα.' Ἀγαθοκλῆς δ᾽ ἐν τρίτῳ περὶ Κυζίκου ἐν Πέρσαις φησὶν εἶναι καὶ χρυσοῦν καλούμενον ὕδωρ. εἶναι δὲ τοῦτο λιβάδας ἑβδομήκοντα, καὶ μηδένα πίνειν ἀπ᾽ αὐτοῦ ἢ μόνον βασιλέα καὶ τὸν πρεσβύτατον αὐτοῦ τῶν παίδων· τῶν δ᾽ ἄλλων ἐάν τις πίῃ, θάνατος ἡ ζημία.

10. Ξενοφῶν δ᾽ ἐν ὀγδόῳ Παιδείας 'ἐχρῶντο (φησὶν) ἔτι τότε τῇ ἐκ Περσῶν παιδείᾳ καὶ τῇ Μήδων στολῇ καὶ ἁβρότητι. νῦν δὲ τὴν μὲν ἐκ Περσῶν καρτερίαν περιορῶσιν ἀποσβεννυμένην, τὴν δὲ τῶν b Μήδων μαλακίαν διασῴζονται. σαφηνίσαι δὲ βούλομαι καὶ τὴν θρύψιν αὐτῶν. ἐκείνοις γὰρ πρῶτον μὲν οὐκ ἔτι τὰς εὐνὰς μόνον ἀρκεῖ μαλακῶς ὑποστόρνυσθαι, ἀλλ᾽ ἤδη καὶ τῶν κλινῶν τοὺς πόδας ἐπὶ ταπίδων τιθέασιν, ὅπως μὴ ἀντερείδῃ τὸ δάπεδον, ἀλλ᾽ ὑπείκωσιν αἱ τάπιδες. καὶ μὴν τὰ πεττόμενα ἐπὶ τράπεζαν ὅσα τε πρότερον εὕρητο, οὐδὲν αὐτῶν ἀφῄρηται, ἄλλα τε καινὰ ἀεὶ ἐπιμηχανῶνται, καὶ ὄψα γε ὡσαύτως· καὶ γὰρ καινοποιητὰς c ἀμφοτέρων τούτων κέκτηνται. ἀλλὰ καὶ ἐν τῷ χειμῶνι οὐ

μόνον κεφαλὴν καὶ σῶμα καὶ πόδας αὐτοὺς ἀρκεῖ ἐσκεπάσθαι, ἀλλὰ καὶ περὶ ἄκραις ταῖς χερσὶ χειρῖδας δασείας καὶ δακτυλήθρας ἔχουσιν. ἔν γε μὴν τῷ θέρει οὐκ ἀρκοῦσιν αὐτοῖς οὔθ᾽ αἱ τῶν δένδρων οὔθ᾽ αἱ τῶν πετρῶν σκιαί, ἀλλ᾽ ἐν ταύταις ἑτέρας σκιάδας ἄνθρωποι μηχανώμενοι αὐτοῖς παρεστᾶσι.᾽ κἀν τοῖς ἑξῆς δέ φησι περὶ αὐτῶν οὑτωσί ῾νῦν δὲ στρώματα πλείω ἔχουσιν ἐπὶ τῶν ἵππων ἢ ἐπὶ τῶν εὐνῶν· οὐ γὰρ τῆς ἱππείας οὕτως ὡς τοῦ μαλακῶς καθῆσθαι ἐπιμέλονται. καὶ τοὺς θυρωροὺς δὲ καὶ [d] τοὺς σιτοποιοὺς καὶ τοὺς ὀψοποιοὺς καὶ οἰνοχόους, καὶ παρατιθέντας καὶ ἀναιροῦντας, καὶ κατακοιμίζοντας καὶ ἀνιστάντας, καὶ τοὺς κοσμητάς, οἳ ὑποχρίουσί τε καὶ ἐντρίβουσιν αὐτοὺς καὶ τἆλλα ῥυθμίζουσιν.᾽

11. *Λυδοὶ* δὲ εἰς τοσοῦτον ἦλθον τρυφῆς ὡς καὶ πρῶτοι γυναῖκας εὐνουχίσαι, ὡς ἱστορεῖ Ξάνθος ὁ Λυδὸς ἢ ὁ τὰς εἰς αὐτὸν ἀναφερομένας ἱστορίας συγγεγραφώς, Διονύσιος ὁ Σκυτοβραχίων, ὡς Ἀρτέμων [e] φησὶν ὁ Κασανδρεὺς ἐν τῷ περὶ ἀναγωγῆς βιβλίων, ἀγνοῶν ὅτι Ἔφορος ὁ συγγραφεὺς μνημονεύει αὐτοῦ ὡς παλαιοτέρου ὄντος καὶ Ἡροδότῳ τὰς ἀφορμὰς δεδωκότος. ὁ δ᾽ οὖν Ξάνθος ἐν τῇ δευτέρᾳ τῶν Λυδιακῶν Ἀδραμύτην φησὶ τῶν Λυδῶν βασιλέα πρῶτον γυναῖκας εὐνουχίσαντα χρῆσθαι αὐταῖς ἀντὶ ἀνδρῶν εὐνούχων. Κλέαρχος δ᾽ ἐν τῇ τετάρτῃ περὶ βίων ῾Λυδοὶ (φησὶ) διὰ τρυφὴν παραδείσους κατασκευασάμενοι καὶ κηπαίους αὐτοὺς ποιήσαντες ἐσκιατροφοῦντο, τρυφερώτερον ἡγησάμενοι τὸ μηδ᾽ αὐτοῖς ὅλως ἐπιπίπτειν τὰς τοῦ ἡλίου αὐγάς. καὶ τέλος πόρ- [f] ρω προάγοντες ὕβρεως τὰς τῶν ἄλλων γυναῖκας καὶ παρθένους εἰς τὸν τόπον τὸν διὰ τὴν πρᾶξιν Ἁγνεῶνα

κληθέντα συνάγοντες ὕβριζον. καὶ τέλος τὰς ψυχὰς ἀποθηλυνθέντες ἠλλάξαντο τὸν τῶν γυναικῶν βίον διόπερ καὶ γυναῖκα τύραννον ὁ βίος εὕρετο αὐτοῖς μίαν τῶν ὑβρισθεισῶν, Ὀμφάλην· ἥτις πρώτη κατῆρξε μὲν τῆς εἰς Λυδοὺς πρεπούσης τιμωρίας. τὸ γὰρ ὑπὸ γυναικὸς ἄρχεσθαι ὑβριζομένους σημεῖόν
516 ἐστι βίας. οὖσα οὖν καὶ αὐτὴ ἀκόλαστος καὶ ἀμυνομένη τὰς γενομένας αὐτῇ πρότερον ὕβρεις τοῖς ἐν τῇ πόλει δούλοις τὰς τῶν δεσποτῶν παρθένους ἐξέδωκεν ἐν ᾧ τόπῳ πρὸς ἐκείνων ὑβρίσθη· εἰς τοῦτον οὖν συναθροίσασα μετ' ἀνάγκης συγκατέκλεισε τοῖς δούλοις τὰς δεσποίνας. ὅθεν οἱ Λυδοὶ τὸ πικρὸν τῆς πράξεως ὑποκοριζόμενοι τὸν τόπον καλοῦσι [γυναικῶν ἀγῶνα] γλυκὺν ἀγκῶνα. οὐ μόνον δὲ Λυδῶν γυναῖκες ἄφετοι οὖσαι τοῖς ἐντυχοῦσιν, ἀλλὰ καὶ Λοκρῶν τῶν Ἐπιζεφυρίων, ἔτι δὲ τῶν περὶ Κύπρον, καὶ πάντων ἁπλῶς τῶν ἑταιρισμῷ τὰς ἑαυτῶν κόρας
b ἀφοσιούντων, παλαιᾶς τινὸς ὕβρεως ἔοικεν εἶναι πρὸς ἀλήθειαν ὑπόμνημα καὶ τιμωρία. πρὸς ἣν εἷς τῶν Λυδῶν εὐγενὴς ἀνὴρ ὁρμήσας, καὶ τῇ παρ' αὐτοῖς Μίδου βασιλείᾳ βαρυνθείς, τοῦ μὲν Μίδου ὑπ' ἀνανδρίας καὶ τρυφῆς καὶ ἐν πορφύρᾳ κειμένου καὶ ταῖς γυναιξὶν ἐν τοῖς ἱστοῖς συνταλασιουργοῦντος, Ὀμφάλης δὲ πάντας τοὺς συγκατακλιθέντας αὐτῇ ξενοκτονούσης, ἀμφοτέρους ἐκόλασε, τὸν μὲν ὑπ' ἀπαιδευσίας κεκωφημένον τῶν ὤτων ἐξελκύσας, ὃς διὰ τὴν τοῦ φρονεῖν ἔνδειαν τοῦ πάντων ἀναισθητο-
c τάτου ζῴου τὴν ἐπωνυμίαν ἔσχε· τὴν δὲ . . .

12. πρῶτοι δὲ Λυδοὶ καὶ τὴν καρύκην ἐξεῦρον· περὶ ἧς τῆς σκευασίας οἱ τὰ ὀψαρτυτικὰ συνθέντες εἰρήκασι, Γλαῦκός τε ὁ Λοκρὸς καὶ Μίθαικος καὶ Διονύσιος, Ἡρακλεῖδαί τε δύο γένος Συρακόσιοι, καὶ

Ἆγις καὶ Ἐπαίνετος καὶ Διονύσιος, ἔτι δὲ Ἡγήσιππος καὶ Ἐρασίστρατος καὶ Εὐθύδημος καὶ Κρίτων· πρὸς τούτοις δὲ Στέφανος, Ἀρχύτας, Ἀκέστιος, Ἀκεσίας, Διοκλῆς, Φιλιστίων. τοσούτους γὰρ οἶδα γράψαντας Ὀψαρτυτικά. καὶ κάνδαυλον δέ τινα ἔλεγον οἱ Λυδοί, οὐχ ἕνα ἀλλὰ τρεῖς· οὕτως ἐξήσκηντο πρὸς d τὰς ἡδυπαθείας. γίνεσθαι δ' αὐτόν φησιν ὁ Ταραντῖνος Ἡγήσιππος ἐξ ἑφθοῦ κρέως καὶ κνηστοῦ ἄρτου καὶ φρυγίου τυροῦ ἀνήθου τε καὶ ζωμοῦ πίονος. μνημονεύει δ' αὐτοῦ Ἄλεξις ἐν Παννυχίδι ἢ Ἐρίθοις· μάγειρος δ' ἐστὶν ὁ προσδιαλεγόμενος

ἔτι δέ σοι
παρὰ τοῦτο κάνδαυλόν τινα παραθήσομεν.
Β. κάνδαυλον; οὐκ ἐδήδοκ' οὐδ' ἀκήκοα
οὐδέποτε.
Α. θαυμαστὸν ἐμὸν εὕρημα πάνυ· πολὺν δ' ἐγὼ
ἐὰν παραθῶ σοι, προσκατέδει τοὺς δακτύλους e
σαυτῷ γε χαίρων. ἔρια μὲν ποιήσομεν
Β. ἄνθρωπε ποίει λευκὰ καὶ βλέπεις
Α. ἐπὰν ἀπὸ τῶν κοινῶν ταρίχους ἰχθύων,
κρεῶν βατάνιον . . . εὐθέως
δίπυρον παραθήσεις, ᾠὸν ἐπιτετμημένον,
πῦον, μέλιτος ὀξύβαφον, ἀπὸ ταγηνίων
τυροῦ τροφάλια χλωρὰ κυθνίου παρατεμών,
βοτρύδιόν τι, χόριον, ἐν ποτηρίῳ
γλυκύν· τὸ τοιοῦτον γὰρ ἀεί πως μέρος
ἐπιπαίζεται, κεφαλὴ δὲ δείπνου γίγνεται. f
Β. ἄνθρωπ', ἐπίπαιξε· μόνον ἀπαλλάγηθί μου.
[τοὺς σοὺς δὲ] κανδαύλους λέγων καὶ χόρια καὶ
βατάνια πᾶσαν [ἀφανιεῖς] τὴν ἡδονήν.

μνημονεύει τοῦ κανδαύλου καὶ Φιλήμων ἐν Παρεισιόντι οὕτως

τοὺς ἐν τῇ πόλει
μάρτυρας ἔχω γὰρ ὅτι μόνος φύσκην ποιῶ,
κάνδαυλον, ᾠά, θρῖον, ἐν στενῷ. τί γὰρ
τούτων διάπτωμ' ἐγένετ' ἢ ἁμάρτημα τί;

517 καὶ Νικόστρατος ἐν Μαγείρῳ
ὃς μέλανα ποιεῖν ζωμὸν οὐκ ἠπίστατο,
θρῖον δὲ καὶ κάνδαυλον.

καὶ Μένανδρος Τροφωνίῳ
ἰωνικὸς πλούταξ· ὑποστάσεις ποιῶ,
κάνδαυλον, ὑποβινητιῶντα βρώματα.

καὶ εἰς τοὺς πολέμους δὲ ἐξιόντες οἱ Λυδοὶ παρατάττονται μετὰ συρίγγων καὶ αὐλῶν, ὥς φησιν Ἡρόδοτος. καὶ Λακεδαιμόνιοι δὲ μετ' αὐλῶν ἐξορμῶσιν ἐπὶ τοὺς πολεμίους, καθάπερ Κρῆτες μετὰ λύρας.

b 13. Ἡρακλείδης δ' ὁ Κυμαῖος, ὁ τὰ Περσικὰ συγγράψας, ἐν τοῖς ἐπιγραφομένοις Παρασκευαστικοῖς εἰπὼν ὡς ὁ ἐν τῇ λιβανοφόρῳ χώρᾳ βασιλεὺς αὐτόνομός τέ ἐστι καὶ οὐδενὸς ὑπήκοος, γράφει καὶ ταῦτα 'οὗτος δ' ὑπερβάλλει τῇ τρυφῇ καὶ ῥᾳθυμίᾳ. διατρίβει τε γὰρ ἀεὶ ἐν τοῖς βασιλείοις ἐν τρυφῇ καὶ δαπάνῃ τὸν βίον διάγων, καὶ πράττει οὐδὲ ἓν πρᾶγμα, οὐδὲ πολλοῖς πλησιάζει, ἀλλὰ δικαστὰς αὐτὸς ἀποδεικνύει· καὶ ἐάν τις αὐτοὺς ἡγῆται μὴ δικαίως
c δεδικακέναι, ἔστι θυρὶς ἐν τῷ ὑψηλοτάτῳ τῶν βασιλείων καὶ αὕτη ἁλύσει δέδεται. ὁ οὖν ἡγούμενος ἀδίκως δεδικάσθαι ἐπιλαμβάνεται τῆς ἁλύσεως καὶ ἕλκει τὴν θυρίδα, καὶ ὁ βασιλεὺς ἐπειδὰν αἴσθηται εἰσκαλεῖ καὶ αὐτὸς δικάζει. καὶ ἐὰν φαίνωνται οἱ δικασταὶ ἀδίκως δικάσαντες, ἀποθνήσκουσιν, ἐὰν δὲ δικαίως, ὁ κινήσας τὴν θυρίδα ἀπόλλυται.' τὰ δ' ἀναλώματα λέγει τῆς ἡμέρας εἰς τὸν βασιλέα καὶ τὰς

*περὶ αὐτὸν γυναῖκας καὶ φίλους γίνεσθαι τάλαντα πεντεκαίδεκα βαβυλώνια.*

14. *παρὰ δὲ Τυρρηνοῖς ἐκτόπως τρυφήσασιν ἱστο-* d
*ρεῖ Τίμαιος ἐν τῇ πρώτῃ ὅτι αἱ θεράπαιναι γυμναὶ τοῖς ἀνδράσι διακονοῦνται. Θεόπομπος δ' ἐν τῇ τεσσαρακοστῇ τρίτῃ τῶν ἱστοριῶν καὶ νόμον εἶναί φησι παρὰ τοῖς Τυρρηνοῖς κοινὰς ὑπάρχειν τὰς γυναῖκας· ταύτας δὲ ἐπιμελεῖσθαι σφόδρα τῶν σωμάτων καὶ γυμνάζεσθαι πολλάκις καὶ μετ' ἀνδρῶν, ἐνίοτε δὲ καὶ πρὸς ἑαυτάς· οὐ γὰρ αἰσχρὸν εἶναι αὐταῖς φαίνεσθαι γυμναῖς. δειπνεῖν δὲ αὐτὰς οὐ παρὰ τοῖς ἀνδράσι τοῖς ἑαυτῶν, ἀλλὰ παρ' οἷς ἂν τύχωσι, καὶ τῶν παρόντων προπίνουσιν οἷς ἂν βουληθῶσιν. εἶναι δὲ* e
*καὶ πιεῖν δεινὰς καὶ τὰς ὄψεις πάνυ καλάς. τρέφειν δὲ τοὺς Τυρρηνοὺς πάντα τὰ γινόμενα παιδία, οὐκ εἰδότας ὅτου πατρός ἐστιν ἕκαστον. ζῶσι δὲ καὶ οὗτοι τὸν αὐτὸν τρόπον τοῖς θρεψαμένοις, πότους τὰ πολλὰ ποιούμενοι καὶ πλησιάζοντες ταῖς γυναιξὶν ἁπάσαις. οὐδὲν δ' αἰσχρόν ἐστι Τυρρηνοῖς οὐ μόνον αὐτοὺς ἐν τῷ μέσῳ τι ποιοῦντας, ἀλλ' οὐδὲ πάσχοντας φαίνεσθαι. ἐπιχώριον γὰρ καὶ τοῦτο παρ' αὐτοῖς ἐστί. καὶ τοσούτου δέουσιν αἰσχρὸν ὑπολαμβάνειν ὥστε καὶ λέγουσιν, ὅταν ὁ μὲν δεσπότης τῆς οἰκίας ἀφροδισιάζηται, ζητῇ δέ τις αὐτόν, ὅτι πάσχει τὸ καὶ* f
*τό, προσαγορεύσαντες αἰσχρῶς τὸ πρᾶγμα. ἐπειδὰν δὲ συνουσιάζωσι καθ' ἑταιρίας ἢ κατὰ συγγενείας, ποιοῦσιν οὕτως. πρῶτον μέν, ὅταν παύσωνται πίνοντες καὶ μέλλωσι καθεύδειν, εἰσάγουσι παρ' αὐτοὺς οἱ διάκονοι τῶν λύχνων ἔτι καιομένων ὁτὲ μὲν ἑταίρας, ὁτὲ δὲ παῖδας πάνυ καλούς, ὁτὲ δὲ καὶ γυναῖκας· ὅταν δὲ τούτων ἀπολαύσωσιν, αὖθις αὐτοῖς [εἰσάγουσι] νεανίσκους ἀκμάζοντας, οἳ πλησιάζουσιν αὐτοῖς ἐκείνοις.*

ἀφροδισιάζουσι δὲ καὶ ποιοῦνται τὰς συνουσίας ὁτὲ μὲν ὁρῶντες ἀλλήλους, ὡς δὲ τὰ πολλὰ καλύβας περιβάλλοντες περὶ τὰς κλίνας, αἳ πεπλεγμέναι εἰσὶν ἐκ
518 ῥάβδων, ἐπιβέβληται δ' ἄνωθεν ἱμάτια. καὶ πλησιάζουσι μὲν σφόδρα καὶ ταῖς γυναιξί, πολὺ [μᾶλλον] μέντοι γε χαίρουσι συνόντες τοῖς παισὶ καὶ τοῖς μειρακίοις. καὶ γὰρ γίνονται παρ' αὐτοῖς πάνυ καλοὶ τὰς ὄψεις, ἅτε τρυφερῶς διαιτώμενοι καὶ λεαινόμενοι τὰ σώματα. πάντες δὲ οἱ πρὸς ἑσπέραν οἰκοῦντες βάρβαροι πιττοῦνται καὶ ξυροῦνται τὰ σώματα· καὶ παρά γε τοῖς Τυρρηνοῖς ἐργαστήρια κατεσκεύασται πολλὰ καὶ τεχνῖται τούτου τοῦ πράγματός εἰσιν,
b ὥσπερ παρ' ἡμῖν οἱ κουρεῖς. παρ' οὓς ὅταν εἰσέλθωσι, παρέχουσιν ἑαυτοὺς πάντα τρόπον, οὐδὲν αἰσχυνόμενοι τοὺς ὁρῶντας οὐδὲ τοὺς παριόντας. χρῶνται δὲ τούτῳ τῷ νόμῳ πολλοὶ καὶ τῶν Ἑλλήνων τῶν τὴν Ἰταλίαν οἰκούντων, μαθόντες παρὰ Σαυνιτῶν καὶ Μεσσαπίων. ὑπὸ δὲ τῆς τρυφῆς οἱ Τυρρηνοί, ὡς Ἄλκιμος ἱστορεῖ, πρὸς αὐλὸν καὶ μάττουσι καὶ πυκτεύουσι καὶ μαστιγοῦσιν.'

c 15. διαβόητοι δέ εἰσιν ἐπὶ τρυφῇ καὶ αἱ τῶν Σικελῶν τράπεζαι, οἵτινες καὶ τὴν παρ' αὐτοῖς θάλατταν λέγουσιν εἶναι γλυκεῖαν, χαίροντες τοῖς ἐξ αὐτῆς γινομένοις ἐδέσμασιν, ὥς φησι Κλέαρχος ἐν πέμπτῳ βίων. περὶ δὲ Συβαριτῶν τί δεῖ καὶ λέγειν; παρ' οἷς πρώτοις εἰσήχθησαν εἰς τὰ βαλανεῖα λουτροχόοι καὶ παραχύται πεπεδημένοι, τοῦ μὴ θᾶττον ἰέναι καὶ ὅπως μὴ σπεύδοντες κατακαίωσι τοὺς λουομένους. πρῶτοι δὲ Συβαρῖται καὶ τὰς ποιούσας ψόφον τέχνας οὐκ ἐῶσιν ἐπιδημεῖν τῇ πόλει, οἷον χαλκέων καὶ
d τεκτόνων καὶ τῶν ὁμοίων, ὅπως αὐτοῖς πανταχόθεν ἀθόρυβοι ὦσιν οἱ ὕπνοι. οὐκ ἐξῆν δ' οὐδ' ἀλε-

κτρυόνα ἐν τῇ πόλει τρέφεσθαι. ἱστορεῖ δὲ περὶ αὐτῶν Τίμαιος ὅτι ἀνὴρ Συβαρίτης εἰς ἀγρόν ποτε πορευόμενος ἔφη ἰδὼν τοὺς ἐργάτας σκάπτοντας αὐτὸς ῥῆγμα λαβεῖν· πρὸς ὃν ἀποκρίνασθαί τινα τῶν ἀκουσάντων, αὐτὸς δὲ σοῦ διηγουμένου ἀκούων πεπόνηκα τὴν πλευράν. ἐν Κρότωνι δὲ σκάπτοντί τινι τὴν τῶν ἀθλούντων κόνιν ἐπιστάντες τινὲς Συβαριτῶν ἐθαύμαζον λέγοντες, εἰ τηλικαύτην ἔχοντες πόλιν οἰκέτας μὴ κέκτηνται τοὺς σκάψοντας ἑαυτοῖς τὴν παλαίστραν. ἄλλος δὲ Συβαρίτης παραγενόμενος εἰς e Λακεδαίμονα καὶ κληθεὶς εἰς φιδίτιον, ἐπὶ τῶν ξύλων κατακείμενος καὶ δειπνῶν μετ᾽ αὐτῶν, πρότερον μὲν ἔφη καταπεπλῆχθαι τὴν τῶν Λακεδαιμονίων πυνθανόμενος ἀνδρείαν, νῦν δὲ θεασάμενος νομίζειν μηδὲν τῶν ἄλλων αὐτοὺς διαφέρειν. καὶ γὰρ τὸν ἀνανδρότατον μᾶλλον ἂν ἑλέσθαι ἀποθανεῖν ἢ τοιοῦτον βίον ζῶντα καρτερεῖν.

16. ἔθος δὲ παρ᾽ αὐτοῖς καὶ τοὺς παῖδας μέχρι τῆς τῶν ἐφήβων ἡλικίας ἁλουργίδας τε φορεῖν καὶ πλοκαμῖδας ἀναδεδεμένους χρυσοφορεῖν. ἐπιχωριάζειν δὲ παρ᾽ αὐτοῖς διὰ τὴν τρυφὴν ἀνθρωπάρια μικρὰ [καὶ] τοὺς σκωπαίους, ὥς φησιν ὁ Τίμαιος, τοὺς f καλουμένους παρά τισι στίλπωνας, καὶ κυνάρια μελιταῖα, ἅπερ αὐτοῖς καὶ ἕπεσθαι εἰς τὰ γυμνάσια. πρὸς οὓς καὶ τοὺς ὁμοίους τούτοις Μασσανάσσης ὁ τῶν Μαυρουσίων βασιλεὺς ἀπεκρίνατο, ὥς φησι Πτολεμαῖος ἐν ὀγδόῳ ὑπομνημάτων, ζητοῦσι συνωνεῖσθαι πιθήκους, ‘παρ᾽ ὑμῖν ὦ οὗτοι αἱ γυναῖκες οὐ τίκτουσι παιδία;’ παιδίοις γὰρ ἔχαιρεν ὁ Μασσανάσσης καὶ εἶχε παρ᾽ αὑτῷ τρεφόμενα τῶν υἱῶν (πολλοὶ 519 δ᾽ ἦσαν) τὰ τέκνα καὶ τῶν θυγατέρων ὁμοίως. καὶ πάντα ταῦτα αὐτὸς ἔτρεφε μέχρι τριῶν ἐτῶν, μεθ᾽ ἃ

ἀπέπεμπε πρὸς τοὺς γεγεννηκότας, παραγινομένων ἄλλων. τὰ δὲ αὐτὰ ἔφη καὶ Εὔβουλος ὁ κωμικὸς ἐν Χάρισιν οὕτως

καὶ γὰρ πόσῳ κάλλιον, ἱκετεύω, τρέφειν
ἄνθρωπον ἔστ' ἄνθρωπον, ἂν ἔχῃ βίον,
ἢ χῆνα πλατυγίζοντα καὶ κεχηνότα,
ἢ στρουθὸν ἢ πίθηκον, ἐπίβουλον κακόν.

b καὶ Ἀθηνόδωρος δὲ ἐν τῷ περὶ σπουδῆς καὶ παιδιᾶς Ἀρχύταν φησὶ τὸν Ταραντῖνον, πολιτικὸν ἅμα καὶ φιλόσοφον γενόμενον, πλείστους οἰκέτας ἔχοντα ἀεὶ τούτων τοῖς παιδίοις παρὰ τὴν δίαιταν ἀφιεμένοις εἰς τὸ συμπόσιον ἥδεσθαι. ἀλλ' οἱ Συβαρῖται ἔχαιρον τοῖς μελιταίοις κυνιδίοις καὶ ἀνθρώποις οὐκ ἀνθρώποις.

17. ἐφόρουν δ' οἱ Συβαρῖται καὶ ἱμάτια μιλησίων ἐρίων πεποιημένα· ἀφ' ὧν δὴ καὶ αἱ φιλίαι ταῖς πόλεσιν ἐγένοντο, ὡς ὁ Τίμαιος ἱστορεῖ. ἠγάπων γὰρ
c τῶν μὲν ἐξ Ἰταλίας Τυρρηνούς, τῶν δ' ἔξωθεν τοὺς Ἴωνας, ὅτι τρυφῇ προσεῖχον. οἱ δ' ἱππεῖς τῶν Συβαριτῶν ὑπὲρ τοὺς πεντακισχιλίους ὄντες ἐπόμπευον ἔχοντες κροκωτοὺς ἐπὶ τοῖς θώραξι, καὶ τοῦ θέρους οἱ νεώτεροι αὐτῶν εἰς τὰ τῶν νυμφῶν ἄντρα τῶν λουσιάδων ἀποδημοῦντες διετέλουν μετὰ πάσης τρυφῆς. οἱ δ' εὔποροι αὐτῶν ὁπότε εἰς ἀγρὸν παραβάλλοιεν, καίπερ ἐπὶ ζευγῶν πορευόμενοι τὴν ἡμερησίαν πορείαν ἐν τρισὶν ἡμέραις διήνυον. ἦσαν δέ τινες αὐτοῖς καὶ τῶν εἰς τοὺς ἀγροὺς φερουσῶν ὁδῶν κατά-
d στεγοι. τοῖς δὲ πλείστοις αὐτῶν ὑπάρχουσιν οἰνῶνες ἐγγὺς τῆς θαλάσσης, εἰς οὓς δι' ὀχετῶν τῶν οἴνων ἐκ τῶν ἀγρῶν ἀφειμένων τὸν μὲν ἔξω τῆς χώρας πιπράσκεσθαι, τὸν δὲ εἰς τὴν πόλιν τοῖς πλοίοις διακομίζεσθαι. ποιοῦνται δὲ καὶ δημοσίᾳ πολλὰς καὶ

πυκνὰς ἑστιάσεις καὶ τοὺς λαμπρῶς φιλοτιμηθέντας χρυσοῖς στεφάνοις τιμῶσι, καὶ τούτους ἀνακηρύττουσιν ἐν ταῖς δημοσίαις θυσίαις καὶ τοῖς ἀγῶσι, προσκηρύττοντες οὐκ εὔνοιαν ἀλλὰ τὴν εἰς τὰ δεῖπνα χορηγίαν· ἐν οἷς στεφανοῦσθαι καὶ τῶν μαγείρων e τοὺς ἄριστα τὰ παρατεθέντα διασκευάσαντας. παρὰ Συβαρίταις δ' εὑρέθησαν καὶ πύελοι, ἐν αἷς κατακείμενοι ἐπυριῶντο. πρῶτοι δὲ καὶ ἀμίδας ἐξεῦρον, ἃς εἰσέφερον εἰς τὰ συμπόσια. καταγελῶντες δὲ τῶν ἀποδημούντων ἐκ τῶν πατρίδων αὐτοὶ ἐσεμνύνοντο ἐπὶ τῷ γεγηρακέναι ἐπὶ ταῖς τῶν ποταμῶν γεφύραις.

18. δοκεῖ δὲ μετὰ τῆς εὐδαιμονίας αὐτῶν εἶναι ὅ τε τῆς χώρας, ἀλιμένου τῆς θαλάσσης παρηκούσης καὶ τῶν καρπῶν σχεδὸν ἁπάντων ὑπὸ τῶν πολιτῶν f καταναλισκομένων, ὅ τε τῆς πόλεως τόπος καὶ ὁ παρὰ τοῦ θεοῦ χρησμὸς συμπαροξῦναι πάντας ἐκτρυφῆσαι καὶ ποιῆσαι ζῆσαι ὑπὲρ τὸ μέτρον ἐκλελυμένως. ἡ δὲ πόλις αὐτῶν ἐν κοίλῳ κειμένη τοῦ μὲν θέρους ἕωθέν τε καὶ πρὸς ἑσπέραν ψῦχος ὑπερβάλλον ἔχει, τὸ δὲ μέσον τῆς ἡμέρας καῦμα ἀνύποιστον· ὥστε τοὺς πλείστους αὐτῶν ὑπειληφέναι πρὸς ὑγίειαν διαφέρειν τοὺς πότους· ὅθεν καὶ ῥηθῆναι ὅτι τὸν βουλό- 520 μενον ἐν Συβάρει μὴ πρὸ μοίρας ἀποθανεῖν, οὔτε δυόμενον οὔτε ἀνίσχοντα τὸν ἥλιον ὁρᾶν δεῖ. ἔπεμψαν δέ ποτε καὶ εἰς θεοῦ τοὺς χρησομένους, ὧν ἦν εἷς Ἄμυρις, πυνθανόμενοι μέχρι τίνος εὐδαιμονήσουσι. καὶ ἡ Πυθία ἔφη

εὐδαίμων, Συβαρῖτα, πανευδαίμων σὺ μὲν αἰεὶ
ἐν θαλίῃσιν ἔσῃ τιμῶν γένος αἰὲν ἐόντων.
εὖτ' ἂν δὲ πρότερον θνητὸν θεοῦ ἄνδρα σεβίσσῃς,
τηνίκα σοι πόλεμός τε καὶ ἔμφυλος στάσις ἥξει. b

τούτων ἀκούσαντες ἔδοξαν λέγειν αὐτοῖς τὸν θεὸν ὡς οὐδέποτε παύσαιντο τρυφῶντες· οὐδέποτε γὰρ τιμήσειν ἄνθρωπον μᾶλλον θεοῦ. ἐγένετο δ' οὖν αὐτοῖς τῆς τύχης ἡ μεταβολή, ἐπεί τις τῶν οἰκετῶν τινα μαστιγῶν καὶ τοῦτον καταφυγόντα εἰς τὰ ἱερὰ πάλιν ἐμαστίγου, ὡς δὲ τὸ τελευταῖον κατέδραμεν ἐπὶ τὰ τοῦ πατρὸς αὐτοῦ μνήματα, ἀφῆκεν αἰδεσθείς. c ἐξαναλώθησαν δὲ φιλοτιμούμενοι πρὸς ἑαυτοὺς τρυφαῖς. καὶ ἡ πόλις δὲ πρὸς ἁπάσας τὰς ἄλλας ἡμιλλᾶτο περὶ τρυφῆς. εἶτα μετ' οὐ πολὺ γινομένων αὐτοῖς σημείων πολλῶν καὶ ἀπωλείας, περὶ ἧς νῦν οὐ κατεπείγει λέγειν, διεφθάρησαν.

19. εἰς τηλικοῦτον δ' ἦσαν τρυφῆς ἐληλακότες, ὡς καὶ παρὰ τὰς εὐωχίας τοὺς ἵππους ἐθίσαι πρὸς αὐλὸν ὀρχεῖσθαι. τοῦτ' οὖν εἰδότες οἱ Κροτωνιᾶται, ὅτε αὐτοῖς ἐπολέμουν, ὡς καὶ Ἀριστοτέλης ἱστορεῖ d διὰ τῆς πολιτείας αὐτῶν, ἐνέδοσαν τοῖς ἵπποις τὸ ὀρχηστικὸν μέλος. συμπαρῆσαν γὰρ αὐτοῖς καὶ αὐληταὶ ἐν στρατιωτικῇ σκευῇ. καὶ ἅμα αὐλούντων ἀκούοντες οἱ ἵπποι οὐ μόνον διωρχήσαντο, ἀλλὰ καὶ τοὺς ἀναβάτας ἔχοντες ηὐτομόλησαν πρὸς τοὺς Κροτωνιάτας. τὰ ὅμοια ἱστόρησε καὶ περὶ Καρδιανῶν ὁ Λαμψακηνὸς Χάρων ἐν δευτέρῳ Ὥρων γράφων οὕτως 'Βισάλται ἐς Καρδίην ἐστρατεύσαντο καὶ ἐνίκησαν. ἡγεμὼν δὲ τῶν Βισαλτέων ἦν Ὄναρις. οὗτος δὲ παῖς e ἐὼν ἐν τῇ Καρδίῃ ἐπρήθη καί τινι Καρδιηνῷ δουλεύσας κορσωτεὺς ἐγένετο. Καρδιηνοῖσι δὲ λόγιον ἦν ὡς Βισάλται ἀπίξονται ἐπ' αὐτούς, καὶ πυκνὰ περὶ τούτου διελέγοντο ἐν τῷ κορσωτηρίῳ ἱζάνοντες. καὶ ἀποδρὰς ἐκ τῆς Καρδίης ἐς τὴν πατρίδα τοὺς Βισάλτας ἔστειλε ἐπὶ τοὺς Καρδιηνούς, ἀποδεχθεὶς ἡγεμὼν ὑπὸ τῶν Βισαλτέων. οἱ δὲ Καρδιηνοὶ πάντες

τοὺς ἵππους ἐδίδαξαν ἐν τοῖσι συμποσίοισι ὀρχέεσθαι ὑπὸ τῶν αὐλῶν, καὶ ἐπὶ τῶν ὀπισθίων ποδῶν ἱστάμενοι τοῖσι προσθίοισι ὠρχέοντο ἐξεπιστάμενοι τὰ αὐλήματα. ταῦτα ὦν ἐπιστάμενος Ὄναρις ἐκτήσατο ἐκ τῆς Καρδίης αὐλητρίδα, καὶ ἀπικομένη ἡ αὐλητρὶς f ἐς τοὺς Βισάλτας ἐδίδαξε πολλοὺς αὐλητάς, μεθ᾽ ὧν δὴ καὶ στρατεύεται ἐπὶ τὴν Καρδίην. καὶ ἐπειδὴ ἡ μάχη συνειστήκει, ἐκέλευσε αὐλέειν τὰ αὐλήματα, ὅσα οἱ ἵπποι τῶν Καρδιηνῶν ἐξεπισταίατο. καὶ ἐπεὶ ἤκουσαν οἱ ἵπποι τοῦ αὐλοῦ, ἔστησαν ἐπὶ τῶν ὀπισθίων ποδῶν καὶ πρὸς ὀρχησμὸν ἐτράποντο· τῶν δὲ Καρδιηνῶν ἡ ἰσχὺς ἐν τῇ ἵππῳ ἦν· καὶ οὕτως ἐνικήθησαν.᾽ Συβαριτῶν δέ τις εἰς Κρότωνά ποτε δια- 521 πλεῦσαι βουληθεὶς ἐκ τῆς Συβάρεως ἰδιόστολον ἐναυλώσατο πλοῖον, ἐφ᾽ ᾧ οὔτε ῥαντισθήσεται οὔτε ἐμβήσεται ἕτερος καὶ [ἐφ᾽ ᾧ] τὸν ἵππον ἀναλήψεται. τοῦ δὲ τούτῳ συμφωνήσαντος ἐνεβίβασέ τε τὸν ἵππον καὶ ὑποστορέσαι τῷ ζῴῳ ἐκέλευσεν. ἔπειτα τινὸς τῶν προπεμπόντων ἐδεῖτο συμπλεῦσαι αὐτῷ, λέγων ὅτι προδιεστειλάμην τῷ πορθμεῖ ἵνα παρὰ τὴν γῆν πλέῃ. ὁ δὲ ἀπεκρίνατο ὅτι μόλις ἄν σου ὑπήκουσα, εἰ παρὰ τὴν θάλασσαν ἔμελλες πεζεύειν καὶ μὴ παρὰ τὴν γῆν πλεῖν.

20. Φύλαρχος δ᾽ ἐν τῇ πέμπτῃ καὶ εἰκοστῇ τῶν b ἱστοριῶν, εἰπὼν ὅτι παρὰ Συρακοσίοις νόμος ἦν τὰς γυναῖκας μὴ κοσμεῖσθαι χρυσῷ μηδ᾽ ἀνθινὰ φορεῖν μηδ᾽ ἐσθῆτας ἔχειν πορφυρᾶς ἐχούσας παρυφάς, ἐὰν μή τις αὐτῶν συγχωρῇ ἑταίρα εἶναι κοινή, καὶ ὅτι ἄλλος ἦν νόμος τὸν ἄνδρα μὴ καλλωπίζεσθαι μηδ᾽ ἐσθῆτι περιέργῳ χρῆσθαι καὶ διαλλαττούσῃ, ἐὰν μὴ ὁμολογῇ μοιχεύειν ἢ κίναιδος εἶναι, καὶ τὴν ἐλευθέραν μὴ ἐκπορεύεσθαι ἡλίου δεδυκότος, ἐὰν μὴ μοι-

*χευθησομένην· ἐκωλύετο δὲ καὶ ἡμέρας ἐξιέναι ἄνευ*
c *τῶν γυναικονόμων ἀκολουθούσης αὐτῇ μιᾶς θερα-*
*παινίδος· ‛Συβαρῖται (φησὶν) ἐξοκείλαντες εἰς τρυ-*
*φὴν ἔγραψαν νόμον τὰς γυναῖκας εἰς τὰς ἑορτὰς κα-*
*λεῖν, καὶ τοὺς εἰς τὰς θυσίας καλοῦντας πρὸ ἐνιαυτοῦ*
*τὴν παρασκευὴν ποιεῖσθαι, ἵνα ἀξίως ποιούμενοι τοῦ*
*χρόνου τῶν θ᾽ ἱματίων καὶ τοῦ λοιποῦ κόσμου προ-*
*άγωσιν οὕτως εἰς τὰς κλήσεις. εἰ δέ τις τῶν ὀψο-*
*ποιῶν ἢ μαγείρων ἴδιον εὕροι βρῶμα καὶ περιττόν,*
*τὴν ἐξουσίαν μὴ εἶναι χρήσασθαι τούτῳ ἕτερον πρὸ*
*ἐνιαυτοῦ, ἀλλ᾽ αὐτῷ τῷ εὑρόντι τὸν χρόνον τοῦτον,*
d *ὅπως ὁ πρῶτος εὑρὼν καὶ τὴν ἐργασίαν ἔχῃ, πρὸς τὸ*
*τοὺς ἄλλους φιλοπονοῦντας αὑτοὺς ὑπερβάλλεσθαι*
*τοῖς τοιούτοις. ὡσαύτως δὲ μήτε τοὺς τὰς ἐγχέλεις*
*πωλοῦντας τέλος ἀποτίνειν μήτε τοὺς θηρεύοντας.*
*τὸν αὐτὸν τρόπον καὶ τοὺς τὴν πορφύραν τὴν θα-*
*λαττίαν βάπτοντας καὶ τοὺς εἰσάγοντας ἀτελεῖς ἐποί-*
*ησαν.᾽*

21. *‛πάνυ οὖν ἐξοκείλαντες εἰς ὕβριν τὸ τελευ-*
*ταῖον παρὰ Κροτωνιατῶν τριάκοντα πρεσβευτῶν*
*ἡκόντων ἅπαντας αὐτοὺς ἀπέκτειναν καὶ πρὸ τοῦ*
*τείχους τὰ σώματα ἐξέρριψαν καὶ ὑπὸ θηρίων εἴασαν*
e *διαφθαρῆναι. αὕτη δ᾽ αὐτοῖς καὶ τῶν κακῶν ἐγένετο*
*ἀρχή, μηνίσαντος τοῦ δαιμονίου. ἔδοξαν γοῦν μετ᾽*
*ὀλίγας ἡμέρας πάντες αὐτῶν οἱ ἄρχοντες τὴν αὐτὴν*
*ἰδεῖν ὄψιν ἐν τῇ αὐτῇ νυκτί, τὴν [γὰρ] Ἥραν ἰδόντες*
*ἐλθοῦσαν εἰς μέσην τὴν ἀγορὰν καὶ ἐμοῦσαν χολήν.*
*ἀνέβλυσε δὲ καὶ αἵματος πηγὴ ἐν τῷ ἱερῷ αὐτῆς. καὶ*
*οὐδὲ οὕτως ἔληξαν τῆς ὑπερηφανίας, ἕως πάντες ὑπὸ*
*Κροτωνιατῶν ἀπώλοντο.᾽ Ἡρακλείδης δ᾽ ὁ Ποντικὸς*
*ἐν τῷ περὶ δικαιοσύνης φησί ‛Συβαρῖται τὴν Τήλυος*
*τυραννίδα καταλύσαντες τοὺς μετασχόντας τῶν πραγ-*

μάτων ἀναιροῦντες καὶ φονεύοντες ἐπὶ τῶν βωμῶν f ἀπήντησαν. καὶ ἐπὶ τοῖς φόνοις τούτοις ἀπεστράφη μὲν τὸ τῆς Ἥρας ἄγαλμα, τὸ δὲ ἔδαφος ἀνῆκε πηγὴν αἵματος, ὥστε τὸν σύνεγγυς ἅπαντα τόπον κατεχάλκωσαν θυρίσι, βουλόμενοι στῆσαι τὴν τοῦ αἵματος ἀναφοράν ... διόπερ ἀνάστατοι ἐγένοντο καὶ διεφθάρησαν ἅπαντες οἱ καὶ τὸν τῶν ὀλυμπίων τῶν πάνυ 522 ἀγῶνα ἀμαυρῶσαι ἐθελήσαντες. καθ' ὃν γὰρ ἄγεται καιρὸν ἐπιτηρήσαντες ἄθλων ὑπερβολῇ ὡς αὑτοὺς καλεῖν ἐπεχείρουν τοὺς ἀθλητάς.'

22. καὶ Κροτωνιᾶται δ', ὥς φησι Τίμαιος, μετὰ τὸ ἐξελεῖν Συβαρίτας ἐξώκειλαν εἰς τρυφήν, ὥστε καὶ τὸν ἄρχοντα αὐτῶν περιιέναι κατὰ τὴν πόλιν ἁλουργίδα ἠμφιεσμένον καὶ ἐστεφανωμένον χρυσῷ στεφάνῳ, ὑποδεδεμένον λευκὰς κρηπῖδας. οἱ δὲ οὐ διὰ τρυφήν φασι τοῦτο γεγονέναι ἀλλὰ διὰ Δημοκήδη τὸν ἰατρόν, ὃς τὸ γένος ἦν Κροτωνιάτης, Πο- b λυκράτει δὲ τῷ Σαμίων τυράννῳ συνὼν καὶ μετὰ τὸν ἐκείνου θάνατον αἰχμαλωτισθεὶς ὑπὸ Περσῶν ἀνήχθη ὡς βασιλέα, Ὀροίτου τὸν Πολυκράτην ἀποκτείναντος. θεραπεύσας δ' ὁ Δημοκήδης Ἄτοσσαν τὴν Δαρείου μὲν γυναῖκα, Κύρου δὲ θυγατέρα, τὸν μαστὸν ἀλγήσασαν, ᾔτησε ταύτην δωρεὰν καταπεμφθῆναι εἰς τὴν Ἑλλάδα, ὡς ἐπανελευσόμενος· καὶ τυχὼν ἧκεν εἰς Κρότωνα. βουλομένου τε αὐτόθι καταμένειν, ἐπιλαβομένου τινὸς τῶν Περσῶν καὶ λέγοντος ὅτι βασιλέως εἴη δοῦλος, ἐκεῖνον μὲν ἀφείλοντο c οἱ Κροτωνιᾶται, ἐκδύσαντες δὲ τὴν στολὴν τοῦ Πέρσου ἐνέδυσαν τὸν ὑπηρέτην τοῦ πρυτανεύοντος. ἐξ οὗ δὴ περσικὴν ἔχων στολὴν περιέρχεται ταῖς ἑβδόμαις τοὺς βωμοὺς μετὰ τοῦ πρυτάνεως· οὐ τρυφῆς χάριν οὐδ' ὕβρεως ἀλλ' ἐπηρείας τῆς εἰς τοὺς Πέρ-

σας τοῦτο πράττοντες. ὕστερον δὲ καὶ οἱ Κροτωνιᾶ-
ται, φησὶν ὁ Τίμαιος, ἐπεχείρησαν τὴν ὀλυμπικὴν
πανήγυριν καταλῦσαι, τῷ αὐτῷ χρόνῳ προθέντες
d ἀργυρικὸν σφόδρα πλούσιον ἀγῶνα. οἳ δὲ Συβαρίτας
τοῦτο ποιῆσαι λέγουσιν.

23. Ταραντίνους δέ φησι Κλέαρχος ἐν τετάρτῳ
βίων ἀλκὴν καὶ δύναμιν κτησαμένους εἰς τοσοῦτον
τρυφῆς προελθεῖν ὥστε τὸν ὅλον χρῶτα παραλεαί-
νεσθαι καὶ τῆς ψιλώσεως ταύτης τοῖς λοιποῖς κατάρ-
ξαι. ἐφόρουν δέ, φησί, καὶ παρύφη διαφανῆ πάν-
τες, οἷς νῦν ὁ τῶν γυναικῶν ἁβρύνεται βίος. ὕσ-
τερον δ' ὑπὸ τῆς τρυφῆς εἰς ὕβριν ποδηγηθέντες
e ἀνάστατον μίαν πόλιν Ἰαπύγων ἐποίησαν Κάρβιναν,
ἐξ ἧς παῖδας καὶ παρθένους καὶ τὰς ἐν ἀκμῇ γυναῖ-
κας ἀθροίσαντες εἰς τὰ τῶν Καρβινατῶν ἱερὰ σκηνο-
ποιησάμενοι γυμνὰ πᾶσι τῆς ἡμέρας τὰ σώματα
παρεῖχον θεωρεῖν· καὶ ὁ βουλόμενος, καθάπερ εἰς
ἀτυχῆ παραπηδῶν ἀγέλην, ἐθοινᾶτο ταῖς ἐπιθυμίαις
τὴν τῶν ἀθροισθέντων ὥραν, πάντων μὲν ὁρώντων,
μάλιστα δὲ ὧν ἥκιστα ἐκεῖνοι προσεδόκων θεῶν.
οὕτω δὲ τὸ δαιμόνιον ἠγανάκτησεν ὥστε Ταραντίνων
τοὺς ἐν Καρβίνῃ παρανομήσαντας ἐκεραύνωσε πάν-
f τας. καὶ μέχρι καὶ νῦν ἐν Τάραντι ἑκάστη τῶν
οἰκιῶν, ὅσους ἀπεδέξατο τῶν εἰς Ἰαπυγίαν ἐκπεμ-
φθέντων, τοσαύτας ἔχει στήλας πρὸ τῶν θυρῶν, ἐφ'
αἷς καθ' ὃν ἀπώλοντο χρόνον οὔτ' οἰκτίζονται τοὺς
ἀποιχομένους οὔτε τὰς νομίμους χέονται χοάς, ἀλλὰ
θύουσι Διὶ καταιβάτῃ.

24. Ἰαπύγων τε αὖ, τὸ γένος ἐκ Κρήτης ὄντων,
κατὰ Γλαύκου ζήτησιν ἀφικομένων καὶ κατοικησάν-
523 των, οἱ μετὰ τούτους λήθην λαβόντες τῆς Κρητῶν
περὶ τὸν βίον εὐκοσμίας εἰς τοῦτο τρυφῆς εἶθ' ὕστε-

ρον ὕβρεως ἦλθον, ὥστε πρῶτοι τὸ πρόσωπον ἐντριψάμενοι καὶ προκόμια περιθετά τε λαβόντες στολὰς μὲν ἀνθινὰς φορῆσαι τὸ δὲ ἐργάσασθαι καὶ πονεῖν αἰσχρὸν νομίσαι, καὶ τοὺς μὲν πολλοὺς αὐτῶν καλλίονας τὰς οἰκίας ποιῆσαι τῶν ἱερῶν, τοὺς δ' ἡγεμόνας τῶν Ἰαπύγων ἐφυβρίζοντας τὸ θεῖον πορθεῖν ἐκ τῶν ἱερῶν τὰ τῶν θεῶν ἀγάλματα, προειπόντας μεθίστασθαι b τοῖς κρείττοσι. διόπερ ἐξ οὐρανοῦ βαλλόμενοι πυρὶ καὶ χαλκῷ, ταύτην διέδοσαν τὴν φήμην. ἐμφανῆ γὰρ ἦν μέχρι πόρρω κεχαλκευμένα τῶν ἐξ οὐρανοῦ βελῶν· καὶ πάντες οἱ ἀπ' ἐκείνων μέχρι τήμερον ἐν χρῷ κεκαρμένοι καὶ πένθιμον στολὴν ἀμπεχόμενοι ζῶσι, πάντων τῶν πρὶν ὑπαρξάντων ἀγαθῶν σπανίζοντες.

25. Ἴβηρες δέ, καίτοι ἐν τραγικαῖς στολαῖς καὶ ποικίλαις προϊόντες καὶ χιτῶσι ποδήρεσι χρώμενοι, οὐδὲν ἐμποδίζονται τῆς πρὸς τοὺς πολέμους ῥώμης. c Μασσαλιῶται δ' ἐθηλύνθησαν οἱ τὸν αὐτὸν Ἴβηρσι τῆς ἐσθῆτος φοροῦντες κόσμον. ἀσχημονοῦσι γοῦν διὰ τὴν ἐν ταῖς ψυχαῖς μαλακίαν, διὰ τρυφὴν γυναικοπαθοῦντες. ὅθεν καὶ παροιμία παρῆλθε 'πλεύσειας εἰς Μασσαλίαν.' καὶ οἱ τὴν Σῖριν δὲ κατοικοῦντες, ἣν πρῶτοι κατέσχον οἱ ἀπὸ Τροίας ἐλθόντες, ὕστερον δ' ὑπὸ Κολοφωνίων [ἐκβληθέντες], ὥς φησι Τίμαιος καὶ Ἀριστοτέλης, εἰς τρυφὴν ἐξώκειλαν οὐχ ἧσσον Συβαριτῶν. καὶ γὰρ ἰδίως παρ' αὐτοῖς ἐπε- d χωρίασε φορεῖν ἀνθινοὺς χιτῶνας, οὓς ἐζώννυντο μίτραις πολυτελέσι· καὶ ἐκαλοῦντο διὰ τοῦτο ὑπὸ τῶν περιοίκων μιτροχίτωνες, ἐπεὶ Ὅμηρος τοὺς ἀζώστους ἀμιτροχίτωνας καλεῖ. καὶ Ἀρχίλοχος δ' ὁ ποιητὴς ὑπερτεθαύμακε τὴν χώραν τῶν Σιριτῶν διὰ τὴν

εὐδαιμονίαν. περὶ γοῦν τῆς Θάσου λέγων ὡς ἥσσονος φησίν

οὐ γάρ τι καλὸς χῶρος οὐδ' ἐπίμερος,
οὐδ' ἐρατός, οἷος ἀμφὶ Σίριος ῥοάς.

ὠνομάσθη δ' ἡ Σῖρις, ὡς μὲν Τίμαιός φησι καὶ Εὐριπίδης ἐν δεσμώτιδι Μελανίππῃ, ἀπὸ γυναικός τινος e Σίριδος, ὡς δ' Ἀρχίλοχος, ἀπὸ ποταμοῦ. οὐκ ὀλίγον δὲ πρὸς τὴν τρυφὴν καὶ τὴν εὐδαιμονίαν τοῦ σύμπαντος τούτου κλίματος καὶ τὸ πλῆθος ἐγένετο τῶν ἀνθρώπων. διὸ καὶ μεγάλη Ἑλλὰς ἐκλήθη πᾶσα σχεδὸν ἡ κατὰ τὴν Ἰταλίαν κατοίκησις.

26. Μιλήσιοι δ' ἕως μὲν οὐκ ἐτρύφων, ἐνίκων Σκύθας, ὥς φησιν Ἔφορος, καὶ τάς τε ἐφ' Ἑλλησπόντῳ πόλεις ἔκτισαν καὶ τὸν Εὔξεινον πόντον κατῴκισαν πόλεσι λαμπραῖς, καὶ πάντες ἐπὶ τὴν Μίλη- f τον ἔθεον. ὡς δ' ὑπήχθησαν ἡδονῇ καὶ τρυφῇ, κατερρύη τὸ τῆς πόλεως ἀνδρεῖον, φησὶν Ἀριστοτέλης, καὶ παροιμία τις ἐγενήθη ἐπ' αὐτῶν

πάλαι ποτ' ἦσαν ἄλκιμοι Μιλήσιοι.

Ἡρακλείδης δ' ὁ Ποντικὸς ἐν δευτέρῳ περὶ δικαιοσύνης φησίν 'ἡ Μιλησίων πόλις περιπέπτωκεν ἀτυχίαις διὰ τρυφὴν βίου καὶ πολιτικὰς ἔχθρας· οἳ τὸ 524 ἐπιεικὲς οὐκ ἀγαπῶντες ἐκ ῥιζῶν ἀνεῖλον τοὺς ἐχθρούς. στασιαζόντων γὰρ τῶν τὰς οὐσίας ἐχόντων καὶ τῶν δημοτῶν, οὓς ἐκεῖνοι γέργιθας ἐκάλουν, πρῶτον μὲν κρατήσας ὁ δῆμος καὶ τοὺς πλουσίους ἐκβαλὼν καὶ συναγαγὼν τὰ τέκνα τῶν φυγόντων εἰς ἀλωνίας, βοῦς συναγαγόντες συνηλοίησαν καὶ παρανομωτάτῳ θανάτῳ διέφθειραν. τοιγάρτοι πάλιν οἱ πλούσιοι κρατήσαντες ἅπαντας ὧν κύριοι κατέστησαν μετὰ τῶν τέκνων κατεπίττωσαν. ὧν καιομένων φασὶν ἄλλα τε πολλὰ γενέσθαι τέρατα καὶ ἐλαίαν ἱερὰν

αὐτομάτην ἀναφθῆναι. διόπερ ὁ θεὸς ἐπὶ πολὺν b χρόνον ἀπήλαυνεν αὐτοὺς τοῦ μαντείου, καὶ ἐπερωτώντων διὰ τίνα αἰτίαν ἀπελαύνονται εἶπε

καί μοι γεργίθων τε φόνος μέλει ἀπτολεμίστων,
πισσήρων τε μόρος, καὶ δένδρεον αἰὲν ἀθαλλές.

Κλέαρχος δ' ἐν τετάρτῳ ζηλώσαντάς φησι τοὺς Μιλησίους τὴν Κολοφωνίων τρυφὴν διαδοῦναι καὶ τοῖς πλησιοχώροις, ἔπειτ' ὀνειδιζομένους λέγειν ἑαυτοῖς ‛οἴκοι τὰ Μιλήσια κἀπιχώρια καὶ μὴ 'ν τῷ μέσῳ.'

27. καὶ περὶ Σκυθῶν δ' ἑξῆς ὁ Κλέαρχος τάδε c ἱστορεῖ ‛μόνον δὲ νόμοις κοινοῖς πρῶτον ἔθνος ἐχρήσατο τὸ Σκυθῶν· εἶτα πάλιν ἐγένοντο πάντων ἀθλιώτατοι βροτῶν διὰ τὴν ὕβριν. ἐτρύφησαν μὲν γὰρ ὡς οὐδένες ἕτεροι, τῶν πάντων εὐροίας καὶ πλούτου καὶ τῆς λοιπῆς αὐτοὺς χορηγίας κατασχούσης.' τοῦτο δὲ δῆλον ἐκ τῆς ἔτι καὶ νῦν ὑπολειπούσης περὶ τοὺς ἡγεμόνας αὐτῶν ἐσθῆτός τε καὶ διαίτης. τρυφήσαντες δὲ καὶ μάλιστα δὴ καὶ πρῶτοι πάντων d τῶν ἀνθρώπων ἐπὶ τὸ τρυφᾶν ὁρμήσαντες εἰς τοῦτο προῆλθον ὕβρεως ὥστε πάντων τῶν ἀνθρώπων εἰς οὓς ἀφίκοιντο ἠκρωτηρίαζον τὰς ῥῖνας· ἀφ' ὧν οἱ ἀπόγονοι μεταστάντες ἔτι καὶ νῦν ἀπὸ τοῦ πάθους ἔχουσι τὴν ἐπωνυμίαν. αἱ δὲ γυναῖκες αὐτῶν τὰς Θρᾳκῶν τῶν πρὸς ἑσπέραν καὶ ἄρκτον τῶν περιοίκων γυναῖκας ἐποίκιλλον τὰ σώματα, περόναις γραφὴν ἐνεῖσαι. ὅθεν πολλοῖς ἔτεσιν ὕστερον αἱ ὑβρισθεῖσαι τῶν Θρᾳκῶν γυναῖκες ἰδίως ἐξηλείψαντο τὴν συμφοράν, προσαναγραψάμεναι τὰ λοιπὰ τοῦ e χρωτός, ἵν' ὁ τῆς ὕβρεως καὶ τῆς αἰσχύνης ἐπ' αὐταῖς χαρακτὴρ εἰς ποικιλίαν καταριθμηθεὶς κόσμου προσηγορίᾳ τοὔνειδος ἐξαλείψῃ. πάντων δὲ οὕτως ὑπερηφάνως προέστησαν ὥστε οὐδένων ἄδακρυς ἡ

τῆς δουλείας ὑπουργία γιγνομένη διήγγειλεν εἰς τοὺς ἐπιγιγνομένους τὴν ἀπὸ Σκυθῶν ῥῆσιν οἷά τις ἦν. διὰ τὸ πλῆθος οὖν τῶν κατασχουσῶν αὐτοὺς συμφορῶν, ἐπεὶ διὰ τὸ πένθος ἅμα τόν τε τῶν βίων
f ὄλβον καὶ τὰς κόμας περιεσπάσθησαν παντὸς ἔθνους, οἱ ἔξω τὴν ἐφ' ὕβρει κουρὰν ἀπεσκυθίσθαι προσηγόρευσαν.

28. τοὺς δὲ σύμπαντας Ἴωνας ἐπισκώπτων Καλλίας ἢ Διοκλῆς ἐν Κύκλωψί φησι

τί γὰρ ἡ τρυφερὰ καὶ καλλιτράπεξος Ἰωνία
εἰπὸν ὅ τι πράττει.

καὶ Ἀβυδηνοί, Μιλησίων δ' εἰσὶν ἄποικοι, ἀνειμένοι τὴν δίαιτάν εἰσι καὶ κατεαγότες, ὡς παρίστησιν Ἕρμιππος ἐν Στρατιώταις

χαῖρ' ὦ διαπόντιον
στράτευμα. τί πράττομεν;
Β. τὰ μὲν πρὸς ὄψιν μάλα καλῶς ἔχειν δοκεῖ
. . ἀπὸ σώματος,
525 κόμῃ τε νεανικῇ
σφρίγει τε βραχιόνων.
Α. ᾔσθου τὸν Ἄβυδον ὡς
ἀνὴρ γεγένηται;

καὶ Ἀριστοφάνης Τριφάλητι παρακωμῳδῶν πολλοὺς τῶν Ἰώνων

ἔπειθ' ὅσοι παρῆσαν ἐπίσημοι ξένοι
ἐπηκολούθουν κἠντιβόλουν προσκείμενοι,
ὅκως ἔχων τὸν παῖδα πωλήσει 'ς Χίον,
ἕτερος δ' ὅκως ἐς Κλαζομενάς, ἕτερος δ' ὅκως
b ἐς Ἔφεσον, ὁ δ' ἐς Ἄβυδον. ἦν δ' ἐκεῖνα πάνθ' ὁδῷ.

περὶ δὲ τῶν Ἀβυδηνῶν Ἀντιφῶν ἐν τῷ κατ' Ἀλκιβιάδου λοιδορίας γράφει οὕτως 'ἐπειδὴ ἐδοκιμάσθης

ὑπὸ τῶν ἐπιτρόπων, παραλαβὼν παρ᾽ αὐτῶν τὰ σαυ-
τοῦ χρήματα, ᾤχου ἀποπλέων εἰς Ἄβυδον, οὔτε χρέος
ἴδιον σαυτοῦ πραξόμενος οὐδὲν οὔτε προξενίας οὐδε-
μιᾶς ἕνεκεν, ἀλλὰ τῇ σαυτοῦ παρανομίᾳ καὶ ἀκολασίᾳ
τῆς γνώμης ὁμοίους ἔργων τρόπους μαθησόμενος
παρὰ τῶν ἐν Ἀβύδῳ γυναικῶν, ὅπως ἐν τῷ ἐπιλοίπῳ
βίῳ σαυτοῦ ἔχοις χρῆσθαι αὐτοῖς.᾽

29. ἀπώλοντο δὲ καὶ Μάγνητες οἱ πρὸς τῷ Μαι- c
άνδρῳ διὰ τὸ πλέον ἀνεθῆναι, ὥς φησι Καλλῖνος ἐν
τοῖς ἐλεγείοις καὶ Ἀρχίλοχος. ἑάλωσαν γὰρ ὑπὸ Ἐφε-
σίων. καὶ περὶ αὐτῶν δὲ τῶν Ἐφεσίων Δημόκριτος
Ἐφέσιος ἐν τῷ προτέρῳ περὶ τοῦ ἐν Ἐφέσῳ ναοῦ
διηγούμενος περὶ τῆς χλιδῆς αὐτῶν καὶ ὧν ἐφόρουν
βαπτῶν ἱματίων γράφει καὶ τάδε ʻτὰ δὲ τῶν Ἰώνων
ἰοβαφῆ καὶ πορφυρᾶ καὶ κρόκινα ῥόμβοις ὑφαντά·
αἱ δὲ κεφαλαὶ κατ᾽ ἴσα διειλημμέναι ζῴοις. καὶ σα-
ράπεις μήλινοι καὶ πορφυροῖ καὶ λευκοί, οἱ δὲ ἁλουρ- d
γεῖς. καὶ καλασίρεις κορινθιουργεῖς· εἰσὶ δὲ αἱ μὲν
πορφυραῖ τούτων αἱ δὲ ἰοβαφεῖς αἱ δὲ ὑακίνθιναι·
λάβοι δ᾽ ἄν τις καὶ φλογίνας καὶ θαλασσοειδεῖς.
ὑπάρχουσι δὲ καὶ περσικαὶ καλασίρεις, αἵπερ εἰσὶ
κάλλισται πασῶν. ἴδοι δ᾽ ἄν τις, φησί, καὶ τὰς κα-
λουμένας ἀκταίας, ὅπερ ἐστὶ καὶ πολυτελέστατον ἐν
τοῖς περσικοῖς περιβλήμασιν. ἔστι δὲ τοῦτο σπαθη-
τὸν ἰσχύος καὶ κουφότητος χάριν, καταπέπασται δὲ
χρυσοῖς κέγχροις· οἱ δὲ κέγχροι νήματι πορφυρῷ
πάντες εἰς τὴν εἴσω μοῖραν ἅμματ᾽ ἔχουσιν ἀνὰ μέ- e
σον.᾽ τούτοις πᾶσι χρῆσθαί φησι τοὺς Ἐφεσίους ἐπι-
δόντας εἰς τρυφήν.

30. περὶ δὲ τῆς Σαμίων τρυφῆς Δοῦρις ἱστορῶν
παρατίθεται Ἀσίου ποιήματα, ὅτι ἐφόρουν χλιδῶνας
περὶ τοῖς βραχίοσι καὶ τὴν ἑορτὴν ἄγοντες τῶν

Ἡραίων ἐβάδιζον κατεκτενισμένοι τὰς κόμας ἐπὶ τὸ μετάφρενον καὶ τοὺς ὤμους. τὸ δὲ νόμιμον τοῦτο μαρτυρεῖσθαι καὶ ὑπὸ παροιμίας τῆσδε 'βαδιστέ' εἰς Ἡραῖον ἐμπεπλεγμένον.' ἔστι δὲ τὰ τοῦ Ἀσίου ἔπη οὕτως ἔχοντα

f οἳ δ' αὔτως φοίτεσκον, ὅπως πλοκάμους κτενίσαιντο,
εἰς Ἥρης τέμενος. πεπυκασμένοι εἵμασι καλοῖς,
χιονέοισι χιτῶσι πέδον χθονὸς εὐρέος εἶχον,
χαῖται δ' ἠωρεῦντ' ἀνέμῳ χρυσέοις ἐνὶ δεσμοῖς,
χρύσειαι δὲ κόρυμβαι ἐπ' αὐτῶν τέττιγες ὥς.
δαιδάλεοι δὲ χλιδῶνες ἄρ . . .
ἀμφὶ βραχίοσιν ησαντες ὑπασπίδιον πολεμιστήν.

Ἡρακλείδης δ' ὁ Ποντικὸς ἐν τῷ περὶ ἡδονῆς Σα-
526 μίους φησὶ καθ' ὑπερβολὴν τρυφήσαντας διὰ τὴν πρὸς ἀλλήλους μικρολογίαν ὥσπερ Συβαρίτας τὴν πόλιν ἀπολέσαι.

31. Κολοφώνιοι δ', ὥς φησι Φύλαρχος, τὴν ἀρχὴν ὄντες σκληροὶ ἐν ταῖς ἀγωγαῖς, ἐπεὶ εἰς τρυφὴν ἐξώκειλαν, πρὸς Λυδοὺς φιλίαν καὶ συμμαχίαν ποιησάμενοι προῄεσαν διησκημένοι τὰς κόμας χρυσῷ κόσμῳ, ὡς καὶ Ξενοφάνης φησίν

ἁβροσύνας δὲ μαθόντες ἀνωφελέας παρὰ Λυδῶν,
b ὄφρα τυραννείης ἦσαν ἄνευ στυγερῆς,
ᾔεσαν εἰς ἀγορὴν παναλουργέα φάρε' ἔχοντες,
οὐ μείους ἤπερ χίλιοι εἰς ἐπίπαν,
αὐχαλέοι, χαίτῃσιν ἀγαλλόμενοι χρυσέῃσιν,
ἀσκητοῖς ὀδμὴν χρίμασι δευόμενοι.

οὕτω δ' ἐξελύθησαν διὰ τὴν ἄκαιρον μέθην ὥστε τινὲς αὐτῶν οὔτε ἀνατέλλοντα τὸν ἥλιον οὔτε δυόμενον ἑοράκασιν. νόμον τε ἔθεντο, ὃς ἔτι καὶ ἐφ' ἡμῶν

ἦν, τὰς αὐλητρίδας καὶ τὰς ψαλτρίας καὶ πάντα τὰ c
τοιαῦτα τῶν ἀκροαμάτων τὰ μισθώματα λαμβάνειν
ἀπὸ πρῲ μέχρι μέσου ἡμέρας καὶ μέχρι λύχνων ἁφῶν·
ἀπὸ δὲ τούτου τὴν λοιπὴν νύκτα ἦσαν πρὸς τῷ με-
θύειν. Θεόπομπος δ' ἐν πεντεκαιδεκάτῃ ἱστοριῶν
χιλίους φησὶν ἄνδρας αὐτῶν ἁλουργεῖς φοροῦντας
στολὰς ἀστυπολεῖν· ὅθεν καὶ βασιλεῦσι σπάνιον τότ'
ἦν καὶ περισπούδαστον. ἰσοστάσιος γὰρ ἦν ἡ πορ-
φύρα πρὸς ἄργυρον ἐξεταζομένη. τοιγαροῦν διὰ τὴν
τοιαύτην ἀγωγὴν ἐν τυραννίδι καὶ στάσεσι γενόμενοι
αὐτῇ πατρίδι διεφθάρησαν. ταῦτα εἴρηκε περὶ αὐ- d
τῶν καὶ Διογένης ὁ Βαβυλώνιος ἐν τῷ πρώτῳ τῶν
Νόμων. κοινῶς δὲ περὶ πάντων τῶν Ἰώνων τρυφῆς
Ἀντιφάνης ἐν Δωδώνῃ τάδε λέγει

πόθεν οἰκήτωρ; ἤ τις Ἰώνων
τρυφεραμπεχόνων ἁβρὸς ἡδυπαθὴς
ὄχλος ὥρμηται;

Θεόφραστος δ' ἐν τῷ περὶ ἡδονῆς καὶ δὴ καὶ τοὺς
Ἴωνάς φησι διὰ τὴν ὑπερβολὴν τῆς τρυφῆς . . . ἔτι
καὶ νῦν ἡ χρυσῆ παροιμία διαμεμένηκε.

32. καὶ τῶν παρωκεανιτῶν δέ τινάς φησι Θεό-
πομπος ἐν ὀγδόῃ Φιλιππικῶν ἁβροδιαίτους γενέσθαι.
περὶ δὲ Βυζαντίων καὶ Καλχηδονίων ὁ αὐτός φησι e
Θεόπομπος τάδε· ἦσαν δὲ οἱ Βυζάντιοι, καὶ διὰ τὸ
δημοκρατεῖσθαι πολὺν ἤδη χρόνον καὶ τὴν πόλιν ἐπ'
ἐμπορίου κειμένην ἔχειν καὶ τὸν δῆμον ἅπαντα περὶ
τὴν ἀγορὰν καὶ τὸν λιμένα διατρίβειν, ἀκόλαστοι καὶ
συνουσιάζειν καὶ πίνειν εἰθισμένοι ἐπὶ τῶν καπη-
λείων. Καλχηδόνιοι δὲ πρὶν μὲν μετασχεῖν αὐτοῖς τῆς
πολιτείας, ἅπαντες ἐν ἐπιτηδεύμασι καὶ βίῳ βελτίονι
διετέλουν ὄντες. ἐπεὶ δὲ τῆς δημοκρατίας τῶν Βυ-
ζαντίων ἐγεύσαντο, διεφθάρησαν εἰς τρυφήν, καὶ f

τὸν καθ' ἡμέραν βίον ἐκ σωφρονεστάτων καὶ μετριωτάτων φιλοπόται καὶ πολυτελεῖς γενόμενοι.' κἀν τῇ πρώτῃ δὲ πρὸς ταῖς εἴκοσι τῶν Φιλιππικῶν τὸ τῶν Ὀμβρίκων φησὶν ἔθνος (ἔστι δὲ περὶ τὸν Ἀδρίαν) ἐπιεικῶς εἶναι ἁβροδίαιτον παραπλησίως τε βιοτεύ-
527 ειν τοῖς Λυδοῖς, χώραν τε ἔχειν ἀγαθήν, ὅθεν προελθεῖν εἰς εὐδαιμονίαν.

33. περὶ δὲ Θετταλῶν λέγων ἐν τῇ τετάρτῃ φησὶν ὅτι ζῶσιν οἱ μὲν σὺν ταῖς ὀρχηστρίσι καὶ ταῖς αὐλητρίσι διατρίβοντες, οἱ δ' ἐν κύβοις καὶ πότοις καὶ ταῖς τοιαύταις ἀκολασίαις διημερεύοντες, καὶ μᾶλλον σπουδάζουσιν ὅπως ὄψων παντοδαπῶν τὰς τραπέζας παραθήσονται πλήρεις ἢ τὸν αὑτῶν βίον [ὅπως] παρασχήσονται κεκοσμημένον. Φαρσάλιοι δὲ πάντων (φησὶν) ἀνθρώπων εἰσὶν ἀργότατοι καὶ πολυτελέστατοι. ὡμολόγηνται δ' οἱ Θετταλοί, ὡς καὶ
b Κριτίας φησί, πάντων Ἑλλήνων πολυτελέστατοι γεγενῆσθαι περί τε τὴν δίαιταν καὶ τὴν ἐσθῆτα· ὅπερ αὐτοῖς αἴτιον ἐγένετο κατὰ τῆς Ἑλλάδος ἐπαγαγεῖν τοὺς Πέρσας, ζηλώσαντας τὴν τούτων τρυφὴν καὶ πολυτέλειαν. περὶ δὲ Αἰτωλῶν Πολύβιος μὲν ἐν τρισκαιδεκάτῃ ἱστοριῶν φησὶν ὡς διὰ τὴν τῶν πολέμων συνέχειαν καὶ τὴν τῶν βίων πολυτέλειαν κατάχρεοι ἐγένοντο, Ἀγαθαρχίδης δ' ἐν δωδεκάτῃ ἱστοριῶν 'Αἰτωλοὶ (φησὶ) τοσούτῳ τῶν λοιπῶν ἑτοι-
c μότερον ἔχουσι πρὸς θάνατον, ὅσῳπερ καὶ ζῆν πολυτελῶς [καὶ] ἐκτενέστερον ζητοῦσι τῶν ἄλλων.'

34. διαβόητοι δ' εἰσὶ περὶ τρυφὴν Σικελιῶταί τε καὶ Συρακόσιοι, ὡς καὶ Ἀριστοφάνης φησὶν ἐν Δαιταλεῦσιν

ἀλλ' οὐ γὰρ ἔμαθε ταῦτ' ἐμοῦ πέμποντος, ἀλλὰ μᾶλλον

*πίνειν, ἔπειτ᾽ ᾄδειν κακῶς, συρακοσίαν τρά-*
*πεξαν,*
*συβαρίτιδάς τ᾽ εὐωχίας καὶ χῖον ἐκ λακαινᾶν.*

*Πλάτων δ᾽ ἐν ταῖς ἐπιστολαῖς φησί ʽταύτην δὴ τὴν διάνοιαν ἔχων εἰς Ἰταλίαν τε καὶ Σικελίαν ἦλθον, ὅτε πρῶτον ἀφικόμην. ἐλθόντα δέ με ὁ ταύτῃ βίος* d
*οὐδαμῇ οὐδαμῶς ἤρεσε, δίς τε τῆς ἡμέρας ἐμπιμπλάμενον ζῆν καὶ μηδέποτε κοιμώμενον μόνον νύκτωρ, καὶ ὅσα τούτων ἐπιτηδεύματα συνέπεται τῷ βίῳ. ἐκ γὰρ τούτων τῶν ἐθῶν οὔτ᾽ ἂν φρόνιμος οὐδείς ποτε γενέσθαι τῶν ὑπὸ τὸν οὐρανὸν ἀνθρώπων ἐκ νέου ἐπιτηδεύων δύναιτο, σώφρων δὲ οὐδ᾽ ἂν μελλῆσαι ποτὲ γενέσθαι.᾽ κἀν τρίτῳ δὲ Πολιτείας γράφει οὕτως ʽσυρακοσίαν δέ, ὦ φίλε, τράπεζαν καὶ σικελικὴν ποικιλίαν ὄψου, ὡς ἔοικας, οὐκ αἰνεῖς· ψέγεις δὲ καὶ* e
*κορινθίαν κόρην φίλην εἶναι ἀνδράσι μέλλουσιν εὖ σώματος ἕξειν, καὶ ἀττικῶν πεμμάτων τὰς δοκούσας εἶναι εὐπαθείας.᾽*

35. *Ποσειδώνιος δ᾽ ἐν ἑκκαιδεκάτῃ ἱστοριῶν περὶ τῶν κατὰ τὴν Συρίαν πόλεων λέγων ὡς ἐτρύφων γράφει καὶ ταῦτα ʽτῶν γοῦν ἐν ταῖς πόλεσιν ἀνθρώπων διὰ τὴν εὐβοσίαν τῆς χώρας ἀπὸ τῆς περὶ τἀναγκαῖα κακοπαθείας συνόδους νεμόντων πλείονας, ἐν αἷς εὐωχοῦντο συνεχῶς, τοῖς μὲν γυμνασίοις ὡς βαλανείοις χρώμενοι, ἀλειφόμενοι δ᾽ ἐλαίῳ πολυτελεῖ καὶ μύροις· τοῖς δὲ γραμματείοις (οὕτως γὰρ ἐκάλουν* f
*τὰ κοινὰ τῶν συνδείπνων) ὡς οἰκητηρίοις ἐνδιαιτώμενοι, καὶ τὸ πλεῖον τῆς ἡμέρας γαστριζόμενοι ἐν αὐτοῖς οἴνοις καὶ βρώμασιν, ὥστε καὶ προσαποφέρειν πολλά, καὶ κατασαυλούμενοι πρὸς χελωνίδος πολυκρότου ψόφον, ὥστε τὰς πόλεις ὅλας τοῖς τοιούτοις κελάδοις ὑπηχεῖσθαι.᾽ Ἀγαθαρχίδης δ᾽ ἐν τῇ τρια-*

*κοστῇ πέμπτῃ τῶν Εὐρωπιακῶν ‘Ἀρυκανδεῖς (φησὶ)* 528 *Λυκίας, ὅμοροι ὄντες Λιμυρεῦσι, διὰ τὴν περὶ τὸν βίον ἀσωτίαν καὶ πολυτέλειαν κατάχρεοι γενόμενοι, καὶ διὰ τὴν ἀργίαν καὶ φιληδονίαν ἀδυνατοῦντες ἀποδοῦναι τὰ δάνεια, προσέκλιναν ταῖς Μιθριδάτου ἐλπίσιν, ἆθλον ἕξειν νομίσαντες χρεῶν ἀποκοπάς.’ ἐν δὲ τῇ τριακοστῇ πρώτῃ Ζακυνθίους φησὶν ἀπείρους εἶναι πολέμου διὰ τὸ ἐν εὐπορίᾳ καὶ πλούτῳ τρυφῶντας ἐθίζεσθαι.*

36. *Πολύβιος δ’ ἐν τῇ ἑβδόμῃ ‘Καπυησίους τοὺς* b *ἐν Καμπανίᾳ διὰ τὴν ἀρετὴν τῆς γῆς πλοῦτον περιβαλομένους ἐξοκεῖλαι εἰς τρυφὴν καὶ πολυτέλειαν, ὑπερβαλλομένους τὴν περὶ Κρότωνα καὶ Σύβαριν παραδεδομένην φήμην. οὐ δυνάμενοι οὖν (φησὶ) φέρειν τὴν παροῦσαν εὐδαιμονίαν ἐκάλουν τὸν Ἀννίβαν· διόπερ ὑπὸ Ῥωμαίων ἀνήκεστα [δεινὰ] ἔπαθον. Πετηλῖνοι δὲ τηρήσαντες τὴν πρὸς Ῥωμαίους πίστιν εἰς τοσοῦτον καρτερίας ἦλθον πολιορκούμενοι ὑπ’ Ἀννίβα ὥστε μετὰ τὸ πάντα μὲν τὰ κατὰ τὴν* c *πόλιν δέρματα καταφαγεῖν, ἁπάντων δὲ τῶν κατὰ τὴν πόλιν δένδρων τοὺς φλοιοὺς καὶ τοὺς ἁπαλοὺς πτόρθους ἀναλῶσαι, καὶ ἕνδεκα μῆνας ὑπομείναντες τὴν πολιορκίαν οὐδενὸς βοηθοῦντος οὐδὲ συνευδοκοῦντος Ῥωμαίων παρέδοσαν ἑαυτούς.’*

37. *τοὺς δὲ Κουρῆτας Φύλαρχος διὰ τῆς ἑνδεκάτης τῶν ἱστοριῶν Αἰσχύλον ἱστορεῖν διὰ τὴν τρυφὴν τυχεῖν τῆς προσηγορίας·*

*χλιδῶν τε πλόκαμος ὥστε παρθένοις ἁβραῖς·*
*ὅθεν καλεῖν Κουρῆτα λαὸν ᾔνεσαν.*

d *Ἀγάθων δ’ ἐν τῷ Θυέστῃ τοὺς τὴν Πρώνακτος θυγατέρα μνηστεύοντας τοῖς τε λοιποῖς πᾶσιν ἐξησκη-*

μένους ἐλθεῖν καὶ κομῶντας τὰς κεφαλάς, ἐπεὶ δ' ἀπέτυχον τοῦ γάμου

κόμας ἐκειράμεσθα (φησὶ) μάρτυρας τρυφῆς,
ἢ που ποθεινὸν χρῆμα παιζούσῃ φρενί.
ἐπώνυμον γοῦν εὐθὺς ἔσχομεν κλέος
Κουρῆτες εἶναι, κουρίμου χάριν τριχός.

καὶ Κυμαῖοι δὲ οἱ ἐν Ἰταλίᾳ, ὥς φησιν Ὑπέροχος ἢ ὁ ποιήσας τὰ εἰς αὐτὸν ἀναφερόμενα Κυμαϊκά, διετέλεσαν χρυσοφοροῦντες καὶ ἀνθιναῖς ἐσθῆσι χρώμενοι e καὶ μετὰ γυναικῶν εἰς τοὺς ἀγροὺς ἐξιόντες ἐπὶ ζευγῶν ὀχούμενοι.

38. περὶ μὲν οὖν ἐθνῶν καὶ πόλεων τρυφῆς τοσαῦτα μνημονεύω, περὶ δὲ τῶν κατ' ἄνδρα τάδε ἤκουσα. Κτησίας ἐν τρίτῃ Περσικῶν καὶ πάντας μέν φησι τοὺς βασιλεύσαντας τῆς Ἀσίας περὶ τρυφὴν σπουδάσαι, μάλιστα δὲ Νινύαν τὸν Νίνου καὶ Σεμιράμιδος υἱόν. καὶ οὗτος οὖν ἔνδον μένων καὶ τρυφῶν ὑπ' οὐδενὸς ἑωρᾶτο εἰ μὴ ὑπὸ τῶν εὐνούχων f καὶ τῶν ἰδίων γυναικῶν. τοιοῦτος δ' ἦν καὶ Σαρδανάπαλλος, ὃν οἳ μὲν Ἀνακυνδαράξεω λέγουσιν υἱόν, οἳ δὲ Ἀναβαξάρου. ὅτε δὴ οὖν Ἀρβάκης, εἷς τῶν ὑπ' αὐτὸν στρατηγῶν, Μῆδος γένος, διεπράξατο διά τινος τῶν εὐνούχων Σπαραμείζου θεάσασθαι Σαρδανάπαλλον, καὶ μόλις αὐτῷ ἐπετράπη ἐκείνου ἐθελήσαντος, ὡς εἰσελθὼν εἶδεν αὐτὸν ὁ Μῆδος ἐψιμυθιωμένον καὶ κεκοσμημένον γυναικιστὶ καὶ μετὰ τῶν παλλακίδων ξαίνοντα πορφύραν, ἀναβάδην τε μετ' αὐτῶν καθήμενον, γυναικείαν δὲ στολὴν ἔχοντα καὶ 529 κατεξυρημένον τὸν πώγωνα καὶ κατακεκισηρισμένον· ἦν δὲ καὶ γάλακτος λευκότερος καὶ ὑπεγέγραπτο τοὺς ὀφθαλμούς. ἐπεὶ δὲ καὶ προσεῖδε τὸν Ἀρβάκην τὰ λευκὰ ἐπαναβαλὼν τοῖν ὀφθαλμοῖν, οἱ μὲν

πολλοί, ὧν ἐστι καὶ Δοῦρις, ἱστοροῦσιν ὑπὸ τούτου ἀγανακτήσαντος εἰ τοιοῦτος αὐτῶν βασιλεύσει συγκεντηθέντα ἀποθανεῖν, Κτησίας δὲ λέγει εἰς πόλεμον
b αὐτὸν καταστῆναι καὶ ἀθροίσαντα πολλὴν στρατιὰν καὶ καταλυθέντα ὑπὸ τοῦ Ἀρβάκου τελευτῆσαι ἑαυτὸν ἐμπρήσαντα ἐν τοῖς βασιλείοις, πυρὰν νήσαντα ὕψος τεσσάρων πλέθρων, ἐφ' ἧς ἐπέθηκε χρυσᾶς κλίνας ἑκατὸν καὶ πεντήκοντα καὶ ἴσας τραπέζας καὶ ταύτας χρυσᾶς. ἐποίησε δὲ ἐν τῇ πυρᾷ καὶ οἴκημα ἑκατόμποδον ἐκ ξύλων, κἀνταῦθα κλίνας ὑπεστόρεσε, καὶ κατεκλίθη ἐνταῦθα αὐτός τε μετὰ καὶ τῆς γυναικὸς αὐτοῦ καὶ αἱ παλλακίδες ἐν ταῖς ἄλλαις κλίναις· τοὺς γὰρ τρεῖς υἱοὺς καὶ δύο θυγατέρας ὁρῶν τὰ πράγματα κακούμενα προυπεπόμφει εἰς Νίνον πρὸς
c τὸν ἐκεῖ βασιλέα, δοὺς αὐτοῖς τρισχίλια χρυσίου τάλαντα. ἐπεστέγασε δὲ τὸ οἴκημα δοκοῖς μεγάλαις τε καὶ παχείαις, ἔπειτα ἐν κύκλῳ περιέθηκε πολλὰ ξύλα καὶ παχέα ὥστε μὴ εἶναι ἔξοδον. ἐνταῦθα ἐπέθηκε μὲν χρυσίου μυριάδας χιλίας, ἀργυρίου δὲ μυρίας μυριάδας ταλάντων καὶ ἱμάτια καὶ πορφύρας καὶ στολὰς παντοδαπάς. ἔπειτα ὑφάψαι ἐκέλευε τὴν πυράν, καὶ ἐκαίετο πεντεκαίδεκα ἡμέραις. οἱ δὲ ἐθαύμαζον ὁρῶντες τὸν καπνὸν καὶ ἐδόκουν αὐτὸν
d θυσίας ἐπιτελεῖν· ταῦτα δὲ μόνοι ᾔδεσαν οἱ εὐνοῦχοι. ὁ μὲν οὖν Σαρδανάπαλλος ἐκτόπως ἡδυπαθήσας ὡς ἐνῆν γενναίως ἐτελεύτησε.

39. Κλέαρχος δὲ περὶ τοῦ Περσῶν βασιλέως διηγούμενος ὅτι τοῖς αὐτῷ πορίσασιν ἡδύ τι βρῶμα ἆθλα ἐτίθει νοῦν οὐκ ἔχων· τοῦτο γάρ ἐστιν ὁ λεγόμενος οἶμαι Διὸς ἅμα καὶ βασιλέως ἐγκέφαλος· ὅθεν ὁ πάντων εὐδαιμονέστατος Σαρδανάπαλλος, παρ' ὅλον τὸν βίον τιμήσας τὰς ἀπολαύσεις, καὶ τελευτήσας

δείκνυσιν ἐν τῷ τοῦ μνήματος τύπῳ τοῖς δακτύλοις
οἷου καταγέλωτός ἐστιν ἄξια τὰ τῶν ἀνθρώπων πράγ-
ματα, οὐκ ἄξια ὄντα ψόφου δακτύλων ὃν πεποίηται e
. . . ποιούμενος δὶς ἐν χορῷ, ἡ περὶ τὰ λοιπὰ σπουδή.
φαίνεται οὖν οὐκ ἄπρακτος γενόμενος Σαρδανάπαλ-
λος. καὶ γὰρ ἐπιγέγραπται αὐτοῦ τῷ μνήματι 'Σαρ-
δανάπαλλος Ἀνακυνδαράξεω Ἀγχιάλην ἔδειμε καὶ
Ταρσὸν μιῇ ἡμέρῃ, ἀλλὰ νῦν τέθνηκεν.' Ἀμύντας
δ' ἐν τρίτῳ Σταθμῶν ἐν τῇ Νίνῳ φησὶν εἶναι χῶμα
ὑψηλόν, ὅπερ κατασπάσαι Κῦρον ἐν τῇ πολιορκίᾳ
ἀναχωννύντα τῇ πόλει. λέγεσθαι δὲ τὸ χῶμα τοῦτ' f
εἶναι Σαρδαναπάλλου τοῦ βασιλεύσαντος Νίνου, ἐφ'
οὗ καὶ ἐπιγεγράφθαι ἐν στήλῃ λιθίνῃ χαλδαϊκοῖς
γράμμασιν, ὃ μετενεγκεῖν Χοιρίλον ἔμμετρον ποιή-
σαντα. εἶναι δὲ τοῦτο 'ἐγὼ δὲ ἐβασίλευσα, καὶ ἄχρι
ἑώρων τοῦ ἡλίου φῶς ἔπιον ἔφαγον ἠφροδισίασα,
εἰδὼς τόν τε χρόνον ὄντα βραχὺν ὃν ζῶσιν οἱ ἄνθρω-
ποι, καὶ τοῦτον πολλὰς ἔχοντα μεταβολὰς καὶ κακο- 530
παθείας, καὶ ὧν ἂν καταλίπω ἀγαθῶν ἄλλοι ἕξουσι
τὰς ἀπολαύσεις. διὸ κἀγὼ ἡμέραν οὐδεμίαν παρέλι-
πον τοῦτο ποιῶν.' Κλείταρχος δ' ἐν τῇ τετάρτῃ τῶν
περὶ Ἀλέξανδρον γήρᾳ τελευτῆσαί φησι Σαρδανάπαλ-
λον μετὰ τὴν ἀπόπτωσιν τῆς Σύρων ἀρχῆς. Ἀριστό-
βουλος δ' 'ἐν Ἀγχιάλῃ ἣν ἐδείματο (φησὶ) Σαρδανά- b
παλλος, Ἀλέξανδρος ἀναβαίνων εἰς Πέρσας κατεστρα-
τοπεδεύσατο. καὶ ἦν οὐ πόρρω τὸ τοῦ Σαρδαναπάλ-
λου μνημεῖον, ἐφ' οὗ ἑστάναι τύπον λίθινον συμβε-
βληκότα τῆς δεξιᾶς χειρὸς τοὺς δακτύλους ὡς ἂν
ἐπικροτοῦντα. ἐπιγεγράφθαι δὲ αὐτῷ ἀσσυρίοις
γράμμασι 'Σαρδανάπαλλος Ἀνακυνδαράξου παῖς
Ἀγχιάλην καὶ Ταρσὸν ἔδειμεν ἡμέρῃ μιῇ. ἔσθιε πῖνε

c παῖζε, ὡς τἆλλα τούτου οὐκ ἄξια᾽ τοῦ ἀποκροτήματος ἔοικε λέγειν.

40. οὐ μόνος δὲ ὁ Σαρδανάπαλλος διετέθρυπτο, ἀλλὰ καὶ Ἀνδρόκοττος ὁ Φρύξ. καὶ γὰρ οὗτος ἐνεδύσατο ἀνθινὴν ἐσθῆτα καὶ γυναικὸς εὐπρεπέστερον ἐκοσμεῖτο, ὡς Μνασέας φησὶν ἐν τρίτῳ Εὐρώπης. Κλέαρχος δ᾽ ἐν πέμπτῳ βίων Σάγαρίν φησι τὸν Μαριανδυνὸν ὑπὸ τρυφῆς σιτεῖσθαι μὲν μέχρι γήρως ἐκ τοῦ τῆς τιτθῆς στόματος, ἵνα μὴ μασώμενος πονήσειεν, οὐ πώποτε δὲ τὴν χεῖρα κατωτέρω τοῦ ὀμφα-
d λοῦ προενέγκασθαι. διὸ καὶ Ἀριστοτέλης Ξενοκράτην τὸν Καλχηδόνιον σκώπτων, ὅτι οὐρῶν οὐ προσῆγε τὴν χεῖρα τῷ αἰδοίῳ, ἔλεγε

χεῖρες μὲν ἁγναί, φρὴν δ᾽ ἔχει μίασμά τι.

Κτησίας δ᾽ ἱστορεῖ Ἄνναρον τὸν βασιλέως ὕπαρχον καὶ τῆς Βαβυλωνίας δυναστεύσαντα στολῇ χρῆσθαι γυναικείᾳ καὶ κόσμῳ, καὶ ὅτι βασιλέως δούλῳ ὄντι αὐτῷ εἰς τὸ δεῖπνον εἰσῄεσαν πεντήκοντα καὶ ἑκατὸν ψάλλουσαι καὶ ᾄδουσαι γυναῖκες. ἔψαλλον δὲ αὗται καὶ ᾖδον ἐκείνου δειπνοῦντος. Φοίνιξ δ᾽ ὁ Κολο-
e φώνιος ποιητὴς περὶ Νίνου λέγων ἐν τῷ πρώτῳ τῶν ἰάμβων φησίν

ἀνὴρ Νίνος τις ἐγένετ᾽, ὡς ἐγὼ ᾽κούω,
Ἀσσύριος· ὅστις εἶχε χρυσίου πόντον,
τάλαντα πολλῷ πλεῦνα κασπίης ψάμμου·
ὃς οὐκ ἴδ᾽ ἀστέρ᾽ οὐδ᾽ ἰδὼν ἐδίζητο,
οὐ παρὰ μάγοισι πῦρ ἱερὸν ἀνέστησεν,
ὥσπερ νόμος, ῥάβδοισι τοῦ θεοῦ ψαύων·
οὐ μυθιητής, οὐ δικασπόλος κεῖνος,
οὐ λεωλογεῖν ἐμάνθαν᾽, οὐκ ἀμιθρῆσαι·
f ἀλλ᾽ ἦν ἄριστος ἐσθίειν τε καὶ πίνειν
κηρᾶν, τὰ δ᾽ ἄλλα πάντα κατὰ πετρῶν ὤθει.

ὡς δ' ἀπέθαν' ὡνήρ, πᾶσι κατέλιπε ῥῆσιν,
ὅκου Νίνος νῦν ἐστι καὶ τὸ σῆμ' ᾄδει·
ἄκουσον, εἴτ' Ἀσσύριος εἴτε καὶ Μῆδος
εἶς ἢ Κόραξος ἢ 'πὸ τῶν ἄνω λιμνῶν
Σίνδος κομήτης· οὐ γὰρ ἀλλὰ κηρύσσω·
ἐγὼ Νίνος πάλαι ποτ' ἐγενόμην πνεῦμα,
νῦν δ' οὐκ ἔτ' οὐδέν, ἀλλὰ γῆ πεποίημαι.
ἔχω δ' ὁκόσον ἔδαισα χὠκόσ' ἠράσθην.
τὰ δ' ὄλβι' ἡμέων δήιοι συνελθόντες
φέρουσιν, ὥσπερ ὠμὸν ἔριφον αἱ βάκχαι. 531
ἐγὼ δ' ἐς ἀίδην οὔτε χρυσὸν οὔθ' ἵππον
οὔτ' ἀργυρῆν ἅμαξαν ᾠχόμην ἕλκων·
σποδὸς δὲ πελλὴ χὠ μιτρηφόρος κεῖμαι.'

41. Θεόπομπος δὲ ἐν πεντεκαιδεκάτῃ Φιλιππικῶν ἱστοριῶν Στράτωνά φησι τὸν Σιδωνίων βασιλέα ὑπερβάλλειν ἡδυπαθείᾳ καὶ τρυφῇ πάντας ἀνθρώπους. 'οἷα γὰρ τοὺς Φαίακας Ὅμηρος ποιεῖν μεμυθολόγηκεν ἑορτάζοντας καὶ πίνοντας καὶ κιθαρῳδῶν καὶ ῥαψῳδῶν ἀκροωμένους, τοιαῦτα καὶ ὁ Στράτων διετέλει ποιῶν πολὺν χρόνον. καὶ τοσούτῳ μᾶλλον b ἐκείνων παρεκεκινήκει πρὸς τὰς ἡδονάς, ὅσῳ οἱ μὲν Φαίακες, ὥς φησιν Ὅμηρος, μετὰ τῶν οἰκείων γυναικῶν καὶ θυγατέρων ἐποιοῦντο τοὺς πότους, ὁ δὲ Στράτων μετ' αὐλητρίδων καὶ ψαλτριῶν καὶ κιθαριστριῶν κατεσκεύαστο τὰς συνουσίας· καὶ μετεπέμπετο πολλὰς μὲν ἑταίρας ἐκ Πελοποννήσου, πολλὰς δὲ μουσουργοὺς ἐξ Ἰωνίας, ἑτέρας δὲ παιδίσκας ἐξ ἁπάσης τῆς Ἑλλάδος, τὰς μὲν ᾠδικὰς τὰς δὲ ὀρχη- c στρικάς, ὧν εἴθιστο μετὰ τῶν φίλων ἀγῶνας τιθέναι, καὶ μεθ' ὧν συνουσιάζων διέτριβε· χαίρων μὲν καὶ τῷ βίῳ τῷ τοιούτῳ καὶ δοῦλος ὢν φύσει τῶν ἡδονῶν, ἔτι δὲ μᾶλλον πρὸς τὸν Νικοκλέα φιλοτιμούμενος.

ἐτύγχανον γὰρ ὑπερφιλοτίμως ἔχοντες πρὸς ἀλλή-
λους καὶ σπουδάζων ἑκάτερος αὐτὸς ἥδιον καὶ ῥᾳ-
θυμότερον ποιεῖσθαι τὸν βίον· οἵ γε προῆλθον εἰς
τοσαύτην ἅμιλλαν, ὡς ἡμεῖς ἀκούομεν, ὥστε πυνθα-
νόμενοι παρὰ τῶν ἀφικνουμένων τάς τε παρασκευὰς
d τῶν οἰκιῶν καὶ τὰς πολυτελείας τῶν θυσιῶν τὰς παρ'
ἑκατέρῳ γινομένας ἐφιλονείκουν ὑπερβάλλεσθαι τοῖς
τοιούτοις ἀλλήλους. ἐσπούδαζον δὲ δοκεῖν εὐδαί-
μονες εἶναι καὶ μακαριστοί. οὐ μὴν περί γε τὴν τοῦ
βίου τελευτὴν διηυτύχησαν, ἀλλ' ἀμφότεροι βιαίῳ
θανάτῳ διεφθάρησαν.' Ἀναξιμένης δ' ἐν τῷ ἐπιγρα-
φομένῳ Βασιλέων μεταλλαγαὶ περὶ τοῦ Στράτωνος
τὰ αὐτὰ ἱστορήσας διημιλλῆσθαί φησιν αὐτὸν Νικο-
κλεῖ τῷ τῆς ἐν Κύπρῳ Σαλαμῖνος βασιλεύσαντι,
e ἐσπουδακότι περὶ τρυφὴν καὶ ἀσέλγειαν, ἀποθανεῖν
τ' ἀμφοτέρους βιαίως.

42. ἐν δὲ τῇ πρώτῃ τῶν Φιλιππικῶν Θεόπομπος
περὶ Φιλίππου λέγων φησί 'καὶ τριταῖος εἰς Ὀνόκαρ-
σιν ἀφικνεῖται, χωρίον τι τῆς Θρᾴκης ἄλσος ἔχον
πολὺ κατεσκευασμένον καλῶς καὶ πρὸς τὸ διαιτηθῆ-
ναι κεχαρισμένον ἄλλως τε καὶ τὴν θερινὴν ὥραν.
ἦν γὰρ καὶ τῶν ὑπὸ Κότυος προκριθέντων, ὃς ἁπάν-
των τῶν βασιλέων τῶν ἐν τῇ Θρᾴκῃ γεγενημένων
μάλιστα πρὸς ἡδυπαθείας καὶ τρυφὰς ὥρμησε· καὶ
περιιὼν τὴν χώραν, ὅπου κατίδοι τόπους δένδρεσι
f συσκίους καὶ καταρρύτους ὕδασι, τούτους κατεσκεύα-
σεν ἑστιατόρια· καὶ φοιτῶν εἰς ἑκάστους ὁπότε τύ-
χοι θυσίας τε τοῖς θεοῖς ἐποιεῖτο καὶ συνῆν μετὰ τῶν
ὑπάρχων εὐδαίμων καὶ μακαριστὸς ὤν, ἕως εἰς τὴν
Ἀθηνᾶν βλασφημεῖν καὶ πλημμελεῖν ἐπεχείρησε.'
διηγεῖταί τε ἑξῆς ὁ συγγραφεὺς ὅτι δεῖπνον κατε-
σκεύασεν ὁ Κότυς ὡς γαμουμένης αὐτῷ τῆς Ἀθηνᾶς,

καὶ θάλαμον κατασκευάσας ἀνέμενε μεθύων τὴν
θεόν. ἤδη δ' ἔκφρων γενόμενος ἔπεμπέ τινα τῶν
δορυφόρων ὀψόμενον εἰ παραγέγονεν ἡ θεὸς εἰς τὸν 532
θάλαμον. ἀφικομένου δ' ἐκείνου καὶ εἰπόντος μη-
δένα εἶναι ἐν τῷ θαλάμῳ, τοξεύσας τοῦτον ἀπέκτεινε,
καὶ ἄλλον δεύτερον ἐπὶ τοῖς αὐτοῖς, ἕως ὁ τρίτος
συνεὶς παραγενόμενος ἔφη πάλαι τὴν θεὸν αὐτὸν
ἀναμένειν. ὁ δὲ βασιλεὺς οὗτός ποτε καὶ ζηλοτυπήσας
τὴν αὑτοῦ γυναῖκα ταῖς αὑτοῦ χερσὶν ἀνέτεμε τὴν
ἄνθρωπον ἀπὸ τῶν αἰδοίων ἀρξάμενος.

43. ἐν δὲ τῇ τρισκαιδεκάτῃ τῶν Φιλιππικῶν περὶ
Χαβρίου τοῦ Ἀθηναίου ἱστορῶν φησίν 'οὐ δυνάμενος b
δὲ ζῆν ἐν τῇ πόλει τὰ μὲν διὰ τὴν ἀσέλγειαν καὶ διὰ
τὴν πολυτέλειαν τὴν αὑτοῦ τὴν περὶ τὸν βίον, τὰ δὲ
διὰ τοὺς Ἀθηναίους· ἅπασι γάρ εἰσι χαλεποί. διὸ καὶ
εἵλοντο αὐτῶν οἱ ἔνδοξοι ἔξω τῆς πόλεως καταβιοῦν,
Ἰφικράτης μὲν ἐν Θρᾴκῃ, Κόνων δ' ἐν Κύπρῳ, Τι-
μόθεος δ' ἐν Λέσβῳ, Χάρης δ' ἐν Σιγείῳ, καὶ αὐτὸς
ὁ Χαβρίας ἐν Αἰγύπτῳ.' καὶ περὶ τοῦ Χάρητος ἐν τῇ
πέμπτῃ καὶ τεσσαρακοστῇ φησί 'Χάρητός τε νωθροῦ
τε ὄντος καὶ βραδέος, καίτοι γε καὶ πρὸς τρυφὴν ἤδη c
ζῶντος, ὅς γε περιήγετο στρατευόμενος αὐλητρίδας
καὶ ψαλτρίας καὶ πεζὰς ἑταίρας· καὶ τῶν χρημάτων
τῶν εἰσφερομένων εἰς τὸν πόλεμον τὰ μὲν εἰς ταύτην
τὴν ὕβριν ἀνήλισκε, τὰ δ' αὐτοῦ κατέλειπεν Ἀθή-
νησι, τοῖς τε λέγουσι καὶ τὰ ψηφίσματα γράφουσι καὶ
τῶν ἰδιωτῶν τοῖς δικαζομένοις· ἐφ' οἷς ὁ δῆμος ὁ τῶν
Ἀθηναίων οὐδεπώποτε ἠγανάκτησεν, ἀλλὰ διὰ ταῦτα
καὶ μᾶλλον αὐτὸν ἠγάπα τῶν πολιτῶν καὶ δικαίως.
καὶ γὰρ αὐτοὶ τοῦτον τὸν τρόπον ἔζων, ὥστε τοὺς d
μὲν νέους ἐν τοῖς αὐλητριδίοις καὶ παρὰ ταῖς ἑταίραις
διατρίβειν, τοὺς δὲ μικρὸν ἐκείνων πρεσβυτέρους ἐν

τοῖς κύβοις καὶ ταῖς τοιαύταις ἀσωτίαις· τὸν δὲ δῆμον ἅπαντα πλείω καταναλίσκειν εἰς τὰς κοινὰς ἑστιάσεις καὶ κρεανομίας ἤπερ εἰς τὴν τῆς πόλεως διοίκησιν.᾽ ἐν δὲ τῷ ἐπιγραφομένῳ τοῦ Θεοπόμπου συγγράμματι περὶ τῶν ἐκ Δελφῶν συληθέντων χρημάτων ‛Χάρητι (φησὶ) τῷ Ἀθηναίῳ διὰ Λυσάνδρου τάλαντα ἑξήκοντα. ἀφ᾽ ὧν ἐδείπνισεν Ἀθηναίους
e ἐν τῇ ἀγορᾷ θύσας τἀπινίκια τῆς γενομένης μάχης πρὸς τοὺς Φιλίππου ξένους.᾽ ὧν ἡγεῖτο μὲν Ἀδαῖος ἀλεκτρυὼν ἐπικαλούμενος, περὶ οὗ καὶ ὁ Ἡρακλείδης ὁ τῶν κωμῳδιῶν ποιητὴς μέμνηται οὕτως

ἀλεκτρυόνα τὸν τοῦ Φιλίππου καλαλαβὼν
ἀωρὶ κοκκύζοντα καὶ πλανώμενον
κατέκοψεν· οὐ γὰρ εἶχεν οὐδέπω λόφον . . .
ἕνα κατακόψας μάλα συχνοὺς ἐδείπνισεν
Χάρης Ἀθηναίων τόθ᾽, ὡς γενναῖος ἦν.

f τὰ αὐτὰ ἱστορεῖ καὶ Δοῦρις.

44. Ἰδομενεὺς δέ φησι καὶ τοὺς Πεισιστρατίδας Ἱππίαν καὶ Ἵππαρχον εὑρεῖν θαλίας καὶ κώμους· διὸ καὶ ἵππων καὶ ἑτέρων πολλῶν ἐπιπολάσαι τὸ πλῆθος παρ᾽ αὐτοῖς· ὅθεν βαρεῖαν αὐτῶν γενέσθαι τὴν ἀρχήν. καίτοι ὁ πατὴρ αὐτῶν Πεισίστρατος μετρίως ἐχρῆτο ταῖς ἡδοναῖς, ὅς γ᾽ οὐδ᾽ ἐν τοῖς χωρίοις οὐδ᾽
533 ἐν τοῖς κήποις φύλακας καθίστα, ὡς Θεόπομπος ἱστορεῖ ἐν τῇ πρώτῃ καὶ εἰκοστῇ, ἀλλ᾽ εἴα τὸν βουλόμενον εἰσιόντα ἀπολαύειν καὶ λαμβάνειν ὧν δεηθείη· ὅπερ ὕστερον ἐποίησε καὶ Κίμων μιμησάμενος ἐκεῖνον, περὶ οὗ καὶ αὐτοῦ ἱστορῶν ἐν τῇ δεκάτῃ τῶν Φιλιππικῶν ὁ Θεόπομπός φησι ‛Κίμων ὁ Ἀθηναῖος ἐν τοῖς ἀγροῖς καὶ τοῖς κήποις οὐδένα τοῦ καρποῦ καθίστα φύλακα, ὅπως οἱ βουλόμενοι τῶν πολιτῶν εἰσιόντες ὀπωρίζωνται καὶ λαμβάνωσιν εἴ τινος

δέοιντο τῶν ἐν τοῖς χωρίοις. ἔπειτα τὴν οἰκίαν b
παρεῖχε κοινὴν ἅπασιν, ὡς δεῖπνον ἀεὶ εὐτελὲς πα-
ρασκευάζεσθαι πολλοῖς ἀνθρώποις, καὶ τοὺς ἀπόρους
προσιόντας τῶν Ἀθηναίων [εἰσιόντας] δειπνεῖν.
ἐθεράπευε δὲ καὶ τοὺς καθ' ἑκάστην ἡμέραν αὐτοῦ
τι δεομένους· καὶ λέγουσιν ὡς περιήγετο μὲν ἀεὶ
νεανίσκους δύ' ἢ τρεῖς ἔχοντας κέρματα, τούτοις τε
διδόναι προσέταττεν, ὁπότε τις προσέλθοι αὐτοῦ δεό-
μενος. καί φασι μὲν αὐτὸν καὶ εἰς ταφὴν εἰσφέρειν.
ποιεῖν δὲ καὶ τοῦτο πολλάκις, ὁπότε τῶν πολιτῶν
τινὰ ἴδοι κακῶς ἠμφιεσμένον, κελεύειν αὐτῷ μεταμ- c
φιέννυσθαι τῶν νεανίσκων τινὰ τῶν συνακολου-
θούντων αὐτῷ. ἐκ δὴ τούτων ἁπάντων ηὐδοκίμει
καὶ πρῶτος ἦν τῶν πολιτῶν.' ὁ δὲ Πεισίστρατος καὶ
ἐν πολλοῖς βαρὺς ἐγένετο, ὅπου καὶ τὸ Ἀθήνησι τοῦ
Διονύσου πρόσωπον ἐκείνου τινές φασιν εἰκόνα.

45. Περικλέα δὲ τὸν ὀλύμπιόν φησιν Ἡρακλεί-
δης ὁ Ποντικὸς ἐν τῷ περὶ ἡδονῆς ὡς ἀπήλλαξεν ἐκ
τῆς οἰκίας τὴν γυναῖκα καὶ τὸν μεθ' ἡδονῆς βίον
προείλετο, ᾤκει τε μετὰ Ἀσπασίας τῆς ἐκ Μεγάρων d
ἑταίρας καὶ τὸ πολὺ μέρος τῆς οὐσίας εἰς ταύτην κατ-
ανάλωσε. Θεμιστοκλῆς δ' οὔπω Ἀθηναίων μεθυ-
σκομένων οὐδ' ἑταίραις χρωμένων ἐκφανῶς τέθριπ-
πον ζεύξας ἑταιρίδων διὰ τοῦ Κεραμεικοῦ πληθύον-
τος ἑωθινὸς ἤλασεν. ἀμφιβόλως δ' αὐτὸ εἴρηκεν ὁ
Ἰδομενεύς, εἴτε ἑταίρας τέτταρας συνυπέζευξεν ὡς
ἵππους εἴτε ἀνεβίβασεν αὐτὰς ἐπὶ τὸ τέθριππον.
Πόσσις δ' ἐν τρίτῳ Μαγνητικῶν τὸν Θεμιστοκλέα
φησὶν ἐν Μαγνησίᾳ τὴν στεφανηφόρον ἀρχὴν ἀναλα- e
βόντα θῦσαι Ἀθηνᾷ καὶ τὴν ἑορτὴν παναθήναια
ὀνομάσαι, καὶ Διονύσῳ χοοπότῃ θυσιάσαντα καὶ τὴν
χοῶν ἑορτὴν αὐτόθι καταδεῖξαι. Κλέαρχος δ' ἐν

πρώτῳ περὶ φιλίας τὸν Θεμιστοκλέα φησὶ τρίκλινον οἰκοδομησάμενον περικαλλέστατον ἀγαπᾶν ἔφησεν εἰ τοῦτον φίλων πληρώσει.

46. Χαμαιλέων δ' ὁ Ποντικὸς ἐν τῷ περὶ Ἀνακρέοντος προθεὶς τὸ

ξανθῇ δ' Εὐρυπύλῃ μέλει
ὁ περιφόρητος Ἀρτέμων,

f τὴν προσηγορίαν ταύτην λαβεῖν τὸν Ἀρτέμωνα διὰ τὸ τρυφερῶς βιοῦντα περιφέρεσθαι ἐπὶ κλίνης. καὶ γὰρ Ἀνακρέων αὐτὸν ἐκ πενίας εἰς τρυφὴν ὁρμῆσαί φησιν ἐν τούτοις

πρὶν μὲν ἔχων κερβέριον, καλύμματ' ἐσφηκωμένα,
καὶ ξυλίνους ἀστραγάλους ἐν ὠσὶ καὶ ψιλὸν περὶ
πλευρῇσι [δέρριον] βοός,
νεόπλυτον εἴλυμα κακῆς ἀσπίδος, ἀρτοπώλισιν
534 κἠθελοπόρνοισιν ὁμιλέων ὁ πονηρὸς Ἀρτέμων,
κίβδηλον εὑρίσκων βίον,
πολλὰ μὲν ἐν δουρὶ τιθεὶς αὐχένα, πολλὰ δ' ἐν τροχῷ,
πολλὰ δὲ νῶτα σκυτίνῃ μάστιγι θωμιχθείς, κόμην
πώγωνά τ' ἐκτετιλμένος·
νῦν δ' ἐπιβαίνει σατινέων, χρύσεα φορέων καθέρματα
πάις Κύκης, καὶ σκιαδίσκην ἐλεφαντίνην φορέει
b γυναιξὶν αὔτως.

47. περὶ δὲ τοῦ καλοῦ Ἀλκιβιάδου Σάτυρος ἱστορῶν 'λέγεται (φησὶν) ὅτι ἐν Ἰωνίᾳ μὲν Ἰώνων ὢν ἐφαίνετο τρυφερώτερος, ἐν Θήβαις δὲ σωμασκῶν καὶ γυμναζόμενος τῶν Θηβαίων αὐτῶν μᾶλλον Βοιώτιος, ἐν Θετταλίᾳ δὲ ἱπποτροφῶν καὶ ἡνιοχῶν τῶν Ἀλευ-

αδῶν ἱππικώτερος, ἐν Σπάρτῃ δὲ καρτερίαν καὶ
ἀφέλειαν ἐπιτηδεύων ἐνίκα τοὺς Λάκωνας, ὑπερῆρε
δὲ καὶ τὴν τῶν Θρᾳκῶν ἀκρατοποσίαν. τὴν δὲ αὑτοῦ
γυναῖκα πειρῶν ὡς ἕτερος ἔπεμψεν αὐτῇ χιλίους δα- c
ρεικούς. κάλλιστος δὲ ὢν τὴν μορφὴν κόμην τε ἔτρε-
φεν ἐπὶ πολὺ τῆς ἡλικίας καὶ ὑποδήματα παρηλλαγ-
μένα ἐφόρει, ἃ ἀπ᾽ αὐτοῦ ἀλκιβιάδες καλεῖται. ὅτε
δὲ χορηγοίη πομπεύων ἐν πορφυρίδι, εἰσιὼν εἰς τὸ
θέατρον ἐθαυμάζετο οὐ μόνον ὑπὸ τῶν ἀνδρῶν, ἀλλὰ
καὶ ὑπὸ τῶν γυναικῶν. διὸ καὶ Ἀντισθένης ὁ σω-
κρατικός, ὡς ἂν αὐτὸς αὐτόπτης γεγονὼς τοῦ Ἀλκι-
βιάδου, ἰσχυρὸν αὐτὸν καὶ ἀνδρώδη καὶ ἀπαίδευτον
καὶ τολμηρὸν καὶ ὡραῖον ἐφ᾽ ἡλικίας γενέσθαι φησίν.
εἰς δὲ τὰς ἀποδημίας ὁπότε στέλλοιτο, τέσσαρσι τῶν d
συμμαχίδων πόλεων ὥσπερ θεραπαίναις ἐχρῆτο.
σκηνὴν μὲν γὰρ αὐτῷ περσικὴν ἔπησσον Ἐφέσιοι,
τροφὴν δὲ τοῖς ἵπποις αὐτοῦ Χῖοι παρεῖχον, ἱερεῖα δὲ
παρίστασαν εἰς τὰς θυσίας καὶ κρεανομίας Κυζικηνοί,
Λέσβιοι δὲ οἶνον παρεῖχον καὶ τἆλλα τὰ πρὸς τὴν
καθ᾽ ἡμέραν δίαιταν. ἀφικόμενος δ᾽ Ἀθήνησιν ἐξ
Ὀλυμπίας δύο πίνακας ἀνέθηκεν, Ἀγλαοφῶντος
γραφήν· ὧν ὁ μὲν εἶχεν Ὀλυμπιάδα καὶ Πυθιάδα
στεφανούσας αὐτόν, ἐν δὲ θατέρῳ Νεμεὰς ἦν καθη-
μένη καὶ ἐπὶ τῶν γονάτων αὐτῆς Ἀλκιβιάδης, καλ- e
λίων φαινόμενος τῶν γυναικείων προσώπων. καὶ
στρατηγῶν δὲ ἔτι καλὸς εἶναι ἤθελεν· ἀσπίδα γοῦν
εἶχεν ἐκ χρυσίου καὶ ἐλέφαντος πεποιημένην, ἐφ᾽ ἧς
ἦν ἐπίσημον ἔρως κεραυνὸν ἠγκυλημένος. ἐπικωμά-
σας δέ ποτε ὡς Ἄνυτον ἐραστὴν ὄντα καὶ πλούσιον,
συνεπικωμάζοντος αὐτῷ τῶν ἑταίρων ἑνὸς Θρασύλ-
λου (τῶν πενήτων δ᾽ οὗτος ἦν) προπιὼν τῷ Θρα-
σύλλῳ τὰ ἡμίση τῶν ποτηρίων τῶν ἐπὶ τῷ κυλικείῳ

f προκειμένων, ἐκέλευσε τοὺς ἀκολούθους ἀποφέρειν πρὸς τὸν Θράσυλλον· εἶθ' οὕτω φιλοφρονησάμενος τὸν Ἄνυτον ἀπηλλάσσετο. ὁ δὲ Ἄνυτος πάνυ ἐλευθερίως καὶ ἐρωτικῶς, λεγόντων τινῶν ὡς ἀγνώμονα εἴη πεποιηκὼς ὁ Ἀλκιβιάδης, οὐ μὰ Δί', ἔφη, ἀλλ' εὐγνώμονα, ὃς ἔχων ἐξουσίαν ἅπαντα λαβεῖν τὰ ἡμίση κατέλιπεν.'

48. Λυσίας δὲ ὁ ῥήτωρ περὶ τῆς τρυφῆς αὐτοῦ λέγων φησίν 'ἐκπλεύσαντες γὰρ κοινῇ Ἀξίοχος καὶ Ἀλκιβιάδης εἰς Ἑλλήσποντον ἔγημαν ἐν Ἀβύδῳ δύ'
535 ὄντε Μεδοντιάδα τὴν Ἀβυδηνὴν καὶ ξυνῳκείτην. ἔπειτα αὐτοῖν γίνεται θυγάτηρ, ἣν οὐκ ἔφαντο δύνασθαι γνῶναι ὁποτέρου εἴη. ἐπεὶ δ' ἦν ἀνδρὸς ὡραία, ξυνεκοιμῶντο καὶ ταύτῃ, καὶ εἰ μὲν [χρῷτο καὶ] ἔχοι Ἀλκιβιάδης, Ἀξιόχου ἔφασκεν εἶναι θυγατέρα· εἰ δ' Ἀξίοχος, Ἀλκιβιάδου.' κεκωμῴδηται δὲ καὶ ὑπὸ Εὐπόλιδος ὡς [καὶ] ἀκόλαστος πρὸς γυναῖκας ἐν Κόλαξιν οὕτως

Ἀλκιβιάδης ἐκ τῶν γυναικῶν ἐξίτω. Β. τί ληρεῖς;
b οὐκ οἴκαδ' ἐλθὼν τὴν σεαυτοῦ γυμνάσεις δάμαρτα;

καὶ Φερεκράτης δέ φησιν

οὐκ ὢν ἀνὴρ γὰρ Ἀλκιβιάδης, ὡς δοκεῖ,
ἀνὴρ ἁπασῶν τῶν γυναικῶν ἐστι νῦν.

ἐν Σπάρτῃ δὲ ὢν ἔφθειρε τὴν Ἄγιδος τοῦ βασιλέως γυναῖκα Τίμαιαν. ἐπιπληττόντων δ' αὐτῷ τινῶν, οὐκ ἀκρασίας ἕνεκεν συνελθεῖν ἔφη ἀλλ' ἵν' ὁ γενόμενος ἐξ αὐτοῦ βασιλεύσῃ τε τῆς Σπάρτης καὶ μηκέτι λέγωνται οἱ βασιλεῖς ἀφ' Ἡρακλέους ἀλλ'
c ἀπ' Ἀλκιβιάδου. στρατηγῶν δὲ συμπεριήγετο αὐτῷ τήν τε Λαΐδος τῆς Κορινθίας μητέρα Τιμάνδραν καὶ Θεοδότην τὴν Ἀττικὴν ἑταίραν.

49. μετὰ δὲ τὴν φυγὴν κυρίους Ἀθηναίους ποιήσας τοῦ Ἑλλησπόντου καὶ πλείους τῶν πεντακισχιλίων Πελοποννησίους λαβὼν ἀνέπεμψεν εἰς τὰς Ἀθήνας. κατιών τε μετὰ ταῦτα εἰς τὴν πατρίδα ἐστεφάνωσε τὰς ἀττικὰς τριήρεις θαλλῷ καὶ μίτραις καὶ ταινίαις· καὶ ἀναψάμενος τὰς αἰχμαλώτους ναῦς ἠκρωτηριασμένας εἰς διακοσίας ἱππαγωγούς τε ἄγων σκύλων καὶ ὅπλων λακωνικῶν καὶ πελοποννησιακῶν d μεστὰς εἰσέπλει. ἡ δὲ τριήρης ἐφ᾿ ἧς αὐτὸς κατέπλει μέχρι μὲν τῶν κλείθρων τοῦ Πειραιέως προέτρεχεν ἁλουργοῖς ἱστίοις· ὡς δὲ ἐντὸς ἦν καὶ τὰς κώπας ἔλαβον οἱ ἐρέται, Χρυσόγονος μὲν ηὔλει τὸ τριηρικὸν ἐνδεδυκὼς τὴν πυθικὴν στολήν, Καλλιππίδης δ᾿ ὁ τραγῳδὸς ἐκέλευε τὴν ἐπὶ τῆς σκηνῆς στολὴν ἠμφιεσμένος. διὸ καὶ χαριέντως εἶπέ τις ʽοὔτ᾿ ἂν δύο Λυσάνδρους ὑπήνεγκεν ἡ Σπάρτη οὔτ᾿ ἂν δύ᾿ Ἀλκιβιάδας e Ἀθῆναι.᾿ ἐμιμεῖτο δὲ Ἀλκιβιάδης τὸν Παυσανίου μηδισμόν, καὶ καθομιλῶν Φαρνάβαζον τὴν περσικὴν ἐνεδύσατο στολὴν καὶ τὴν περσικὴν ἔμαθε φωνὴν καθάπερ καὶ Θεμιστοκλῆς.

50. Δοῦρις δ᾿ ἐν τῇ δευτέρᾳ καὶ εἰκοστῇ τῶν ἱστοριῶν ʽΠαυσανίας μὲν (φησὶν) ὁ τῶν Σπαρτιατῶν βασιλεὺς καταθέμενος τὸν πάτριον τρίβωνα τὴν περσικὴν ἐνεδύετο στολήν. ὁ δὲ Σικελίας τύραννος Διονύσιος ξυστίδα καὶ χρυσοῦν στέφανον ἐπὶ περόνῃ μετελάμβανε τραγικόν. Ἀλέξανδρος δ᾿, ὡς τῆς Ἀσίας f ἐκυρίευσε, περσικαῖς ἐχρῆτο στολαῖς. Δημήτριος δὲ πάντας ὑπερέβαλλε. τὴν μὲν γὰρ ὑπόδεσιν ἣν εἶχε κατεσκεύαζεν ἐκ πολλοῦ δαπανήματος· ἦν γὰρ κατὰ μὲν τὸ σχῆμα τῆς ἐργασίας σχεδὸν ἐμβάτης πίλημα λαμβάνων τῆς πολυτελεστάτης πορφύρας· τούτῳ δὲ χρυσοῦ πολλὴν ἐνύφαινον ποικιλίαν ὀπίσω καὶ ἔμ-

προσθεν ἐνιέντες οἱ τεχνῖται. αἱ δὲ χλαμύδες αὐτοῦ
ἦσαν ὄρφνινον ἔχουσαι τὸ φέγγος τῆς χρόας, τὸ δὲ
πᾶν ὁ πόλος ἐνύφαντο χρυσοῦς ἀστέρας ἔχων καὶ τὰ
536 δώδεκα ζῴδια. μίτρα δὲ χρυσόπαστος ἦν, ἣ καυ-
σίαν ἁλουργῆ οὖσαν ἔσφιγγεν ἐπὶ τὸ νῶτον φέρουσα
τὰ τελευταῖα καταβλήματα τῶν ὑφασμάτων. γινο-
μένων δὲ τῶν δημητρίων Ἀθήνησιν ἐγράφετο ἐπὶ
τοῦ προσκηνίου ἐπὶ τῆς οἰκουμένης ὀχούμενος.' Νύμ-
φις δὲ ὁ Ἡρακλεώτης ἐν ἕκτῳ τῶν περὶ τῆς πατρίδος
'Παυσανίας (φησὶν) ὁ περὶ Πλαταιὰς νικήσας Μαρ-
δόνιον τὰ τῆς Σπάρτης ἐξελθὼν νόμιμα καὶ εἰς ὑπερ-
ηφανίαν ἐπιδοὺς περὶ Βυζάντιον διατρίβων χαλκοῦν
b τὸν ἀνακείμενον κρατῆρα τοῖς θεοῖς τοῖς ἐπὶ τοῦ
στόματος ἱδρυμένοις, ὃν ἔτι καὶ νῦν εἶναι συμβαίνει,
ἐτόλμησεν ἐπιγράψαι ὡς αὐτὸς ἀναθείς, ὑποθεὶς τόδε
τοὐπίγραμμα, διὰ τὴν τρυφὴν καὶ ὑπερηφανίαν ἐπι-
λαθόμενος αὐτοῦ

μνᾶμ' ἀρετᾶς ἀνέθηκε Ποσειδάωνι ἄνακτι
Παυσανίας, ἄρχων Ἑλλάδος εὐρυχόρου,
πόντου ἐπ' εὐξείνου, Λακεδαιμόνιος γένος, υἱὸς
Κλευμβρότου, ἀρχαίας Ἡρακλέος γενεᾶς.'

51. ἐτρύφησε δὲ καὶ Φάραξ ὁ Λακεδαιμόνιος, ὡς
c Θεόπομπος ἐν τῇ τεσσαρακοστῇ ἱστορεῖ, καὶ ταῖς
ἡδοναῖς οὕτως ἀσελγῶς ἐχρήσατο καὶ χύδην ὥστε
πολὺ μᾶλλον διὰ τὴν αἰτίαν ταύτην αὐτὸν ὑπολαμ-
βάνεσθαι Σικελιώτην ἢ διὰ τὴν πατρίδα Σπαρτιά-
την. ἐν δὲ τῇ πεντηκοστῇ δευτέρᾳ φησὶν ὡς Ἀρχί-
δαμος ὁ Λάκων ἀποστὰς τῆς πατρίου διαίτης συνειθί-
σθη ξενικῶς καὶ μαλακῶς· διόπερ οὐκ ἠδύνατο τὸν
οἴκοι βίον ὑπομένειν, ἀλλ' ἐσπούδαζεν ἀεὶ δι' ἀκρα-
σίαν ἔξω διατρίβειν. καὶ Ταραντίνων πρεσβευσα-
d μένων περὶ συμμαχίας ἔσπευσε συνεξελθεῖν αὐτοῖς

βοηθός· κἀκεῖ γενόμενος καὶ ἐν τῷ πολέμῳ ἀποθανὼν οὐδὲ ταφῆς κατηξιώθη, καίτοι Ταραντίνων πολλὰ χρήματα ὑποσχομένων τοῖς πολεμίοις ὑπὲρ τοῦ ἀνελέσθαι αὐτοῦ τὸ σῶμα. Φύλαρχος δ' ἐν τῇ δεκάτῃ τῶν ἱστοριῶν Θρᾳκῶν φησὶ τῶν καλουμένων Κροβύζων βασιλέα γενέσθαι Ἰσάνθην τρυφῇ πάντας τοὺς καθ' ἑαυτὸν ὑπερβαλλόμενον. ἦν δὲ καὶ πλούσιος καὶ καλός. ἐν δὲ τῇ δευτέρᾳ καὶ εἰκοστῇ ὁ αὐτὸς Πτολεμαῖόν φησι τὸν δεύτερον Αἰγύπτου βασιλεύσαντα e πάντων σεμνότατον γενόμενον τῶν δυναστῶν καὶ παιδείας εἴ τινα καὶ ἄλλον καὶ αὐτὸν ἐπιμεληθέντα, οὕτως ἐξαπατηθῆναι τὴν διάνοιαν καὶ διαφθαρῆναι ὑπὸ τῆς ἀκαίρου τρυφῆς, ὥστε τὸν πάντα χρόνον ὑπολαβεῖν βιώσεσθαι καὶ λέγειν ὅτι μόνος εὕροι τὴν ἀθανασίαν. κατατεινόμενον οὖν ὑπὸ ποδάγρας πλείους ἡμέρας, ὥς ποτ' οὖν ἐρράισε καὶ κατεῖδε διά τινων ὑπολαμπάδων τοὺς Αἰγυπτίους παρὰ τὸν ποταμὸν ἀριστοποιουμένους καὶ τὰ τυχόντα προσφερομένους ἐπί τε τῆς ἄμμου χύδην ἐρριμμένους εἶπεν 'ὢ τάλας ἐγώ, τὸ μηδὲ τούτων ἕνα γενέσθαι.'

52. περὶ δὲ Καλλίου καὶ τῶν τούτου κολάκων f φθάνομεν καὶ πρότερον εἰπόντες· ἀλλ' ἐπεὶ καινῶς Ἡρακλείδης ὁ Ποντικὸς ἐν τῷ περὶ ἡδονῆς ἱστορεῖ περὶ αὐτοῦ, ἄνωθεν ἀναλαβὼν διηγήσομαι. 'ὅτε τὸ πρῶτον εἰς Εὔβοιαν ἐστράτευσαν οἱ Πέρσαι, τότε, ὥς φασιν, Ἐρετριεὺς ἀνὴρ Διόμνηστος κύριος ἐγένετο τῶν τοῦ στρατηγοῦ χρημάτων. ἔτυχε γὰρ ἐν τῷ ἀγρῷ τῷ ἐκείνου σκηνῶν καὶ τὰ χρήματα εἰς οἴκημά τι θέμενος τῆς οἰκίας. τελευτησάντων δὲ πάντων διέλαθεν ἔχων ὁ Διόμνηστος τὸ χρυσίον. ἐπεὶ δὲ πάλιν ὁ 537 τῶν Περσῶν βασιλεὺς ἀπέστειλεν εἰς τὴν Ἐρέτριαν στράτευμα, προστάξας ἀνάστατον ποιῆσαι τὴν πόλιν,

εἰκότως ὑπεξέθεντο ὅσοι χρημάτων ηὐπόρουν. οἱ
οὖν καταλελειμμένοι τῆς τοῦ Διομνήστου οἰκίας παρ'
Ἱππόνικον τὸν Καλλίου, τὸν Ἄμμωνα ἐπικαλούμε-
νον, ὑπεξέθεντο τὰ χρήματα εἰς τὰς Ἀθήνας· καὶ
ἀνασκευασθέντων ὑπὸ τῶν Περσῶν ἁπάντων τῶν
b Ἐρετριέων κατέσχον οὗτοι τὰ χρήματα πολλὰ ὄντα,
ὥστε Ἱππόνικος ὁ ἀπ' ἐκείνου γεγονὼς τοῦ τὴν παρα-
καταθήκην λαβόντος ᾔτησεν Ἀθηναίους ποτὲ ἐν
ἀκροπόλει τόπον, ἵν' οἰκοδομήσηται τοῖς χρήμασιν
ὅπου κείσεται, λέγων ὡς οὐκ ἀσφαλὲς ὂν ἐν ἰδιωτικῇ
οἰκίᾳ πολλὰ χρήματα εἶναι· καὶ ἔδοσαν Ἀθηναῖοι.
νουθετηθεὶς δ' ὑπὸ τῶν φίλων μετενόησε. τοσούτων
οὖν ὄντων τῶν χρημάτων Καλλίας κύριος γενόμενος
καὶ πρὸς ἡδονὴν βιώσας. ποῖοι γὰρ οὐ κόλακες ἢ τί
πλῆθος οὐχ ἑταίρων περὶ αὐτὸν ἦσαν; ποίας δὲ
c δαπάνας οὐχ ὑπερεώρα ἐκεῖνος; ἀλλ' ὅμως εἰς τοσοῦ-
τον αὐτὸν ἀπορίας περιέστησεν ὁ περὶ ἡδονὴν βίος
ὥστε μετὰ γρᾳδίου βαρβάρου διατελεῖν ἠναγκάσθη καὶ
τῶν ἀναγκαίων τῶν καθ' ἡμέραν ἐνδεὴς γενόμενος τὸν
βίον ἐτελεύτησε. τὸν δὲ Νικίου (φησὶ) τοῦ Περγα-
σῆθεν πλοῦτον ἢ τὸν Ἰσχομάχου τίνες ἀπώλεσαν;
οὐκ Αὐτοκλῆς καὶ Ἐπικλῆς, οἱ μετ' ἀλλήλων ζῆν
προελόμενοι καὶ πάντ' ἐν ἐλάττονι ποιούμενοι τῆς
ἡδονῆς; ἐπειδὴ δὲ πάντα κατανάλωσαν, κώνειον
πιόντες ἅμα τὸν βίον ἐτελεύτησαν.
d 53. περὶ δὲ τῆς Ἀλεξάνδρου τοῦ πάνυ τρυφῆς
Ἔφιππος μὲν ὁ Ὀλύνθιος ἐν τῷ περὶ τῆς Ἡφαιστίω-
νος καὶ Ἀλεξάνδρου τελευτῆς φησὶν ὅτι ἐν τῷ παρα-
δείσῳ ἔκειτο αὐτῷ χρυσοῦς θρόνος καὶ κλῖναι ἀργυ-
ρόποδες, ἐφ' ὧν καθεξόμενος ἐχρημάτιζε μετὰ τῶν
ἑταίρων. Νικοβούλη δέ φησιν ὅτι παρὰ τὸ δεῖπνον
πάντες οἱ ἀγωνισταὶ ἐσπούδαζον τέρπειν τὸν βασιλέα,

*καὶ ὅτι ἐν τῷ τελευταίῳ δείπνῳ αὐτὸς ὁ Ἀλέξανδρος ἐπεισόδιόν τι μνημονεύσας ἐκ τῆς Εὐριπίδου Ἀνδρομέδας ἠγωνίσατο, καὶ τὸν ἄκρατον προθύμως προπίνων καὶ τοὺς ἄλλους ἠνάγκαζεν. Ἔφιππος δέ φησιν* e *ὡς Ἀλέξανδρος καὶ τὰς ἱερὰς ἐσθῆτας ἐφόρει ἐν τοῖς δείπνοις, ὁτὲ μὲν τὴν τοῦ Ἄμμωνος πορφυρίδα καὶ περισχιδεῖς καὶ κέρατα καθάπερ ὁ θεός, ὁτὲ δὲ καὶ τὴν τῆς Ἀρτέμιδος, ἣν καὶ ἐπὶ τοῦ ἅρματος ἐφόρει πολλάκις, ἔχων τὴν περσικὴν στολήν, ὑποφαίνων ἄνωθεν τῶν ὤμων τό τε τόξον καὶ τὴν σιβύνην. ἐνίοτε δὲ καὶ τὴν τοῦ Ἑρμοῦ, τὰ μὲν ἄλλα σχεδὸν καὶ καθ᾽ ἑκάστην ἡμέραν χλαμύδα τε πορφυρᾶν καὶ χιτῶνα μεσόλευκον καὶ τὴν καυσίαν ἔχουσαν τὸ διάδημα τὸ βασιλικόν, ἐν δὲ τῇ συνουσίᾳ τά τε πέδιλα* f *καὶ τὸν πέτασον ἐπὶ τῇ κεφαλῇ καὶ τὸ κηρύκειον ἐν τῇ χειρί, πολλάκις δὲ καὶ λεοντῆν καὶ ῥόπαλον ὥσπερ ὁ Ἡρακλῆς. τί οὖν θαυμαστὸν εἰ καὶ καθ᾽ ἡμᾶς Κόμμοδος ὁ αὐτοκράτωρ ἐπὶ τῶν ὀχημάτων παρακείμενον εἶχε τὸ Ἡράκλειον ῥόπαλον, ὑπεστρωμένης αὐτῷ λεοντῆς, καὶ Ἡρακλῆς καλεῖσθαι ἤθελεν, Ἀλεξάνδρου τοῦ ἀριστοτελικοῦ τοσούτοις αὐτὸν ἀφομοιοῦντος θεοῖς, ἀτὰρ καὶ τῇ Ἀρτέμιδι; ἔρρανε δὲ ὁ Ἀλέξανδρος καὶ μύρῳ σπουδαίῳ καὶ οἴνῳ εὐώδει τὸ δάπεδον. ἐθυμιᾶτο δὲ αὐτῷ σμύρνα καὶ τὰ ἄλλα* 538 *θυμιάματα· εὐφημία τε καὶ σιγὴ κατεῖχε πάντας ὑπὸ δέους τοὺς παρόντας. ἀφόρητος γὰρ ἦν καὶ φονικός. ἐδόκει γὰρ εἶναι μελαγχολικός. ἐν Ἐκβατάνοις δὲ ποιήσας τῷ Διονύσῳ θυσίαν καὶ πάντων δαψιλῶς ἐν τῇ θοίνῃ παρασκευασθέντων, καὶ Σατραβάτης ὁ σατράπης τοὺς στρατιώτας εἱστίασε πάντας. ἀθροισθέντων δὲ πολλῶν ἐπὶ τὴν θέαν, φησὶν ὁ Ἔφιππος, κηρύγματα ἐγίνετο ὑπερήφανα καὶ τῆς περσικῆς*

ὑπεροψίας αὐθαδέστερα. ἄλλων γὰρ ἄλλο τι ἀνακη-
d ρυττόντων καὶ στεφανούντων τὸν Ἀλέξανδρον, εἷς
τις τῶν ὁπλοφυλάκων ὑπερπεπαικὼς πᾶσαν κολα-
κείαν, κοινωσάμενος τῷ Ἀλεξάνδρῳ, ἐκέλευσε τὸν
κήρυκα ἀνειπεῖν ὅτι Γοργὸς ὁ ὁπλοφύλαξ Ἀλέξαν-
δρον Ἄμμωνος υἱὸν στεφανοῖ χρυσοῖς τρισχιλίοις,
καὶ ὅταν Ἀθήνας πολιορκῇ, μυρίαις πανοπλίαις καὶ
τοῖς ἴσοις καταπέλταις καὶ πᾶσι τοῖς ἄλλοις βέλεσιν
εἰς τὸν πόλεμον ἱκανοῖς.

54. Χάρης δ' ἐν τῇ δεκάτῃ τῶν περὶ Ἀλέξανδρον
ἱστοριῶν 'ὅτε (φησὶν) εἷλε Δαρεῖον, γάμους συνετέ-
c λεσεν ἑαυτοῦ τε καὶ τῶν ἄλλων φίλων, ἐνενήκοντα
καὶ δύο θαλάμους κατασκευασάμενος ἐν τῷ αὐτῷ
τόπῳ. ἦν δὲ ὁ οἶκος ἑκατοντάκλινος, ἐν ᾧ ἑκάστη ἦν
κλίνη κεκοσμημένη στολῇ γαμικῇ εἴκοσι μνῶν ἀρ-
γυρᾶ, ἡ δὲ αὐτοῦ χρυσόπους ἦν. συμπαρέλαβε δὲ
εἰς τὸ συμπόσιον καὶ τοὺς ἰδιοξένους ἅπαντας καὶ
κατέκλινεν ἀντιπροσώπους ἑαυτῷ τε καὶ τοῖς ἄλλοις
νυμφίοις, τήν τε λοιπὴν δύναμιν πεζήν τε καὶ ναυ-
τικήν, καὶ τὰς πρεσβείας καὶ τοὺς παρεπιδημοῦντας
d ἐν τῇ αὐλῇ. κατεσκεύαστο δὲ ὁ οἶκος πολυτελῶς καὶ
μεγαλοπρεπῶς ἱματίοις τε καὶ ὀθονίοις πολυτελέσιν,
ὑπὸ δὲ ταῦτα πορφυροῖς καὶ φοινικοῖς χρυσοϋφέσι.
τοῦ δὲ μένειν τὴν σκηνὴν ὑπέκειντο κίονες εἰκοσα-
πήχεις περίχρυσοι καὶ διάλιθοι καὶ περιάργυροι.
περιεβέβλητο δ' ἐν τῷ περιβόλῳ πολυτελεῖς αὐλαῖαι
ζῳωτοὶ καὶ διάχρυσοι, κανόνας ἔχουσαι περιχρύσους
καὶ περιαργύρους. τῆς δὲ αὐλῆς ἦν τὸ περίμετρον
στάδιοι τέσσαρες. ἐγίνετο δὲ τὰ δεῖπνα πρὸς σάλ-
πιγγα, τότε μὲν ἐν τοῖς γάμοις, καὶ ἄλλως δ' ἀεὶ ὅτε
e τύχοι σπονδοποιούμενος, ὥστε πᾶν εἰδέναι τὸ στρα-
τόπεδον. ἐπὶ πέντε δὲ ἡμέρας ἐπετελέσθησαν οἱ γά-

μοι, καὶ ἐλειτούργησαν πάνυ πολλοὶ καὶ βαρβάρων καὶ Ἑλλήνων καὶ οἱ ἀπὸ τῆς Ἰνδικῆς. θαυματοποιοὶ δὲ ἦσαν διαπρέποντες Σκύμνος Ταραντῖνος καὶ Φιλιστίδης Συρακόσιος Ἡράκλειτός τε ὁ Μυτιληναῖος. μεθ' οὓς ἐπεδείξατο ῥαψῳδὸς Ἄλεξις Ταραντῖνος. παρῆλθον δὲ καὶ ψιλοκιθαρισταί, Κρατῖνος Μηθυμναῖος, Ἀριστώνυμος Ἀθηναῖος, Ἀθηνόδωρος Τήιος· ἐκιθαρῴδησάν τε Ἡράκλειτός τε ὁ Ταραντῖνος καὶ f
Ἀριστοκράτης ὁ Θηβαῖος. αὐλῳδοὶ δὲ παρῆλθον Διονύσιος ὁ Ἡρακλεώτης, Ὑπέρβολος Κυζικηνός· παρῆλθον δὲ καὶ αὐληταί, οἳ πρῶτον τὸ πυθικὸν ηὔλησαν, εἶθ' ἑξῆς μετὰ τῶν χορῶν Τιμόθεος Φρύνιχος Καφισίας Διόφαντος, ἔτι δὲ Εὔιος ὁ Χαλκιδεύς. καὶ ἔκτοτε οἱ πρότερον καλούμενοι διονυσοκόλακες ἀλεξανδροκόλακες ἐκλήθησαν, διὰ τὰς τῶν δώρων ὑπερβολάς, ἐφ' οἷς καὶ ἥσθη ὁ Ἀλέξανδρος. ὑπεκρίθησαν δὲ τραγῳδοὶ μὲν Θεσσαλὸς καὶ Ἀθηνόδωρος καὶ Ἀριστόκριτος, κωμῳδοὶ δὲ Λύκων καὶ Φορμίων καὶ 539
Ἀρίστων. παρῆν δὲ καὶ Φασίμηλος ὁ ψάλτης. οἱ δὲ πεμφθέντες (φησὶ) στέφανοι ὑπὸ τῶν πρεσβευτῶν καὶ τῶν λοιπῶν ταλάντων ἦσαν μυρίων πεντακισχιλίων.'

55. Πολύκλειτος δὲ ὁ Λαρισαῖος ἐν τῇ ὀγδόῃ τῶν ἱστοριῶν καὶ ἐπὶ χρυσῆς κλίνης κοιμᾶσθαί φησι τὸν Ἀλέξανδρον, καὶ αὐλητρίδας αὐτῷ καὶ αὐλητὰς ἀεὶ ἕπεσθαι ἐπὶ τὸ στρατόπεδον, καὶ πίνειν ἄχρι τῆς ἕω. Κλέαρχος δ' ἐν τοῖς περὶ βίων περὶ Δαρείου λέγων b
τοῦ καθαιρεθέντος ὑπὸ τοῦ Ἀλεξάνδρου φησίν 'ὁ Περσῶν βασιλεὺς ἀθλοθετῶν τοῖς τὰς ἡδονὰς αὐτῷ γνωρίζουσιν ὑπὸ πάντων τῶν ἡδέων ἡττωμένην ἀπέδειξε τὴν βασιλείαν, καὶ καταγωνιζόμενος ἑαυτὸν οὐκ ᾔσθετο πρότερον ἢ τὸ σκῆπτρον ἕτεροι λα-

βόντες ἀνεκηρύχθησαν.’ Φύλαρχος δ’ ἐν τῇ τρίτῃ καὶ εἰκοστῇ τῶν ἱστοριῶν καὶ Ἀγαθαρχίδης ὁ Κνίδιος ἐν τῷ δεκάτῳ περὶ Ἀσίας καὶ τοὺς ἑταίρους φησὶ τοὺς
c Ἀλεξάνδρου ὑπερβαλούσῃ τρυφῇ χρήσασθαι. ὧν εἷς ὢν καὶ Ἅγνων χρυσοῦς ἥλους ἐν ταῖς κρηπῖσι καὶ τοῖς ὑποδήμασιν ἐφόρει. Κλεῖτος δὲ ὁ λευκὸς καλούμενος, ὅτε χρηματίζειν μέλλοι, ἐπὶ πορφυρῶν ἱματίων διαπεριπατῶν τοῖς ἐντυγχάνουσι διελέγετο. Περδίκκᾳ δὲ καὶ Κρατερῷ φιλογυμναστοῦσιν ἠκολούθουν διφθέραι σταδιαῖαι τοῖς μεγέθεσιν, ὑφ’ αἷς περιλαμβάνοντες τόπον ἐν ταῖς καταστρατοπεδείαις ἐγυμνάζοντο· ἠκολούθει δὲ αὐτοῖς καὶ ὑποζύγια πολλὰ τὰ τὴν κόνιν κομίζοντα πρὸς τὴν ἐν τῇ
d παλαίστρᾳ χρείαν. Λεοννάτῳ δὲ καὶ Μενελάῳ φιλοκυνήγοις οὖσιν αὐλαῖαι σταδίων ἑκατὸν ἠκολούθουν, αἷς περιιστάντες τὰς θήρας ἐκυνήγουν. τὰς δὲ χρυσᾶς πλατάνους καὶ τὴν χρυσῆν ἄμπελον, ὑφ’ ἣν οἱ Περσῶν βασιλεῖς ἐχρημάτιζον πολλάκις καθήμενοι, σμαραγδίνους βότρυς ἐχούσας καὶ τῶν ἰνδικῶν ἀνθράκων ἄλλων τε παντοδαπῶν λίθων ὑπερβαλλόντων ταῖς πολυτελείαις, ἐλάττω, φησὶν ὁ Φύλαρχος, φαίνεσθαι τῆς καθ’ ἡμέραν ἑκάστοτε γινομένης παρ’ Ἀλεξάνδρῳ δαπάνης. ἦν γὰρ αὐτοῦ ἡ σκηνὴ κλινῶν ἑκατόν, χρυσοῖ δὲ κίονες πεντήκοντα κατεῖχον αὐ-
e τήν. οἱ δὲ ὑπερτείνοντες οὐρανίσκοι διάχρυσοι ποικίλμασιν ἐκπεπονημένοι πολυτελέσιν ἐσκέπαζον τὸν ἄνω τόπον. καὶ πρῶτοι μὲν Πέρσαι πεντακόσιοι μηλοφόροι περὶ αὐτὴν ἐντὸς εἱστήκεσαν, πορφυραῖς καὶ μηλίναις ἐσθῆσιν ἐξησκημένοι· μετὰ δὲ τούτους τοξόται τὸν ἀριθμὸν χίλιοι οἱ μὲν φλόγινα ἐνδεδυκότες οἱ δὲ ὑσγινοβαφῆ, πολλοὶ δὲ καὶ κυάνεα εἶχον περιβόλαια. προειστήκεσαν δὲ τούτων ἀργυράσπιδες

Μακεδόνες πεντακόσιοι. κατὰ δὲ μέσην τὴν σκηνὴν χρυσοῦς ἐτίθετο δίφρος, ἐφ' οὗ καθήμενος ἐχρημάτιζεν ὁ Ἀλέξανδρος, τῶν σωματοφυλάκων πανταχόθεν f ἐφεστηκότων. ἔξωθεν δὲ κύκλῳ τῆς σκηνῆς τὸ τῶν ἐλεφάντων ἄγημα διεσκευασμένον ἐφειστήκει, καὶ Μακεδόνες χίλιοι μακεδονικὰς στολὰς ἔχοντες, εἶτα μύριοι Πέρσαι, τό τε τὴν πορφύραν ἔχον πλῆθος εἰς πεντακοσίους ἦν, οἷς Ἀλέξανδρος ἔδωκε φορεῖν τὴν στολὴν ταύτην. τοσούτων δὲ ὄντων καὶ τῶν φίλων καὶ τῶν θεραπευόντων οὐδεὶς ἐτόλμα προσπορεύεσθαι Ἀλεξάνδρῳ· τοιοῦτον ἐγεγόνει τὸ περὶ αὐτὸν ἀξίωμα. ἔγραψε δὲ καὶ τότε Ἀλέξανδρος ταῖς ἐν Ἰωνίᾳ πόλεσι καὶ πρώτοις Χίοις ὅπως αὐτῷ πορφύραν ἀποστείλωσιν. ἤθελε γὰρ τοὺς ἑταίρους ἅπαντας 540 ἁλουργὰς ἐνδῦσαι στολάς. ἀναγνωσθείσης δὲ τῆς ἐπιστολῆς Χίοις παρὼν Θεόκριτος ὁ σοφιστὴς νῦν ἐγνωκέναι ἔφη τὸ παρ' Ὁμήρῳ εἰρημένον 'τὸν δ' ἔλλαβε πορφύρεος θάνατος καὶ μοῖρα κραταιή.'

56. Ἀντίοχον δὲ τὸν γρυπὸν ἐπικαλούμενον βασιλέα φησὶ Ποσειδώνιος ἐν τῇ ὀγδόῃ καὶ εἰκοστῇ τῶν ἱστοριῶν τὰς ἐπὶ Δάφνῃ πανηγύρεις ἐπιτελοῦντα ὑποδοχὰς λαμπρὰς ἐπιτελεῖν. ἐν αἷς τὸ μὲν πρῶτον b ἀναδόσεις ἐγίγνοντο ὁλομελῶν βρωμάτων, εἶτ' ἤδη καὶ ζώντων χηνῶν καὶ λαγωῶν καὶ δορκάδων. ἀνεδίδοντο δέ, φησί, καὶ χρυσοῖ στέφανοι τοῖς δειπνοῦσι καὶ ἀργυρωμάτων πλῆθος καὶ θεραπόντων καὶ ἵππων καὶ καμήλων, ἔδει τε ἀναβάντα ἐπὶ τὴν κάμηλον ἕκαστον πιεῖν καὶ λαβεῖν γε τὴν κάμηλον καὶ τὰ περὶ τὴν κάμηλον καὶ τὸν παρεστῶτα παῖδα.' ἐν δὲ τῇ τεσσαρεσκαιδεκάτῃ περὶ τοῦ ὁμωνύμου αὐτοῦ Ἀντιόχου λέγων τοῦ ἐπ' Ἀρσάκην εἰς Μηδίαν στρατεύσαντος φησὶν ὅτι ὑποδοχὰς ἐποιεῖτο καθ' ἡμέραν ὀχλικάς, c

ἐν αἷς χωρὶς τῶν ἀναλισκομένων καὶ ἐκφατνιζομένων σωρευμάτων ἕκαστος ἀπέφερε τῶν ἑστιατόρων ὁλομελῆ κρέα χερσαίων τε καὶ πτηνῶν καὶ θαλαττίων ζῴων ἀδιαίρετα ἐσκευασμένα ἅμαξαν πληρῶσαι δυνάμενα· καὶ μετὰ ταῦτα μελιπήκτων καὶ στεφάνων ἐκ σμύρνης καὶ λιβανωτοῦ ἀνδρομήκεσι λημνίσκων χρυσῶν πιλήμασι πλήθη.'

57. Κλύτος δ' ὁ ἀριστοτελικὸς ἐν τοῖς περὶ Μιλήτου Πολυκράτη φησὶ τὸν Σαμίων τύραννον ὑπὸ
d τρυφῆς τὰ πανταχόθεν συνάγειν, κύνας μὲν ἐξ Ἠπείρου, αἶγας δὲ ἐκ Σκύρου, ἐκ δὲ Μιλήτου πρόβατα, ὗς δ' ἐκ Σικελίας. Ἄλεξις δ' ἐν τρίτῳ Σαμίων ὥρων ἐκ πολλῶν πόλεών φησι κοσμηθῆναι τὴν Σάμον ὑπὸ τοῦ Πολυκράτους, κύνας μὲν μολοττικὰς καὶ λακαίνας εἰσαγαγόντος, αἶγας δ' ἐκ Σκύρου καὶ Νάξου, πρόβατα δ' ἐκ Μιλήτου καὶ τῆς Ἀττικῆς. μετεστέλλετο δέ, φησί, καὶ τεχνίτας ἐπὶ μισθοῖς μεγίστοις. πρὸ δὲ τοῦ τυραννῆσαι κατασκευασάμενος στρωμνὰς
e πολυτελεῖς καὶ ποτήρια ἐπέτρεπε χρῆσθαι τοῖς ἢ γάμον ἢ μείζονας ὑποδοχὰς ποιουμένοις. ἐκ πάντων οὖν τούτων ἄξιον θαυμάζειν τὸν τύραννον, ὅτι οὐδαμόθεν ἀναγέγραπται γυναῖκας ἢ παῖδας μεταπεμψάμενος, καίτοι περὶ τὰς τῶν ἀρρένων ὁμιλίας ἐπτοημένος, ὡς καὶ ἀντερᾶν Ἀνακρέοντι τῷ ποιητῇ, ὅτε καὶ δι' ὀργὴν ἀπέκειρε τὸν ἐρώμενον. πρῶτος δὲ ὁ Πολυκράτης καὶ ναῦς πήξας ἀπὸ τῆς πατρίδος σαμίας ἐκάλεσε. Κλέαρχος δέ φησιν ὡς Πολυκράτης ὁ τῆς ἁβρᾶς Σάμου τύραννος διὰ τὴν περὶ τὸν βίον
f ἀκολασίαν ἀπώλετο, ζηλώσας τὰ Λυδῶν μαλακά. ὅθεν τῷ μὲν Σάρδεων ἀγκῶνι γλυκεῖ προσαγορευομένῳ τὴν παρὰ τοῖς Σαμίοις λαύραν ἀντικατεσκεύασεν ἐν τῇ πόλει, καὶ τῶν Λυδῶν ἄνθεσιν ἀντέπλεξε

τὰ διαγγελθέντα Σαμίων ἄνθεα. τούτων δὲ ἡ μὲν
Σαμίων λαύρα στέγη τις ἦν γυναικῶν δημιουργῶν
καὶ τῶν πρὸς ἀπόλαυσιν καὶ ἀκρασίαν πάντων βρω-
μάτων ὧν ὄντως ἐνέπλησε τὴν Ἑλλάδα, τὰ δὲ Σα- 541
μίων ἄνθη γυναικῶν καὶ ἀνδρῶν κάλλη διάφορα.
ἔτι δὲ τῆς συμπάσης πόλεως ἐν ἑορταῖς τε καὶ μέ-
θαις . . .' καὶ ταῦτα μὲν ὁ Κλέαρχος. οἶδα δὲ κἀγὼ
παρὰ τοῖς ἐμοῖς Ἀλεξανδρεῦσι λαύραν τινὰ καλουμέ-
μην μέχρι καὶ νῦν εὐδαιμόνων, ἐν ᾗ πάντα τὰ πρὸς
τρυφὴν ἐπωλεῖτο.

58. Ἀλκισθένη δὲ τὸν Συβαρίτην φησὶν Ἀριστο-
τέλης ἐν τοῖς Θαυμασίοις ὑπὸ τρυφῆς ἱμάτιον τοιοῦ-
τον κατασκευάσαι τῇ πολυτελείᾳ ὡς προτίθεσθαι
αὐτὸ ἐπὶ Λακινίου ἐν τῇ πανηγύρει τῆς Ἥρας, εἰς ἣν
συμπορεύονται πάντες Ἰταλιῶται, καὶ τῶν δεικνυμέ- b
νων μάλιστα πάντων ἐκεῖνο θαυμάζεσθαι. οὗ φασὶ
κυριεύσαντα Διονύσιον τὸν πρεσβύτερον ἀποδόσθαι
Καρχηδονίοις ἑκατὸν καὶ εἴκοσι ταλάντων. ἱστορεῖ
δὲ καὶ Πολέμων περὶ αὐτοῦ ἐν τῷ ἐπιγραφομένῳ περὶ
τῶν ἐν Καρχηδόνι πέπλων. περὶ δὲ Σμινδυρίδου
τοῦ Συβαρίτου καὶ τῆς τούτου τρυφῆς ἱστόρησεν
Ἡρόδοτος ἐν τῇ ἕκτῃ, ὡς ἀποπλέων ἐπὶ τὴν μνηστείαν
τῆς Κλεισθένους τοῦ Σικυωνίων τυράννου θυγατρὸς
Ἀγαρίστης, φησίν, ἀπὸ μὲν Ἰταλίης Σμινδυρίδης ὁ
Ἱπποκράτεος Συβαρίτης, ὃς ἐπὶ πλεῖστον δὴ χλιδῆς c
εἷς ἀνὴρ ἀφίκετο. εἵποντο γοῦν αὐτῷ χίλιοι μάγειροι
καὶ ὀρνιθευταί. ἱστορεῖ περὶ αὐτοῦ καὶ Τίμαιος ἐν τῇ
ἑβδόμῃ. περὶ δὲ τῆς Διονυσίου τοῦ νεωτέρου Σικε-
λίας τυράννου τρυφῆς Σάτυρος ὁ περιπατητικὸς ἱστο-
ρῶν ἐν τοῖς βίοις πληροῦσθαί φησι παρ' αὐτῷ τρια-
κοντακλίνους οἴκους ὑπὸ τῶν εὐωχουμένων. καὶ
Κλέαρχος δὲ ἐν τῷ τετάρτῳ τῶν βίων γράφει οὕτως

*Διονύσιος δ' ὁ Διονυσίου ἁπάσης γενόμενος Σικελίας ἀλάστωρ, εἰς τὴν Λοκρῶν πόλιν παρελθὼν d οὖσαν αὐτῷ μητρόπολιν (Δωρὶς γὰρ ἡ μήτηρ αὐτοῦ τὸ γένος ἦν Λοκρίς) στρώσας οἶκον τῶν ἐν τῇ πόλει τὸν μέγιστον ἑρπύλλοις καὶ ῥόδοις μετεπέμπετο μὲν ἐν μέρει τὰς Λοκρῶν παρθένους· καὶ γυμνὸς μετὰ γυμνῶν οὐδὲν αἰσχύνης παρέλιπεν ἐπὶ τοῦ στρώματος κυλινδούμενος. τοιγαροῦν μετ' οὐ πολὺν χρόνον οἱ ὑβρισθέντες γυναῖκα καὶ τέκνα ἐκείνου λαβόντες ὑποχείρια ἐπὶ τῆς ὁδοῦ στήσαντες μεθ' ὕβρεως ἐνηκολάσταινον αὐτοῖς· καὶ ἐπεὶ τῆς ὕβρεως πλήρεις ἐγένοντο, κεντοῦντες ὑπὸ τοὺς τῶν χειρῶν ὄνυχας e βελόναις ἀνεῖλον αὐτούς. καὶ τελευτησάντων τὰ μὲν ὀστᾶ κατέκοψαν ἐν ὅλμοις, τὰ δὲ λοιπὰ κρεανομησάμενοι ἐπηράσαντο πάντες τοῖς μὴ γευσαμένοις αὐτῶν· ὅθεν πρὸς τὴν ἀνόσιον ἀρὰν κατήλεσαν αὐτῶν τὰς σάρκας, ἵν' ἡ τροφὴ σιτοποιουμένων κατεδεσθῇ, τὰ δὲ λείψανα κατεπόντωσαν. αὐτὸς δὲ Διονύσιος τέλος μητραγυρτῶν καὶ τυμπανοφορούμενος οἰκτρῶς τὸν βίον κατέστρεψεν. εὐλαβητέον οὖν τὴν καλουμένην τρυφὴν οὖσαν τῶν βίων ἀνατροπήν, ἁπάντων τε ὀλέθριον ἡγεῖσθαι τὴν ὕβριν.'*

59. *Διόδωρος δ' ὁ Σικελιώτης ἐν τοῖς περὶ βι-* f *βλιοθήκης Ἀκραγαντίνους φησὶ κατασκευάσαι Γέλωνι κολυμβήθραν πολυτελῆ, τὸ περίμετρον ἔχουσαν σταδίων ἑπτὰ βάθος δὲ πηχῶν εἴκοσιν· εἰς ἣν ἐπαγομένων ποταμίων καὶ κρηναίων ὑδάτων ἰχθυοτροφεῖον εἶναι καὶ πολλοὺς παρέχεσθαι ἰχθῦς εἰς τὴν τρυφὴν καὶ ἀπόλαυσιν τῷ Γέλωνι· καθίστασθαι δὲ καὶ κύκνων πλῆθος εἰς αὐτήν, ὡς γίνεσθαι ἐπιτερπεστάτην τὴν θέαν. ὕστερον δὲ αὕτη διεφθάρη καταχωσθεῖσα. Δοῦρις δ' ἐν τῇ δεκάτῃ τῶν περὶ Ἀγαθοκλέα*

καὶ πλησίον Ἱππωνίου πόλεως ἄλσος τι δείκνυσθαι 542
κάλλει διάφορον καὶ κατάρρυτον ὕδασιν, ἐν ᾧ καὶ τόπον τινὰ εἶναι καλούμενον Ἀμαλθείας κέρας, ὃ τὸν Γέλωνα κατασκευάσαι. Σειληνὸς δ' ὁ Καλακτῖνος ἐν τρίτῳ Σικελικῶν περὶ Συρακούσας φησὶ κῆπον εἶναι πολυτελῶς κατεσκευασμένον ὃν καλεῖσθαι Μῦθον, ἐν ᾧ χρηματίζειν Ἱέρωνα τὸν βασιλέα. ἡ δὲ Πανορμῖτις τῆς Σικελίας πᾶσα κῆπος προσαγορεύεται, διὰ τὸ πᾶσα εἶναι πλήρης δένδρων ἡμέρων, ὥς φησι Καλλίας ἐν ὀγδόῃ τῶν περὶ Ἀγαθοκλέα ἱστοριῶν. Ποσειδώνιος δὲ ἐν τῇ ὀγδόῃ τῶν ἱστοριῶν περὶ Δα- b
μοφίλου λέγων τοῦ Σικελιώτου, δι' ὃν ὁ δουλικὸς ἐκινήθη πόλεμος, ὅτι τρυφῆς ἦν οἰκεῖος, γράφει καὶ ταῦτα 'τρυφῆς οὖν δοῦλος ἦν καὶ κακουργίας, διὰ μὲν τῆς χώρας τετρακύκλους ἀπήνας περιαγόμενος καὶ ἵππους καὶ θεράποντας ὡραίους καὶ παραδρομὴν ἀνάγωγον κολάκων τε καὶ παίδων στρατιωτικῶν. ὕστερον δὲ πανοικίᾳ ἐφυβρίστως κατέστρεψε τὸν βίον ὑπὸ τῶν οἰκετῶν περιυβρισθείς.'

60. Δημήτριος δὲ ὁ Φαληρεύς, ὥς φησι Δοῦρις ἐν τῇ ἑκκαιδεκάτῃ τῶν ἱστοριῶν, χιλίων καὶ διακο- c
σίων ταλάντων κατ' ἐνιαυτὸν κύριος γενόμενος, καὶ ἀπὸ τούτων βραχέα δαπανῶν εἰς τοὺς στρατιώτας καὶ τὴν τῆς πόλεως διοίκησιν, τὰ λοιπὰ πάντα διὰ τὴν ἔμφυτον ἀκρασίαν ἠφάνιζε, θοίνας τε καθ' ἑκάστην ἡμέραν λαμπρὰς ἐπιτελῶν καὶ πλῆθός τι συνδείπνων ἔχων· καὶ ταῖς μὲν δαπάναις ταῖς εἰς τὰ δεῖπνα τοὺς Μακεδόνας ὑπερέβαλε, τῇ δὲ καθαρειότητι Κυπρίους καὶ Φοίνικας· ῥάσματά τε μύρων ἔπιπτεν ἐπὶ τὴν γῆν, ἀνθινά τε πολλὰ τῶν ἐδαφῶν ἐν τοῖς ἀνδρῶσι d
κατεσκευάζετο διαπεποικιλμένα ὑπὸ δημιουργῶν. ἦσαν δὲ καὶ πρὸς γυναῖκας ὁμιλίαι σιωπώμεναι καὶ

νεανίσκων ἔρωτες νυκτερινοί, καὶ ὁ τοῖς ἄλλοις τιθέμενος θεσμοὺς Δημήτριος καὶ τοὺς βίους τάττων ἀνομοθέτητον ἑαυτῷ τὸν βίον κατεσκεύαζεν. ἐπεμελεῖτο δὲ καὶ τῆς ὄψεως, τήν τε τρίχα τὴν ἐπὶ τῆς κεφαλῆς ξανθιζόμενος καὶ παιδέρωτι τὸ πρόσωπον ὑπαλειφόμενος καὶ τοῖς ἄλλοις ἀλείμμασιν ἐγχρίων ἑαυτόν· ἠβούλετο γὰρ τὴν ὄψιν ἱλαρὸς καὶ τοῖς ἀπαν-
e τῶσιν ἡδὺς φαίνεσθαι. ἐν δὲ τῇ πομπῇ τῶν διονυσίων, ἣν ἔπεμψεν ἄρχων γενόμενος, ᾖδε χορὸς εἰς αὐτὸν ποιήματα Καστορίωνος τοῦ Σολέως, ἐν οἷς ἡλιόμορφος προσηγορεύετο

ἐξόχως δ' εὐγενέτας ἡλιόμορφος
ζαθέοις ἄρχων σε τιμαῖσι γεραίρει.

Καρύστιος δὲ ὁ Περγαμηνὸς ἐν τρίτῳ ὑπομνημάτων 'Δημήτριος (φησὶν) ὁ Φαληρεὺς Ἱμεραίου τοῦ ἀδελφοῦ ἀναιρεθέντος ὑπ' Ἀντιπάτρου αὐτὸς μετὰ Νικάνορος διέτριβεν, αἰτίαν ἔχων ὡς τὰ ἐπιφάνεια τοῦ
f ἀδελφοῦ θύων. Κασάνδρῳ δὲ γενόμενος φίλος μέγα ἴσχυσε. καὶ κατ' ἀρχὰς μὲν ἦν αὐτοῦ τὸ ἄριστον ὀξύβαφα παντοδαπὰς ἐλάας ἔχοντα καὶ τυρὸν νησιωτικόν. ὡς δ' ἐπλούτησε, Μοσχίωνα τὸν ἄριστον τῶν τότε μαγείρων καὶ δειπνοποιῶν ἐωνήσατο, καὶ τοσαῦτα ἦν τὰ παρασκευαζόμενα καθ' ἡμέραν ὥστε χαρισαμένου τῷ Μοσχίωνι τὰ λείψανα Μοσχίων ἐν ἔτεσι δύο τρεῖς συνοικίας ἐωνήσατο, παῖδάς τ' ἐλευθέρους ὕβριζε καὶ γυναῖκας τὰς τῶν ἐπιφανεστάτων. ἐζηλοτύπουν δὲ πάντες οἱ παῖδες τὸν ἐρώμενον αὐτοῦ Διόγνιν· καὶ τοσοῦτον ἦν τῷ Δημητρίῳ προσελθεῖν ὥστε μετ' ἄριστον αὐτοῦ περιπατήσαντος παρὰ
543 τοὺς τρίποδας συνῆλθον εἰς τὸν τόπον παῖδες κάλλιστοι ταῖς ἑξῆς ἡμέραις, ἵν' ὀφθεῖεν αὐτῷ.'

61. Νικόλαος δ' ὁ περιπατητικὸς ἐν τῇ δεκάτῃ

καὶ ἑκατοστῇ τῶν ἱστοριῶν Λεύκολλόν φησιν ἀφικόμενον εἰς Ῥώμην καὶ θριαμβεύσαντα λόγον τε ἀποδόντα τοῦ πρὸς Μιθριδάτην πολέμου ἐξοκεῖλαι εἰς πολυτελῆ δίαιταν ἐκ τῆς παλαιᾶς σωφροσύνης, τρυφῆς τε πρῶτον εἰς ἅπαν Ῥωμαίοις ἡγεμόνα γενέσθαι, καρπωσάμενον δυοῖν βασιλέοιν πλοῦτον, Μιθριδάτου καὶ Τιγράνου. διαβόητος δ' ἦν παρὰ Ῥωμαίοις καὶ Σίττιος ἐπὶ τρυφῇ καὶ μαλακίᾳ, ὥς φησι Ῥουτίλιος. b περὶ γὰρ Ἀπικίου προειρήκαμεν. Παυσανίαν δὲ καὶ Λύσανδρον ἐπὶ τρυφῇ διαβοήτους γενέσθαι σχεδὸν πάντες ἱστοροῦσι. διόπερ καὶ Ἆγις ἐπὶ Λυσάνδρου ἔφη ὅτι δεύτερον τοῦτον ἡ Σπάρτη φέρει Παυσανίαν. Θεόπομπος δὲ ἐν τῇ δεκάτῃ τῶν Ἑλληνικῶν τἀναντία φησὶ περὶ τοῦ Λυσάνδρου, ὅτι φιλόπονος ἦν καὶ θεραπεύειν δυνάμενος καὶ ἰδιώτας καὶ βασιλεῖς, σώφρων ὢν καὶ τῶν ἡδονῶν ἁπασῶν κρείττων. γενόμενος γοῦν τῆς Ἑλλάδος σχεδὸν ἁπάσης κύριος ἐν οὐδεμιᾷ φανήσεται τῶν πόλεων οὔτε πρὸς c τὰς ἀφροδισίους ἡδονὰς ὁρμήσας οὔτε μέθαις καὶ πότοις ἀκαίροις χρησάμενος.'

62. οὕτω δὲ παρὰ τοῖς ἀρχαίοις τὰ τῆς τρυφῆς καὶ τῆς πολυτελείας ἠσκεῖτο ὡς καὶ Παρράσιον τὸν ζωγράφον πορφύραν ἀμπέχεσθαι χρυσοῦν στέφανον ἐπὶ τῆς κεφαλῆς ἔχοντα, ὡς ἱστορεῖ Κλέαρχος ἐν τοῖς βίοις. οὗτος γὰρ παρὰ μέλος ὑπὲρ τὴν γραφικὴν τρυφήσας λόγῳ τῆς ἀρετῆς ἀντελαμβάνετο καὶ ἐπέγραφε τοῖς ὑπ' αὐτοῦ ἐπιτελουμένοις ἔργοις

ἁβροδίαιτος ἀνὴρ ἀρετήν τε σέβων τόδ' ἔγραψα. d

καί τις ὑπεραλγήσας ἐπὶ τούτῳ παρέγραψε 'ῥαβδοδίαιτος ἀνήρ.' ἐπέγραψε δὲ ἐπὶ πολλῶν ἔργων αὐτοῦ καὶ τάδε

ἁβροδίαιτος ἀνὴρ ἀρετήν τε σέβων τάδ' ἔγραψα

Παρράσιος, κλεινῆς πατρίδος ἐξ Ἐφέσου.
οὐδὲ πατρὸς λαθόμην Εὐήνορος, ὅς ῥά μ' ἔφυσε
γνήσιον, Ἑλλήνων πρῶτα φέροντα τέχνης.

ηὔχησε δ' ἀνεμεσήτως ἐν τούτοις

e εἰ καὶ ἄπιστα κλύουσι λέγω τάδε· φημὶ γὰρ ἤδη
τέχνης εὑρῆσθαι τέρματα τῆσδε σαφῆ
χειρὸς ὑφ' ἡμετέρης· ἀνυπέρβλητος δὲ πέπηγεν
οὖρος. ἀμώμητον δ' οὐδὲν ἔγεντο βροτοῖς.

ἀγωνιζόμενος δέ ποτε πρὸς καταδεέστερον ἐν Σάμῳ τὸν Αἴαντα καὶ ἡττηθεὶς συναχθομένων αὐτῷ τῶν φίλων ἔφη ὡς αὐτὸς μὲν ὀλίγον φροντίζοι, Αἴαντι δὲ
f συνάχθοιτο δεύτερον ἡττηθέντι. ἐφόρει δὲ ὑπὸ τρυφῆς πορφυρίδα καὶ στρόφιον λευκὸν ἐπὶ τῆς κεφαλῆς εἶχε, σκίπωνί τε ἐστηρίζετο χρυσᾶς ἕλικας ἐμπεπαισμένῳ, χρυσοῖς τε ἀνασπαστοῖς ἐπέσφιγγε τῶν βλαυτῶν τοὺς ἀναγωγέας. ἀλλ' οὐδὲ τὰ κατὰ τὴν τέχνην ἀηδῶς ἐποιεῖτο ἀλλὰ ῥᾳδίως, ὡς καὶ ᾄδειν γράφοντα, ὡς ἱστορεῖ Θεόφραστος ἐν τῷ περὶ εὐδαιμονίας. τερατευόμενος δ' ἔλεγεν, ὅτε τὸν ἐν Λίνδῳ Ἡρακλέα ἔγραφεν, ὡς ὄναρ αὐτῷ ἐπιφαινόμενος ὁ θεὸς σχηματίζοι αὐτὸν πρὸς τὴν τῆς γραφῆς ἐπιτηδειότητα. ὅθεν καὶ ἐπέγραψε τῷ πίνακι

544 οἷος δ' ἐννύχιος φαντάζετο πολλάκι φοιτῶν
Παρρασίῳ δι' ὕπνου, τοῖος ὅδ' ἐστὶν ὁρᾶν.

63. καὶ φιλοσόφων δὲ αἱρέσεις ὅλαι τῆς περὶ τὴν τρυφὴν αἱρέσεως ἀντεποιήσαντο· καὶ ἥ γε κυρηναϊκὴ καλουμένη ἀπ' Ἀριστίππου τοῦ σωκρατικοῦ τὴν ἀρχὴν λαβοῦσα, ὃς ἀποδεξάμενος τὴν ἡδυπάθειαν, ταύτην τέλος εἶναι ἔφη καὶ ἐν αὐτῇ τὴν εὐδαιμονίαν βεβλῆσθαι καὶ μονόχρονον αὐτὴν εἶναι· παραπλησίως τοῖς ἀσώτοις οὔτε τὴν μνήμην τῶν γεγονυιῶν ἀπολαύσεων πρὸς αὐτὸν ἡγούμενος οὔτε τὴν ἐλπίδα τῶν

ἐσομένων, ἀλλ᾽ ἑνὶ μόνῳ τὸ ἀγαθὸν κρίνων τῷ παρ- b
όντι, τὸ δὲ ἀπολελαυκέναι καὶ ἀπολαύσειν οὐδὲν νο-
μίζων πρὸς αὑτόν, τὸ μὲν ὡς οὐκ ἔτ᾽ ὂν τὸ δὲ ὡς οὔπω
[καὶ ἄδηλον]· ὁποῖον καὶ οἱ τρυφῶντες πάσχουσι τὸ
παρὸν εὖ ποιεῖν ἀξιοῦντες. ὡμολόγησε δ᾽ αὐτοῦ τῷ
δόγματι καὶ ὁ βίος, ὃν ἐβίωσεν ἐν πάσῃ τρυφῇ καὶ
πολυτελείᾳ μύρων καὶ ἐσθήτων καὶ γυναικῶν. Λαΐδα
γοῦν ἀναφανδὸν εἶχε τὴν ἑταίραν καὶ ταῖς Διονυσίου
πολυτελείαις ἔχαιρε, καίτοι πολλάκις ἐνυβριζόμενος. c
Ἡγήσανδρος γοῦν φησὶν ὡς καὶ ἀδόξου ποτὲ κλισίας
παρ᾽ αὐτῷ τυχὼν ἤνεγκεν, ἐρωτήσαντός τε τοῦ Διο-
νυσίου τί φαίνεται ἡ κατάκλισις πρὸς τὴν χθές, ἔφησε
παραπλησίαν εἶναι. ἐκείνη τε γάρ, ἔφησεν, ἀδοξεῖ
τήμερον χωρισθεῖσα ἐμοῦ, χθὲς δὲ πασῶν ἦν ἐνδοξο-
τάτη δι᾽ ἡμᾶς. αὕτη δὲ τήμερον καὶ ἔνδοξος γέγονε
διὰ τὴν ἡμετέραν παρουσίαν, χθὲς δὲ ἠδόξει μὴ παρ-
όντος ἐμοῦ.᾽ καὶ ἐν ἄλλοις δέ φησιν ὁ Ἡγήσανδρος
‘Ἀρίστιππος ῥαινόμενος μὲν ὑπὸ τῶν τοῦ Διονυσίου d
θεραπόντων, σκωπτόμενος δ᾽ ἐπὶ τῷ ἀνέχεσθαι ὑπ᾽
Ἀντιφῶντος, εἰ δ᾽ ἁλιευόμενος ἐτύγχανον, ἔφη, κα-
ταλιπὼν τὴν ἐργασίαν ἂν ἀπῆλθον;᾽ διέτριβε δ᾽ ὁ
Ἀρίστιππος τὰ πολλὰ ἐν Αἰγίνῃ τρυφῶν. διὸ καὶ ὁ
Ξενοφῶν ἐν τοῖς Ἀπομνημονεύμασί φησιν ὅτι πολ-
λάκις ἐνουθέτει αὐτὸν ὁ Σωκράτης καὶ τὴν ἠθοποιίαν
πλάσας τῆς ἀρετῆς καὶ τῆς ἡδονῆς εἰσῆγεν. ὁ δ᾽
Ἀρίστιππος ἐπὶ τῆς Λαΐδος ἔλεγεν, ἔχω καὶ οὐκ ἔχο-
μαι. καὶ παρὰ Διονυσίῳ διηνέχθη τισὶ περὶ τῆς ἐκλο-
γῆς τῶν τριῶν γυναικῶν. καὶ μύροις ἐλοῦτο, καὶ e
ἔφασκεν ὅτι

κἀν βακχεύμασιν
οὖσ᾽ ἥ γε σώφρων οὐ διαφθαρήσεται.

κωμῳδῶν δὲ αὐτὸν Ἄλεξις ἐν Γαλατείᾳ ποιεῖ τινὰ

θεράποντα διηγούμενον περί τινος τῶν μαθητῶν τάδε·

ὁ δεσπότης οὑμὸς περὶ λόγους γάρ ποτε
διέτριψε μειρακίσκος ὢν καὶ φιλοσοφεῖν
ἐπέθετο. Κυρηναῖος ἦν ἐνταῦθά τις,
ὥς φασ', Ἀρίστιππος σοφιστὴς εὐφυής,
f μᾶλλον δὲ πρωτεύων ἁπάντων τῶν τότε,
ἀκολασίᾳ τε τῶν γεγονότων διαφέρων.
τούτῳ τάλαντον δοὺς μαθητὴς γίγνεται
ὁ δεσπότης. καὶ τὴν τέχνην μὲν οὐ πάνυ
ἐξέμαθε, τὴν δ' ἀρτυσίαν συνήρπασεν.

Ἀντιφάνης δ' ἐν Ἀνταίῳ περὶ τῆς τῶν φιλοσόφων τρυφερότητος διαλεγόμενός φησιν

ὦ τᾶν, κατανοεῖς τίς ποτ' ἐστὶν οὑτοσὶ
ὁ γέρων; Β. ἀπὸ τῆς μὲν ὄψεως ἑλληνικός·
545 λευκὴ χλανίς, φαιὸς χιτωνίσκος καλός,
πιλίδιον ἁπαλόν, εὔρυθμος βακτηρία,
βαιὰ τράπεζα. τί μακρὰ δεῖ λέγειν; ὅλως
αὐτὴν ὁρᾶν γὰρ τὴν Ἀκαδήμειαν δοκῶ.

64. Ἀριστόξενος δ' ὁ μουσικὸς ἐν τῷ Ἀρχύτα βίῳ ἀφίησι παρὰ Διονυσίου τοῦ νεωτέρου πρεσβευτὰς πρὸς τὴν Ταραντίνων πόλιν, ἐν οἷς εἶναι καὶ Πολύαρχον τὸν ἡδυπαθῆ ἐπικαλούμενον, ἄνδρα περὶ τὰς σωματικὰς ἡδονὰς ἐσπουδακότα καὶ οὐ μόνον τῷ ἔργῳ ἀλλὰ καὶ τῷ λόγῳ. ὄντα δὲ γνώριμον τῷ Ἀρ-
b χύτᾳ καὶ φιλοσοφίας οὐ παντελῶς ἀλλότριον, ἀπαντᾶν εἰς τὰ τεμένη καὶ συμπεριπατεῖν τοῖς περὶ τὸν Ἀρχύταν ἀκροώμενον τῶν λόγων. ἐμπεσούσης δέ ποτε ἀπορίας καὶ σκέψεως περί τε τῶν ἐπιθυμιῶν καὶ τὸ σύνολον περὶ τῶν σωματικῶν ἡδονῶν ἔφη ὁ Πολύαρχος· ἐμοὶ μέν, ὦ ἄνδρες, πολλάκις ἤδη πέφηνεν ἐπισκοποῦντι κομιδῇ τὸ τῶν ἀρετῶν τούτων

κατασκεύασμα καὶ πολὺ τῆς φύσεως ἀφεστηκὸς εἶναι.
ἡ γὰρ φύσις ὅταν φθέγγηται τὴν ἑαυτῆς φωνήν, ἀκο-
λουθεῖν κελεύει ταῖς ἡδοναῖς, καὶ τοῦτό φησιν εἶναι c
νοῦν ἔχοντος, τὸ δ' ἀντιτείνειν καὶ καταδουλοῦσθαι
τὰς ἐπιθυμίας οὔτε ἔμφρονος οὔτε εὐτυχοῦς οὔτε
ξυνιέντος εἶναι τίς ποτ' ἐστὶν ἡ τῆς ἀνθρωπίνης φύ-
σεως σύστασις. τεκμήριον δ' ἰσχυρὸν εἶναι τὸ πάν-
τας ἀνθρώπους, ὅταν ἐξουσίας ἐπιλάβωνται μέγεθος
ἀξιόχρεων ἐχούσης, ἐπὶ τὰς σωματικὰς ἡδονὰς κατα-
φέρεσθαι καὶ τοῦτο νομίζειν τέλος εἶναι τῆς ἐξουσίας,
τὰ δ' ἄλλα πάντα σχεδὸν ἁπλῶς εἰπεῖν ἐν παρέργῳ
τίθεσθαι χώρᾳ. προφέρειν δὲ ἔξεστι νῦν μὲν τοὺς
Περσῶν βασιλεῖς καὶ εἴ τίς που τυραννίδος ἀξιολόγου d
κύριος ὢν τυγχάνει, πρότερον δὲ τούς τε τῶν Λυδῶν
καὶ τῶν Μήδων καὶ ἔτι ἀνωτέρω [καὶ] τοὺς Σύρων·
οἷς οὐδὲν γένος ἡδονῆς ἀζήτητον γενέσθαι, ἀλλὰ καὶ
δῶρα παρὰ τοῖς Πέρσαις προκεῖσθαι λέγεται τοῖς
δυναμένοις ἐξευρίσκειν καινὴν ἡδονήν· καὶ μάλα
ὀρθῶς. ταχὺ γὰρ ἡ ἀνθρωπίνη φύσις ἐμπίμπλαται
τῶν χρονιζουσῶν ἡδονῶν, κἂν ὦσι σφόδρα διηκρι-
βωμέναι. ὥστε, ἐπεὶ μεγάλην ἔχει δύναμιν ἡ καινό-
της πρὸς τὸ μείζω φανῆναι τὴν ἡδονήν, οὐκ ὀλιγω- e
ρητέον οὖν ἀλλὰ πολλὴν ἐπιμέλειαν αὐτῆς ποιητέον.
διὰ ταύτην δὲ τὴν αἰτίαν πολλὰ μὲν ἐξευρεθῆναι
βρωμάτων εἴδη, πολλὰ δὲ πεμμάτων, πολλὰ δὲ θυ-
μιαμάτων καὶ μύρων, πολλὰ δὲ ἱματίων καὶ στρω-
μάτων, καὶ ποτηρίων δὴ καὶ τῶν ἄλλων σκευῶν·
πάντα γὰρ δὴ ταῦτα συμβάλλεσθαί τινας ἡδονάς,
ὅταν ᾖ ἡ ὑποκειμένη ὕλη τῶν θαυμαζομένων ὑπὸ τῆς
ἀνθρωπίνης φύσεως· ὃ δὴ πεπονθέναι δοκεῖ ὅ τε
χρυσὸς καὶ ἄργυρος καὶ τὰ πολλὰ τῶν εὐοφθάλμων

f τε καὶ σπανίων, ὅσα καὶ κατὰ τὰς ἀπεργαζομένας τέχνας διηκριβωμένα φαίνεται.’

65. εἰπὼν δὲ τούτοις ἑξῆς τὰ περὶ τῆς θεραπείας τῆς τοῦ Περσῶν βασιλέως οἵους καὶ ὅσους ἔχει θεραπευτῆρας, καὶ περὶ τῆς τῶν ἀφροδισίων αὐτοῦ χρήσεως, καὶ τῆς περὶ τὸν χρῶτα αὐτοῦ ὀσμῆς καὶ τῆς εὐμορφίας καὶ τῆς ὁμιλίας, καὶ περὶ τῶν θεωρημάτων καὶ τῶν ἀκροαμάτων, εὐδαιμονέστατον ἔφη κρῖναι τῶν νῦν τὸν τῶν Περσῶν βασιλέα· πλεῖσται γάρ εἰσιν αὐτῷ καὶ τελειόταται παρεσκευασμέναι ἡδοναί. δεύτερον δέ, φησί, τὸν ἡμέτερον τύραννον θείη τις ἄν, καίπερ πολὺ λειπόμενον. ἐκείνῳ μὲν γὰρ ἥ τε
546 Ἀσία ὅλη χορηγεῖ . . . τὸ δὲ Διονυσίου χορηγεῖον παντελῶς ἂν εὐτελές τι φανείη πρὸς ἐκεῖνο συγκρινόμενον. ὅτι μὲν οὖν περιμάχητός ἐστιν ὁ τοιοῦτος βίος φανερὸν ἐκ τῶν συμβεβηκότων. Σύρους μὲν γὰρ Μῆδοι μετὰ τῶν μεγίστων κινδύνων ἀφείλοντο τὴν βασιλείαν οὐκ ἄλλου τινὸς ἕνεκα ἢ τοῦ κυριεῦσαι τῆς Σύρων ἐξουσίας, Μήδους δὲ Πέρσαι διὰ τὴν αὐτὴν αἰτίαν· αὕτη δ’ ἐστὶν ἡ τῶν σωματικῶν ἡδονῶν ἀπόλαυσις. οἱ δὲ νομοθέται ὁμαλίζειν βουληθέντες τὸ τῶν ἀνθρώπων γένος καὶ μηδένα τῶν πολιτῶν τρυ-
b φᾶν, ἀνακῦψαι πεποιήκασι τὸ τῶν ἀρετῶν εἶδος, καὶ ἔγραψαν νόμους περὶ συναλλαγμάτων καὶ τῶν ἄλλων ὅσα ἐδόκει πρὸς τὴν πολιτικὴν κοινωνίαν ἀναγκαῖα εἶναι, καὶ δὴ καὶ περὶ ἐσθῆτος καὶ τῆς λοιπῆς διαίτης, ὅπως ᾖ ὁμαλής. πολεμούντων οὖν τῶν νομοθετῶν τῷ τῆς πλεονεξίας γένει πρῶτον μὲν ὁ περὶ τὴν δικαιοσύνην ἔπαινος ηὐξήθη, καί πού τις καὶ ποιητὴς ἐφθέγξατο

δικαιοσύνας τὸ χρύσεον πρόσωπον.

καὶ πάλιν τὸ

χρύσεον ὄμμα τὸ τᾶς δίκας.

ἀπεθεώθη δὲ καὶ αὐτὸ τὸ τῆς Δίκης ὄνομα, ὥστε παρ' ἐνίοις καὶ βωμοὺς καὶ θυσίας γίνεσθαι Δίκῃ. c μετὰ ταύτην δὲ καὶ σωφροσύνην καὶ ἐγκράτειαν ἐπεισεκόμισαν, καὶ πλεονεξίαν ἐκάλεσαν τὴν ἐν ἀπολαύσεσιν ὑπεροχήν, ὥστε καὶ τὸν πειθαρχοῦντα τοῖς νόμοις καὶ τῇ τῶν πολλῶν φήμῃ μετριάζειν περὶ τὰς σωματικὰς ἡδονάς.'

66. καὶ Δοῦρις δέ φησιν ἐν τῇ εἰκοστῇ τρίτῃ τῶν ἱστοριῶν ὡς ἦν τὸ παλαιὸν τοῖς δυνάσταις ἐπιθυμία τῆς μέθης. διὸ ποιεῖν τὸν Ὅμηρον τῷ Ἀγαμέμνονι λοιδορούμενον τὸν Ἀχιλλέα καὶ λέγοντα

οἰνοβαρές, κυνὸς ὄμματ' ἔχων.

καὶ τὸν θάνατον δὲ ἀποσημαίνων τοῦ βασιλέως φησίν d

ὡς ἀμφὶ κρητῆρα τραπέζας τε πληθούσας
κείμεθα·

δεικνύων καὶ τὸν θάνατον αὐτοῦ παρ' αὐταῖς ταῖς ἐπιθυμίαις τῆς μέθης γενόμενον. φιλήδονος δ' ἦν καὶ Σπεύσιππος ὁ Πλάτωνος συγγενὴς καὶ διάδοχος τῆς σχολῆς. Διονύσιος γοῦν ὁ τῆς Σικελίας τύραννος ἐν τῇ πρὸς αὐτὸν ἐπιστολῇ κατὰ τῆς φιληδονίας αὐτοῦ εἰπὼν καὶ φιλαργυρίαν αὐτῷ ὀνειδίζει καὶ τὸν Λασθενείας τῆς Ἀρκαδικῆς ἔρωτα, ἥτις Πλάτωνος ἠκηκόει.

67. οὐ μόνος δὲ Ἀρίστιππος καὶ οἱ ἀπ' αὐτοῦ e τὴν κατὰ κίνησιν ἡδονὴν ἠσπάζοντο, ἀλλὰ καὶ Ἐπίκουρος καὶ οἱ ἀπὸ τούτου. καὶ ἵνα μὴ τοὺς καταιγισμοὺς λέγω καὶ τὰ ἐπεντρώματα, ἅπερ πολλάκις προφέρεται ὁ Ἐπίκουρος, καὶ τοὺς γαργαλισμοὺς καὶ τὰ νύγματα, ἃ ἐν τῷ περὶ τέλους εἴρηκε, τούτων μνησθήσομαι. φησὶ γὰρ 'οὐ γὰρ ἔγωγε δύναμαι νοῆσαι τἀγαθὸν ἀφαιρῶν μὲν τὰς διὰ χυλῶν ἡδονάς,

ἀφαιρῶν δὲ τὰς δι' ἀφροδισίων, ἀφαιρῶν δὲ τὰς δι' ἀκροαμάτων, ἀφαιρῶν δὲ καὶ τὰς διὰ μορφῆς κατ'
f ὄψιν ἡδείας κινήσεις.' καὶ Μητρόδωρος ἐν ταῖς ἐπιστολαῖς φησί 'περὶ γαστέρα, ὦ φυσιολόγε Τιμόκρατες, περὶ γαστέρα ὁ κατὰ φύσιν βαδίζων λόγος τὴν ἅπασαν ἔχει σπουδήν.' καὶ ὁ Ἐπίκουρος δέ φησιν 'ἀρχὴ καὶ ῥίζα παντὸς ἀγαθοῦ ἡ τῆς γαστρὸς ἡδονή· καὶ τὰ σοφὰ καὶ τὰ περιττὰ ἐπὶ ταύτην ἔχει τὴν ἀναφοράν.' κἀν τῷ περὶ τέλους δὲ πάλιν φησί 'τιμητέον τὸ καλὸν καὶ τὰς ἀρετὰς καὶ τὰ τοιουτότροπα, ἐὰν ἡδονὴν παρασκευάζῃ· ἐὰν δὲ μὴ παρασκευάζῃ, χαίρειν ἐατέον,' σαφῶς ὑπουργὸν ποιῶν ἐν τούτοις τὴν
547 ἀρετὴν τῆς ἡδονῆς καὶ θεραπαίνης τάξιν ἐπέχουσαν. κἀν ἄλλοις δέ φησι 'προσπτύω τῷ καλῷ καὶ τοῖς κενῶς αὐτὸ θαυμάζουσιν, ὅταν μηδεμίαν ἡδονὴν ποιῇ.'

68. καλῶς ἄρα ποιοῦντες Ῥωμαῖοι οἱ πάντ' ἄριστοι Ἄλκιον καὶ Φιλίσκον τοὺς ἐπικουρείους ἐξέβαλον τῆς πόλεως, Λευκίου τοῦ Ποστουμίου ὑπατεύοντος, δι' ἃς εἰσηγοῦντο ἡδονάς. ὁμοίως δὲ καὶ Μεσσήνιοι κατὰ ψήφισμα ἐξέωσαν τοὺς ἐπικουρείους, Ἀντίοχος δὲ ὁ βασιλεὺς καὶ πάντας τοὺς φιλοσόφους τῆς αὑτοῦ βασιλείας, γράψας τάδε 'βασιλεὺς Ἀντίο-
b χος Φανίᾳ. ἐγράψαμεν ὑμῖν καὶ πρότερον ὅπως μηδεὶς ᾖ φιλόσοφος ἐν τῇ πόλει μηδ' ἐν τῇ χώρᾳ. πυνθανόμεθα δὲ οὐκ ὀλίγους εἶναι καὶ τοὺς νέους λυμαίνεσθαι, διὰ τὸ μηδὲν πεποιηκέναι ὑμᾶς ὧν ἐγράψαμεν περὶ τούτων. ὡς ἂν οὖν λάβῃς τὴν ἐπιστολήν, σύνταξον κήρυγμα ποιήσασθαι ὅπως οἱ μὲν φιλόσοφοι πάντες ἀπαλλάξονται ἐκ τῶν τόπων ἤδη, τῶν δὲ νεανίσκων ὅσοι ἂν ἁλίσκωνται πρὸς τούτοις γινόμενοι διότι κρεμήσονται καὶ οἱ πατέρες αὐτῶν

ἐν αἰτίαις ἔσονται ταῖς μεγίσταις· καὶ μὴ ἄλλως γίνηται.’

τῆς δ’ ἡδονῆς πρὸ Ἐπικούρου εἰσηγητὴς ἐγένετο c
Σοφοκλῆς ὁ ποιητὴς ἐν Ἀντιγόνῃ ταῦτα εἰπών

τὰς γὰρ ἡδονὰς
ὅταν προδῶσιν ἄνδρες, οὐ τίθημ’ ἐγὼ
ζῆν τοῦτον, ἀλλ’ ἔμψυχον ἡγοῦμαι νεκρόν.
πλούτει τε γὰρ κατ’ οἶκον, εἰ βούλει, μέγα,
καὶ ζῆ τύραννον σχῆμ’ ἔχων, ἐὰν δ’ ἀπῇ
τούτων τὸ χαίρειν, τἆλλ’ ἐγὼ καπνοῦ σκιᾶς
οὐκ ἂν πριαίμην ἀνδρὶ πρὸς τὴν ἡδονήν.

69. καὶ Λύκων δὲ ὁ περιπατητικός, ὥς φησιν d
Ἀντίγονος ὁ Καρύστιος, κατ’ ἀρχὰς ἐπιδημήσας παιδείας ἕνεκα ταῖς Ἀθήναις περὶ συμβολικοῦ κώθωνος καὶ πόσον ἑκάστη τῶν ἑταιρουσῶν ἐπράττετο μίσθωμα ἀκριβῶς ἠπίστατο. ὕστερον δὲ καὶ τοῦ περιπάτου προστὰς ἐδείπνιζε τοὺς φίλους ἀλαζονείᾳ καὶ πολυτελείᾳ πολλῇ χρώμενος. χωρὶς γὰρ τῶν παραλαμβανομένων εἰς αὐτὰ ἀκροαμάτων καὶ ἀργυρωμάτων καὶ στρωμνῆς ἡ λοιπὴ παρασκευὴ καὶ ἡ τῶν δείπνων περιεργία καὶ ὁ τῶν τραπεζοποιῶν καὶ μαγείρων ὄχλος τοσοῦτος ἦν ὥστε καὶ πολλοὺς ὀρρωδεῖν καὶ e
βουλομένους προσιέναι πρὸς τὴν διατριβὴν ἀνακόπτεσθαι, καθάπερ εἰς πολίτευμα πονηρὸν καὶ χορηγιῶν καὶ λειτουργιῶν πλῆρες εὐλαβουμένους προάγειν. ἔδει γὰρ ἄρξαι τε τὴν νομιζομένην ἐν τῷ περιπάτῳ ἀρχὴν (αὕτη δ’ ἦν ἐπὶ τῆς εὐκοσμίας τῶν ἐπιχειρούντων) τριάκονθ’ ἡμέρας· εἶτα τῇ ἕνῃ καὶ νέᾳ λαβόντα ἀφ’ ἑκάστου τῶν ἐπιχειρούντων ἐννέα ὀβολοὺς ὑποδέξασθαι μὴ μόνον αὐτοὺς τοὺς τὴν συμβολὴν εἰσενεγκόντας, ἀλλὰ καὶ οὓς παρακαλέσειεν ὁ Λύκων, ἔτι δὲ καὶ τοὺς ἐπιμελῶς συναντῶντας τῶν

f πρεσβυτέρων εἰς τὴν σχολήν· ὥστε γίνεσθαι μηδὲ εἰς τὸν μυρισμὸν καὶ τοὺς στεφάνους ἱκανὸν τὸ ἐκλεγόμενον ἀργύριον· ἱεροποιῆσαί τε καὶ τῶν θυσιῶν ἐπιμελητὴν γενέσθαι. ἃ δὴ πάντα ἐφαίνετο λόγου μὲν ἀλλότρια καὶ φιλοσοφίας εἶναι, τρυφῆς δὲ καὶ περιστάσεως οἰκειότερα. καὶ γὰρ εἰ παρίεντό τινες τῶν μὴ δυναμένων εἰς ταῦτα ἀναλίσκειν ἀπὸ βραχείας καὶ τῆς τυχούσης ὁρμώμενοι χορηγίας, ὅ γε μισθὸς ἱκανῶς ἦν ἄτοπος . . . οὐ γὰρ ἵνα συρρυέντες ἐπὶ ταὐτὸ τῆς ἕως τοὐρθρίου γενομένης τραπέζης ἀπολαύσωσιν ἢ χάριν ἐξοινίας ἐποιήσαντο τὰς συν-
548 όδους ταύτας οἱ περὶ Πλάτωνα καὶ Σπεύσιππον, ἀλλ' ἵνα φαίνωνται καὶ τὸ θεῖον τιμῶντες καὶ φυσικῶς ἀλλήλοις συμπεριφερόμενοι, καὶ τὸ πλεῖστον ἕνεκεν ἀνέσεως καὶ φιλολογίας. ἃ δὴ πάντα γέγονε δεύτερα παρὰ τοῖς ὕστερον τῶν τε χλανίδων καὶ τῆς πολυτελείας τῆς εἰρημένης. οὐ γὰρ ἔγωγε τοὺς λοιποὺς ὑπεξαιροῦμαι. ὁ δὲ Λύκων ὑπ' ἀλαζονείας καὶ ἐν τῷ ἐπιφανεστάτῳ τῆς πόλεως τόπῳ, ἐν τῇ Κόνωνος
b οἰκίᾳ, εἶχεν εἰκοσίκλινον οἶκον, ὃς ἦν ἐπιτήδειος αὐτῷ πρὸς τὰς ὑποδοχάς. ἦν δὲ ὁ Λύκων καὶ σφαιριστὴς ἀγαθὸς καὶ ἐπιδέξιος.'

70. περὶ δὲ Ἀναξάρχου Κλέαρχος ὁ Σολεὺς ἐν πέμπτῳ βίων οὕτω γράφει 'τῶν εὐδαιμονικῶν καλουμένων Ἀναξάρχῳ διὰ τὴν τῶν χορηγησάντων ἄγνοιαν περιπεσούσης ἐξουσίας γυμνὴ μὲν ᾠνοχόει παιδίσκη πρόσηβος, ἡ προκριθεῖσα διαφέρειν ὥρᾳ τῶν ἄλλων, ἀνασύρουσα πρὸς ἀλήθειαν τὴν τῶν οὕτως αὐτῇ χρω-
c μένων ἀκρασίαν. ὁ δὲ σιτοποιὸς χειρῖδας ἔχων καὶ περὶ τῷ στόματι κημὸν ἔτριβε τὸ σταῖς, ἵνα μήτε ἱδρὼς ἐπιρρέοι μήτε τοῖς φυράμασιν ὁ τρίβων ἐμ-

πνέοι.᾿ διὸ πρεπόντως ἄν τις εἴποι τῷ σοφῷ τούτῳ
φιλοσόφῳ τὰ ἐκ τοῦ Ἀναξίλα Λυροποιοῦ

ξανθοῖς τε μύροις χρῶτα λιπαίνων,
χλανίδας θ᾿ ἕλκων, βλαύτας σύρων,
βολβοὺς τρώγων, τυροὺς κάπτων,
ᾠὰ κολάπτων, κήρυκας ἔχων,
χῖον πίνων, καὶ πρὸς τούτοις
ἐν σκυταρίοις ῥαπτοῖσι φορῶν
ἐφεσήια γράμματα καλά.

71. πόσῳ γὰρ τούτων βελτίων Γοργίας ὁ Λεοντῖ-
νος, περὶ οὗ φησὶν ὁ αὐτὸς Κλέαρχος ἐν τῷ ὀγδόῳ d
τῶν βίων ὅτι διὰ τὸ σωφρόνως ζῆν σχεδὸν ὀγδοή-
κοντα ἔτη τῷ φρονεῖν συνεβίωσε. καὶ ἐπεί τις αὐτὸν
ἤρετο τίνι διαίτῃ χρώμενος οὕτως ἐμμελῶς καὶ μετὰ
αἰσθήσεως τοσοῦτον χρόνον ζήσειεν, οὐδὲν πώποτε,
εἶπεν, ἡδονῆς ἕνεκεν πράξας. Δημήτριος δ᾿ ὁ Βυζάν-
τιος ἐν τετάρτῳ περὶ ποιημάτων ῾Γοργίας (φησὶν) ὁ
Λεοντῖνος ἐρωτηθεὶς τί αὐτῷ γέγονεν αἴτιον τοῦ
βιῶσαι πλείω τῶν ἑκατὸν ἐτῶν, ἔφη τὸ μηδὲν πώποτε
ἑτέρου ἕνεκεν πεποιηκέναι. Ὦχος δὲ πολλῷ χρόνῳ
τὴν βασιλείαν καὶ τὴν λοιπὴν περὶ τὸν βίον χορηγίαν e
διαρκῆ κτησάμενος, ὡς τελευτῶντος ἠρώτησεν ὁ
πρεσβύτατος τῶν υἱῶν τί πράσσων τοσαῦτ᾿ ἔτη δια-
φυλάξειε τὴν βασιλείαν, ἵνα καὶ αὐτὸς τοῦτο μιμοῖτο,
τὰ δίκαια πράττων, εἶπε, πρὸς ἅπαντας ἀνθρώπους
καὶ θεούς. Καρύστιος δ᾿ ὁ Περγαμηνὸς ἐν ἱστορικοῖς
ὑπομνήμασι ῾Κηφισόδωρος (φησὶν) ὁ Θηβαῖος, Πολύ-
δωρον τὸν Τήιον ἰατρὸν Ἀντιπάτρῳ συσσιτεῖν, φι-
λοτάπιδα ἔχοντι κρικωτὴν καθάπερ τοὺς στρωματεῖς
εὐτελῆ, ἐφ᾿ ἧς κατακεῖσθαι, κάδους δὲ χαλκοῦς καὶ f
ποτήρια ὀλίγα· γεγονέναι γὰρ ὀλιγοδίαιτον καὶ τρυ-
φῆς ἀλλότριον.᾿

72. Τιθωνὸν δὲ ἀπὸ τῆς ἕω μέχρι δυσμῶν κοιμώμενον μόλις ἐπιθυμίαι πρὸς ἑσπέραν ἐπήγειρον· ὅθεν ἠοῖ συγκοιμᾶσθαι λεχθεὶς διὰ τὸ ταῖς ἐπιθυμίαις ἐμπεπλέχθαι . . . ἐπὶ τῷ γήρᾳ καθεῖρκται, 549 κρεμαστὸς ὢν πρὸς ἀλήθειαν ἐκ τούτων. καὶ Μελάνθιος δὲ τὸν αὑτοῦ τράχηλον κατατείνων ἀπήγχετο ἐκ τῶν ἀπολαύσεων κνισότερος ὢν τοῦ Ὀδυσσέως Μελανθίου. πολλοὶ δὲ καὶ ἄλλοι πᾶν τὸ σῶμα διεστράφησαν διὰ τὰς ἀκαίρους ἡδονάς, οἱ δὲ καὶ εἰς πάχος σώματος ἐπέδωκαν, ἄλλοι δὲ καὶ εἰς ἀναισθησίαν, διὰ πολλὴν τρυφήν. Νύμφις γοῦν ὁ Ἡρακλεώτης ἐν τῷ δευτέρῳ περὶ Ἡρακλείας ‘Διονύσιος (φησὶν) ὁ Κλεάρχου τοῦ πρώτου τυραννήσαντος ἐν Ἡρακλείᾳ υἱός, καὶ αὐτὸς τῆς πατρίδος τυραννήσας, b ὑπὸ τρυφῆς καὶ τῆς καθ᾽ ἡμέραν ἀδηφαγίας ἔλαθεν ὑπερσαρκήσας, ὥστε διὰ τὸ πάχος ἐν δυσπνοίᾳ αὐτὸν συσχεθῆναι καὶ πνιγμῷ. διὸ συνέταξαν οἱ ἰατροὶ κατασκευάσαι βελόνας λεπτὰς τῷ μήκει διαφερούσας, αἷς διὰ τῶν πλευρῶν καὶ τῆς κοιλίας διωθεῖν, ὅταν εἰς ὕπνον τύχῃ βαθύτερον ἐμπεσών. μέχρι μὲν οὖν τινὸς ὑπὸ τῆς πεπωρωμένης ἐκ τοῦ στέατος σαρκὸς οὐκ ἐνεποίει τιν᾽ αἴσθησιν, εἰ δὲ πρὸς καθαρὸν τόπον ἡ βελόνη διελθοῦσα ἔθιγε, τότε διηγείρετο. τοὺς δὲ c χρηματισμοὺς ἐποιεῖτο τοῖς βουλομένοις προτιθέμενος κιβωτὸν τοῦ σώματος, ἵνα τὰ μὲν λοιπὰ μέρη κρύπτοι τὸ δὲ πρόσωπον μόνον ὑπερέχων διαλέγοιτο τοῖς ἀπαντῶσι.’ μνημονεύει δ᾽ αὐτοῦ καὶ Μένανδρος, ἥκιστ᾽ ὢν λοίδορος, ἐν τοῖς Ἁλιεῦσι, τὸν μῦθον ὑποστησάμενος ὑπὲρ τινων φυγάδων ἐξ Ἡρακλείας

παχὺς γὰρ ὗς ἔκειτ᾽ ἐπὶ στόμα.

καὶ πάλιν

ἐτρύφησεν ὥστε μὴ πολὺν τρυφᾶν χρόνον.
καὶ ἔτι
ἴδιον ἐπιθυμῶν μόνος μοι θάνατος οὗτος φαίνεται
εὐθάνατος, ἔχοντα πολλὰς χολλάδας κεῖσθαι παχύν,
ὕπτιον μόλις λαλοῦντα καὶ τὸ πνεῦμ᾽ ἔχοντ᾽ ἄνω, d
ἐσθίοντα καὶ λέγοντα 'σήπομ᾽ ὑπὸ τῆς ἡδονῆς.'

ἀπέθανε δὲ βιώσας ἔτη πέντε πρὸς τοῖς πεντήκοντα, ὧν ἐτυράννησε τρία καὶ τριάκοντα, ἁπάντων τῶν πρὸ αὐτοῦ τυράννων πραότητι καὶ ἐπιεικείᾳ διενηνοχώς.

73. τοιοῦτος ἐγεγόνει καὶ Πτολεμαῖος ὁ ἕβδομος Αἰγύπτου βασιλεύσας, ὁ αὑτὸν μὲν εὐεργέτην ἀνακηρύττων ὑπὸ δὲ Ἀλεξανδρέων κακεργέτης ὀνομαζόμενος. Ποσειδώνιος γοῦν ὁ στωικὸς συναποδημήσας Σκιπίωνι τῷ Ἀφρικανῷ κληθέντι εἰς Ἀλεξάν- e
δρειαν καὶ θεασάμενος αὐτὸν γράφει ἐν ἑβδόμῃ τῶν ἱστοριῶν οὕτως 'διὰ δὲ τρυφὴν διέφθαρτο τὸ σῶμα ὑπὸ παχύτητος καὶ γαστρὸς μεγέθους, ἣν δυσπερίληπτον εἶναι συνέβαινεν· ἐφ᾽ ἧς χιτωνίσκον ἐνδεδυκὼς ποδήρη μέχρι τῶν καρπῶν χειρῖδας ἔχοντα προήει μηδέποτε πεζὸς εἰ μὴ διὰ Σκιπίωνα.' ὅτι δὲ τρυφῆς οὐκ ἦν ἀλλότριος ὁ βασιλεὺς οὗτος, αὐτὸς περὶ ἑαυτοῦ μαρτυρεῖ ἐν τῷ ὀγδόῳ τῶν ὑπομνημάτων διηγούμενος ὅπως τε ἱερεὺς ἐγένετο τοῦ ἐν Κυρήνῃ
Ἀπόλλωνος καὶ ὅπως δεῖπνον παρεσκεύασε τοῖς πρὸ f
αὐτοῦ γενομένοις ἱερεῦσι, γράφων οὕτως '"Ἀρτεμίτια μεγίστη ἑορτὴ ἐν Κυρήνῃ, ἐν ᾗ ὁ ἱερεὺς τοῦ Ἀπόλλωνος (ἐνιαύσιος δ᾽ ἐστὶ) δειπνίζει τοὺς πρὸ αὐτοῦ ἱερευσαμένους, καὶ παρατίθησιν ἑκάστῳ τρύβλιον, τοῦτο δ᾽ ἐστὶ κεραμεοῦν ἄγγος ἐπιδεχόμενον ὡς

εἴκοσιν ἀρτάβας· ἐν ᾧ πολλὰ μὲν τῶν ἀγριμαίων
ἔγκειται πεπονημένα, πολλὰ δὲ σῖτα, καὶ τῶν ἡμέρων
ὀρνίθων ἔτι δὲ θαλαττίων ἰχθύων ταρίχους τε ξενι-
550 κοῦ πλείονα γένη· πολλάκις δέ τινες καὶ καθάρειον
ἀκολουθίσκον προσδιδόασιν. ἡμεῖς δὲ περιειλόμεθα
τὰ τοιαῦτα, φιάλας δ' ὁλαργύρους κατασκευάσαντες,
τὸ τίμημα ἔχουσαν ἑκάστην ἧς προειρήκαμεν δαπά-
νης, ἵππον τε κατεσκευασμένον σὺν ἱπποκόμῳ καὶ
φαλάροις διαχρύσοις ἐδώκαμεν καὶ παρεκαλέσαμεν
ἕκαστον ἐπὶ αὐτοῦ καθεσθέντα οἴκαδ' ἀπιέναι.' εἰς
πάχος δ' ἐπεδεδώκει καὶ ὁ υἱὸς αὐτοῦ Ἀλέξανδρος,
ὁ τὴν ἑαυτοῦ μητέρα ἀποκτείνας συμβασιλεύουσαν
b αὐτῷ. φησὶ γοῦν περὶ αὐτοῦ Ποσειδώνιος ἐν τῇ
ἑβδόμῃ καὶ τεσσαρακοστῇ τῶν ἱστοριῶν οὕτως 'ὁ δὲ
τῆς Αἰγύπτου δυνάστης μισούμενος μὲν ὑπὸ τῶν
ὄχλων, κολακευόμενος δὲ ὑπὸ τῶν περὶ αὐτόν, ἐν
πολλῇ δὲ τρυφῇ ζῶν, οὐδὲ πατεῖν οἷός τ' ἦν εἰ μὴ
δυσὶν ἐπαπερειδόμενος ἐπορεύετο. εἰς δὲ τὰς ἐν τοῖς
συμποσίοις ὀρχήσεις ἀπὸ μετεώρων κλινῶν καθαλ-
λόμενος ἀνυπόδητος συντονωτέρας αὐτὰς τῶν ἠσκη-
κότων ἐποιεῖτο.'

74. Ἀγαθαρχίδης δ' ἐν τῇ ἑκκαιδεκάτῃ Εὐρω-
πιακῶν Μάγαν φησὶ τὸν Κυρήνης βασιλεύσαντα ἔτη
c πεντήκοντα ἀπολέμητον γενόμενον καὶ τρυφῶντα
κατάσαρκον γενέσθαι ἐκτόπως τοῖς ὄγκοις κατὰ τὸν
ἔσχατον καιρὸν καὶ ὑπὸ τοῦ πάχους ἀποπνιγῆναι δι'
ἀργίαν σώματος καὶ τὸ προσφέρεσθαι πλῆθος τροφῆς.
παρὰ δὲ Λακεδαιμονίοις ὁ αὐτὸς ἱστορεῖ διὰ τῆς
ἑβδόμης καὶ εἰκοστῆς οὐ τῆς τυχούσης ἀδοξίας νομί-
ζεσθαι, εἴ τις ἢ τὸ σχῆμα ἀνανδρότερον ἔχων ἢ τὸν
ὄγκον τοῦ σώματος προπετὴς ἐφαίνετο, γυμνῶν κατὰ
δέκα ἡμέρας παρισταμένων τοῖς ἐφόροις τῶν νέων.

*καθεώρων δὲ οἱ ἔφοροι καὶ καθ' ἑκάστην ἡμέραν καὶ τὰ περὶ τὴν ἔνδυσιν καὶ τὴν στρωμνὴν τῶν νέων,* d *εἰκότως· καὶ γὰρ ὀψοποιοὶ ἦσαν παρὰ Λακεδαιμονίοις κρέως σκευασίας, ἄλλου δ' οὐδενός. κἀν τῇ δ' ἑβδόμῃ εἰκοστῇ ὁ Ἀγαθαρχίδης ἔφη ὡς Λακεδαιμόνιοι Ναυκλείδην τὸν Πολυβιάδου, παντελῶς ὑπερσαρκοῦντα τῷ σώματι καὶ παχὺν διὰ τρυφὴν γενόμενον, καταβιβάσαντες εἰς μέσην τὴν ἐκκλησίαν, καὶ Λυσάνδρου πολλὰ ὀνειδίσαντος ἐν τῷ κοινῷ ὡς τρυφῶντι, παρ' ὀλίγον ἐξέβαλον ἐκ τῆς πόλεως, ἀπειλήσαντες τοῦτο ποιήσειν, εἰ μὴ τὸν βίον ἐπανορθώσαιτο. εἰπόντος τοῦ Λυσάνδρου ὅτι καὶ Ἀγησίλαος,* e *ὅτε διέτριβε περὶ τὸν Ἑλλήσποντον πολεμῶν τοῖς βαρβάροις, ὁρῶν τοὺς Ἀσιαγενεῖς ταῖς μὲν στολαῖς πολυτελῶς ἠσκημένους, τοῖς σώμασι δ' οὕτως ἀχρείους ὄντας, γυμνοὺς πάντας ἐκέλευσε τοὺς ἁλισκομένους ἐπὶ τὸν κήρυκα ἄγειν, καὶ χωρὶς πωλεῖν τὸν τούτων ἱματισμόν, ὅπως οἱ σύμμαχοι γιγνώσκοντες διότι πρὸς μὲν ἆθλα μεγάλα πρὸς δ' ἄνδρας εὐτελεῖς ὁ ἀγὼν συνέστηκε, προθυμότερον ταῖς ψυχαῖς ὁρμῶσιν ἐπὶ τοὺς ἐναντίους. καὶ Πύθων δ' ὁ Βυζάντιος* f *ῥήτωρ, ὡς Λέων ἱστορεῖ ὁ πολίτης αὐτοῦ, πάνυ ἦν παχὺς τὸ σῶμα· καὶ Βυζαντίοις ποτὲ στασιάζουσι πρὸς ἀλλήλους τοῖς πολίταις παρακαλῶν εἰς φιλίαν ἔλεγεν, ὁρᾶτέ με, ἄνδρες πολῖται, οἷός εἰμι τὸ σῶμα· ἀλλὰ καὶ γυναῖκα ἔχω πολλῷ ἐμοῦ παχυτέραν. ὅταν οὖν ὁμονοῶμεν, καὶ τὸ τυχὸν ἡμᾶς σκιμπόδιον δέχεται, ἐὰν δὲ στασιάσωμεν, οὐδὲ ἡ σύμπασα οἰκία.'*

75. *πόσῳ οὖν κάλλιόν ἐστιν, ἀγαθὲ Τιμόκρατες, πενόμενον εἶναι λεπτότερον ὧν καταλέγει Ἕρμιππος* 551 *ἐν Κέρκωψιν ἢ ὑπερπλουτοῦντα τῷ ταναγραίῳ Κητεῖ ἐοικέναι, καθάπερ οἱ προειρημένοι ἄνδρες. φησὶ δ'*

οὕτως ὁ Ἕρμιππος πρὸς τὸν Διόνυσον τὸν λόγον ποιούμενος

οἱ γὰρ πενόμενοι
ἀνάπηρά σοι θύουσιν ἤδη βούδια,
Λεωτροφίδου λεπτότερα καὶ Θουμάντιδος.

καὶ Ἀριστοφάνης δὲ ἐν Γηρυτάδῃ λεπτοὺς τούσδε καταλέγει, οὓς καὶ πρέσβεις ὑπὸ τῶν ποιητῶν φησὶν b εἰς ᾅδου πέμπεσθαι πρὸς τοὺς ἐκεῖ ποιητὰς λέγων οὑτωσί

καὶ τίς νεκρῶν κευθμῶνα καὶ σκότου πύλας
ἔτλη κατελθεῖν; Β. ἕν' ἀφ' ἑκάστης τῆς τέχνης
εἱλόμεθα κοινῇ γενομένης ἐκκλησίας,
οὓς ᾖσμεν ὄντας ᾀδοφοίτας καὶ θαμὰ
ἐκεῖσε φιλοχωροῦντας. Α. εἰσὶ γάρ τινες
ἄνδρες παρ' ὑμῖν ᾀδοφοῖται; Β. νὴ Δία
μάλιστά γ', ὥσπερ θρᾳκοφοῖται. πάντ' ἔχεις.
Α. καὶ τίνες ἂν εἶεν; Β. πρῶτα μὲν Σαννυρίων
c ἀπὸ τῶν τρυγῳδῶν· ἀπὸ δὲ τῶν τραγικῶν χορῶν
Μέλητος· ἀπὸ δὲ τῶν κυκλίων Κινησίας.

εἶθ' ἑξῆς φησίν

ὡς σφόδρ' ἐπὶ λεπτῶν ἐλπίδων ὠχεῖσθ' ἄρα·
τούτους γάρ, ἤν ποτ' ὀξὺς ἔλθῃ, ξυλλαβὼν
ὁ τῆς διαρροίας ποταμὸς οἰχήσεται.

περὶ δὲ τοῦ Σαννυρίωνος καὶ Στράττις ἐν Ψυχασταῖς φησί

Σαννυρίωνος σκυτίνην ἐπικουρίαν.

περὶ δὲ Μελήτου αὐτὸς ὁ Σαννυρίων ἐν Γέλωτι λέγει οὕτως

Μέλητον τὸν ἀπὸ Ληναίου νεκρόν.

d 76. ἦν δ' ὄντως μακρότατος καὶ λεπτότατος ὁ Κινησίας, εἰς ὃν καὶ ὅλον δρᾶμα γέγραφε Στράττις, Φθιώτην Ἀχιλλέα αὐτὸν καλῶν, διὰ τὸ ἐν τῇ αὐτοῦ

ποιήσει συνεχῶς τὸ Φθιῶτα λέγειν. παίζων οὖν εἰς
τὴν ἰδέαν αὐτοῦ ἔφη, Φθιῶτ' Ἀχιλλεῦ. ἄλλοι δ'
αὐτόν, ὡς καὶ Ἀριστοφάνης, πολλάκις εἰρήκασι φι-
λύρινον Κινησίαν, διὰ τὸ φιλύρας τοῦ ξύλου λαμβά-
νοντα σανίδα συμπεριζώννυσθαι, ἵνα μὴ κάμπτηται
διά τε τὸ μῆκος καὶ τὴν ἰσχνότητα. ὅτι δὲ ἦν ὁ Κινη-
σίας νοσώδης καὶ δεινὸς τἆλλα Λυσίας ὁ ῥήτωρ ἐν
τῷ ὑπὲρ Φανίου παρανόμων ἐπιγραφομένῳ λόγῳ e
εἴρηκε, φάσκων αὐτὸν ἀφέμενον τῆς τέχνης συκο-
φαντεῖν καὶ ἀπὸ τούτου πλουτεῖν. ὅτι δὲ ὁ ποιητής
ἐστι καὶ οὐχ ἕτερος, σαφῶς αὐτὸς ὢν σημαίνεται ἐκ
τοῦ καὶ ἐπὶ ἀθεότητι κωμῳδούμενον ἐμφανίζεσθαι
καὶ διὰ τοῦ λόγου τοιοῦτον δείκνυσθαι. λέγει δ'
οὕτως ὁ ῥήτωρ 'θαυμάζω δὲ εἰ μὴ βαρέως φέρετε ὅτι
Κινησίας ἐστὶν ὁ τοῖς νόμοις βοηθός, ὃν ὑμεῖς πάν-
τες ἐπίστασθε ἀσεβέστατον ἁπάντων καὶ παρανομώ-
τατον ἀνθρώπων γεγονέναι. οὐχ οὗτός ἐστιν ὁ τοι-
αῦτα περὶ θεοὺς ἐξαμαρτάνων ἃ τοῖς μὲν ἄλλοις f
αἰσχρόν ἐστι καὶ λέγειν, τῶν κωμῳδοδιδασκάλων δ'
ἀκούετε καθ' ἕκαστον ἐνιαυτόν; οὐ μετὰ τούτου
ποτὲ Ἀπολλοφάνης καὶ Μυσταλίδης καὶ Λυσίθεος
συνειστιῶντο, μίαν ἡμέραν ταξάμενοι τῶν ἀποφρά-
δων, ἀντὶ νουμηνιαστῶν κακοδαιμονιστὰς σφίσιν
αὐτοῖς τοὔνομα θέμενοι πρέπον μὲν ταῖς αὑτῶν
τύχαις; οὐ μὴν ὡς τοῦτο διαπραττόμενοι τὴν διάνοιαν
ἔσχον, ἀλλ' ὡς καταγελῶντες τῶν θεῶν καὶ τῶν νό-
μων τῶν ἡμετέρων. ἐκείνων μὲν οὖν ἕκαστος ἀπώ- 552
λετο ὥσπερ εἰκὸς τοὺς τοιούτους. τοῦτον δὲ τὸν ὑπὸ
πλείστων γινωσκόμενον οἱ θεοὶ οὕτως διέθεσαν ὥστε
τοὺς ἐχθροὺς αὐτὸν βούλεσθαι ζῆν μᾶλλον ἢ τεθνά-
ναι παράδειγμα τοῖς ἄλλοις, ἵν' ἴδωσιν ὅτι τοῖς λίαν
ὑβριστικῶς πρὸς τὰ θεῖα διακειμένοις οὐκ εἰς τοὺς

παῖδας ἀποτίθενται τὰς τιμωρίας, ἀλλ' αὐτοὺς κακῶς ἀπολλύουσι, μείζους καὶ χαλεπωτέρας καὶ τὰς συμ- b φορὰς καὶ τὰς νόσους ἢ τοῖς ἄλλοις ἀνθρώποις προσβάλλοντες. τὸ μὲν γὰρ ἀποθανεῖν ἢ καμεῖν νομίμως κοινὸν ἅπασιν ἡμῖν ἐστί, τὸ δ' οὕτως ἔχοντα τοσοῦτον χρόνον διατελεῖν καὶ καθ' ἑκάστην ἡμέραν ἀποθνήσκοντα μὴ δύνασθαι τελευτῆσαι τὸν βίον τούτοις μόνοις προσήκει τοῖς τὰ τοιαῦτα ἅπερ οὗτος ἐξημαρτηκόσιν.' περὶ μὲν οὖν Κινησίου ταῦτα ὁ ῥήτωρ εἴρηκεν.

77. λεπτότατος δ' ἦν καὶ Φιλητᾶς ὁ Κῷος ποιητής, ὃς καὶ διὰ τὴν τοῦ σώματος ἰσχνότητα σφαίρας ἐκ μολύβου πεποιημένας εἶχε περὶ τὼ πόδε, ὡς μὴ ὑπ' ἀνέμου ἀνατραπείη. Πολέμων δ' ὁ περιηγητὴς c ἐν τῷ περὶ θαυμασίων Ἀρχέστρατόν φησι τὸν μάντιν ἁλόντα ὑπὸ τῶν πολεμίων καὶ ἐπὶ ζυγὸν ἀναβληθέντα ὀβολοῦ ὁλκὴν εὑρεθῆναι ἔχοντα, οὕτως ἦν ἰσχνός. ὁ δ' αὐτὸς ἱστορεῖ ὡς καὶ Πανάρετος ἰατρῷ μὲν οὐδενὶ ὡμίλησεν, Ἀρκεσιλάου δὲ ἠκροᾶτο τοῦ φιλοσόφου, καὶ ὅτι συνεγένετο Πτολεμαίῳ τῷ εὐεργέτῃ τάλαντα δώδεκα τὸν ἐνιαυτὸν λαμβάνων· ἦν δὲ ἰσχνότατος, ἄνοσος διατελέσας. Μητρόδωρος δ' ὁ Σκήψιος ἐν δευτέρῳ περὶ ἀλειπτικῆς Ἱππώνακτα τὸν d ποιητὴν οὐ μόνον μικρὸν γενέσθαι τὸ σῶμα ἀλλὰ καὶ λεπτόν, ἀκρότονον δ' οὕτως ὡς πρὸς τοῖς ἄλλοις καὶ κενὴν λήκυθον βάλλειν μέγιστόν τι διάστημα, τῶν ἐλαφρῶν σωμάτων διὰ τὸ μὴ δύνασθαι τὸν ἀέρα τέμνειν οὐκ ἐχόντων βιαίαν τὴν φοράν. λεπτὸς δ' ἦν καὶ Φιλιππίδης, καθ' οὗ λόγος ἐστὶν Ὑπερείδῃ τῷ ῥήτορι λέγων αὐτὸν ἕνα τῶν πολιτευομένων εἶναι. ἦν δ' εὐτελὴς τὸ σῶμα διὰ λεπτότητα, ὡς ὁ Ὑπερείδης ἔφη. Ἄλεξίς τ' ἐν Θεσπρωτοῖς φησίν

Ἑρμῆ νεκρῶν προπομπὲ καὶ Φιλιππίδου
κληροῦχε, νυκτός τ' ὄμμα τῆς μελαμπέπλου. e

καὶ Ἀριστοφῶν Πλάτωνι

ἐν ἡμέραις τρισὶν
ἰσχνότερον αὐτὸν ἀποφανῶ Φιλιππίδου.
Β. οὕτως ἐν ὀλίγαις ἡμέραις νεκροὺς ποιεῖς;

Μένανδρος δ' ἐν Ὀργῇ

ὁ λιμὸς ὑμῖν τὸν καλὸν τοῦτον δακὼν
Φιλιππίδου λεπτότερον ἀποδείξει νεκρόν.

ὅτι δὲ καὶ πεφιλιππιδῶσθαι ἔλεγον τὸ λελεπτύνθαι Ἄλεξις ἐν Μανδραγοριζομένῃ φησί

κακῶς ἔχεις, ὦ Στρούθι', ἀκαρὴς νὴ Δία
πεφιλιππίδωσαι. Β. μὴ σὺ καινῶς μοι λάλει. f
ὅσον οὐ τέθνηκα. Α. τοῦ ταλαιπώρου πάθους.

πολλῷ οὖν κάλλιόν ἐστι τοιοῦτόν τινα εἶναι τὴν ἰδέαν ἢ ὥς φησιν Ἀντιφάνης ἐν Αἰόλῳ

τοῦτον οὖν
δι' οἰνοφλυγίαν καὶ πάχος τοῦ σώματος
ἀσκὸν καλοῦσι πάντες οὑπιχώριοι.

Ἡρακλείδης δὲ ὁ Ποντικὸς ἐν τῷ περὶ ἡδονῆς Δεινίαν φησὶ τὸν μυροπώλην διὰ τρυφὴν εἰς ἔρωτα ἐμπεσόντα καὶ πολλὰ χρήματα ἀναλώσαντα, ὡς ἔξω τῶν ἐπιθυμιῶν ἐγένετο, ὑπὸ λύπης ἐκταραχθέντα ἐκτεμεῖν αὐτοῦ τὰ αἰδοῖα, ταῦτα πάντα ποιούσης τῆς 553 ἀκολάστου τρυφῆς.

78. ἔθος δ' ἦν Ἀθήνησι καὶ τοὺς πόδας τῶν τρυφώντων ἐναλείφειν μύροις, ὡς Κηφισόδωρος μὲν ἐν Τροφωνίῳ φησίν

ἔπειτ' ἀλείφεσθαι τὸ σῶμά μοι πρίω
μύρον ἴρινον καὶ ῥόδινον· ἄγαμαι, Ξανθία·
καὶ τοῖς ποσὶν χωρὶς πρίω μοι βάκχαριν.

Εὔβουλος δ' ἐν Σφιγγοκαρίωνι

ἐν θαλάμῳ μαλακῶς κατακείμενον. ἐν δὲ κύ-
κλῳ νιν
παρθενικαὶ τρυφεραὶ χλιδαναὶ μάλα καὶ κατά-
θρυπτοι
τὸν πόδ' ἀμαρακίνοισι μύροις τρίψουσι τὸν
ἐλλόν.

b ἐν δὲ Πρόκριδι λέγει τις πῶς δεῖ ἐπιμελεῖσθαι τοῦ τῆς Πρόκριδος κυνός, ὡς περὶ ἀνθρώπου τοῦ κυνὸς τὸν λόγον ποιούμενος

οὐκοῦν ὅπως στορεῖτε μαλακῶς τῷ κυνί·
κάτω μὲν ὑποβαλεῖτε τῶν μιλησίων
ἐρίων, ἄνωθε δ' ἐπιβαλεῖτε ξυστίδα.
Β. Ἄπολλον. Α. εἶτα χόνδρον αὐτῷ δεύσετε
γάλακτι χηνός. Β. Ἡράκλεις. Α. καὶ τοὺς πόδας
ἀλείψετ' αὐτοῦ τῷ μεγαλλείῳ μύρῳ.

Ἀντιφάνης δὲ ἐν μὲν Ἀλκήστιδι ἐλαίῳ τινὰ ποιεῖ
c χριόμενον τοὺς πόδας. ἐν δὲ Μητραγύρτῃ φησί

τήν τε παῖδ' ἀλείμματα
παρὰ τῆς θεοῦ λαβοῦσαν εἶτα τοὺς πόδας
ἐκέλευ' ἀλείφειν πρῶτον, εἶτα τὰ γόνατα.
ὡς θᾶττον ἡ παῖς δ' ἥψατ' αὐτοῦ τῶν ποδῶν
ἔτριψέ τ', ἀνεπήδησεν.

καὶ ἐν Ζακυνθίῳ

εἶτ' οὐ δικαίως εἰμὶ φιλογύνης ἐγὼ
καὶ τὰς ἑταίρας ἡδέως πάσας ἔχω;
τουτὶ γὰρ αὐτὸ πρῶτον ὃ σὺ ποιεῖς παθεῖν,
μαλακαῖς καλαῖς τε χερσὶ τριφθῆναι πόδας,
d πῶς οὐχὶ σεμνόν ἐστι;

καὶ ἐν Θορικίοις

λοῦται δ' ἀληθῶς· ἀλλὰ τί;
ἐκ χρυσοκολλήτου δὲ κάλπιδος μύρῳ
αἰγυπτίῳ μὲν τοὺς πόδας καὶ τὰ σκέλη,

φοινικίνῳ δὲ τὰς γνάθους καὶ τιτθία,
σισυμβρίνῳ δὲ τὸν ἕτερον βραχίονα,
[μελιλωτίνῳ δὲ τὸν ἕτερον καὶ τὰ σφυρά,]
ἀμαρακίνῳ δὲ τὰς ὀφρῦς καὶ τὴν κόμην,
ἑρπυλλίνῳ δὲ τὸ γόνυ καὶ τὸν αὐχένα.

Ἀναξανδρίδης δ' ἐν Πρωτεσιλάῳ

μύρῳ δὲ παρὰ Πέρωνος, οὗπερ ἀπέδοτο
ἐχθὲς Μελανώπῳ πολυτελοῦς αἰγυπτίου, e
ᾧ νῦν ἀλείφει τοὺς πόδας Καλλιστράτου.

καὶ τὸν ἐπὶ Θεμιστοκλέους δὲ βίον Τηλεκλείδης ἐν Πρυτάνεσιν ἁβρὸν ὄντα παραδίδωσι. Κρατῖνος δ' ἐν Χείρωσι τὴν τρυφὴν ἐμφανίζων τὴν τῶν παλαιτέρων φησίν

ἁπαλὸν δὲ σισύμβριον ἢ ῥόδον ἢ κρίνον παρ' οὖς ἐθάκει·
μετὰ χερσὶ δὲ μῆλον . . . ἔχων σκίπωνά τ' ἠγόραζον.

79. Κλέαρχος δ' ὁ Σολεὺς ἐν τοῖς Ἐρωτικοῖς 'διὰ τί (φησὶ) μετὰ χεῖρας ἄνθη καὶ μῆλα καὶ τὰ τοιαῦτα φέρομεν; πότερον ὅτι καὶ διὰ τῆς τούτων ἀγαπήσεως ἡ φύσις μηνύει τοὺς τῆς ὥρας ἔχοντας τὴν ἐπιθυ- f μίαν; διὰ τοῦτο οὖν οἱονεὶ δεῖγμα τῆς πέψεως τὰ ὡραῖα μετὰ χεῖρας ἔχουσι καὶ χαίρουσιν αὐτοῖς; ἢ δυοῖν χάριν ταῦτα περιφέρουσιν; ἀρχή τε γὰρ ἐντυχίας καὶ παράδειγμα τῆς βουλήσεως αὐτοῖς γίνεται διὰ τούτων, αἰτηθεῖσι μὲν τῷ προσαγορευθῆναι, δοῦσι δὲ τῷ ὑπογράφειν ὅτι δεῖ καὶ αὐτοὺς μεταδιδόναι τῆς ὥρας. ἡ γὰρ τῶν ὡραίων ἀνθῶν καὶ καρπῶν αἴτησις εἰς ἀντίδοσιν τῆς τοῦ σώματος ὥρας 554 προκαλεῖται τοὺς λαβόντας. ἢ τὴν τούτων ὥραν παραψυχὴν καὶ παραμυθίαν τῆς ἐπὶ τῶν ἐρωμένων ὥρας ταῖς ἐπιθυμίαις χαίροντες ἔχουσιν αὐτοῖς; ἐκκρούεται γὰρ ὑπὸ τῆς τούτων παρουσίας ὁ τῶν ἐρω-

μένων πόθος. εἰ μὴ ἄρα τοῦ περὶ αὐτοὺς κόσμου χάριν, καθάπερ ἄλλο τι τῶν πρὸς καλλωπισμὸν συντεινόντων, ἔχουσί τε ταῦτα καὶ χαίρουσιν αὐτοῖς. οὐ γὰρ μόνον στεφανουμένων τοῖς ὡραίοις ἄνθεσιν ἀλλὰ καὶ μετὰ χεῖρας ἐχόντων τὸ πᾶν εἶδος ἐπι-
b κοσμεῖται. τάχα δ' ἴσως διὰ τὸ φιλοκάλους εἶναι· δηλοῖ δὲ τὸ τῶν καλῶν ἐρᾶν καὶ πρὸς τὰ ὡραῖα φιλικῶς ἔχειν. καλὸν γὰρ ὅτι τὰς ὀπώρας καὶ τὸ τῆς ὥρας ὄντως πρόσωπον ἔν τε καρποῖσι καὶ ἄνθεσι θεωρούμενον. ἢ πάντες οἱ ἐρῶντες οἷον ἐκτρυφῶντες ὑπὸ τοῦ πάθους καὶ ὡριαινόμενοι τοῖς ὡραίοις ἁβρύνονται; φυσικὸν γὰρ δή τι τὸ τοὺς οἰομένους εἶναι καλοὺς καὶ ὡραίους ἀνθολογεῖν. ὅθεν αἵ τε περὶ τὴν Περσεφόνην ἀνθολογεῖν λέγονται καὶ Σαπφώ φησιν ἰδεῖν

ἄνθε' ἀμέργουσαν παῖδ' ἄγαν ἁπαλάν.

c 80. οὕτω δὲ ἐξήρτηντο τῶν ἡδυπαθειῶν οἱ τότε ὡς καὶ καλλιπύγου Ἀφροδίτης ἱερὸν ἱδρύσασθαι ἀπὸ τοιαύτης αἰτίας. ἀνδρὶ ἀγροίκῳ ἐγένοντο δύο καλαὶ θυγατέρες. αὗται φιλονεικήσασαί ποτε πρὸς ἑαυτὰς προελθοῦσαι ἐπὶ τὴν λεωφόρον διεκρίνοντο ποτέρα εἴη καλλιπυγοτέρα. καὶ τότε παριόντος νεανίσκου πατέρα πρεσβύτην ἔχοντος ἐπέδειξαν ἑαυτὰς καὶ τούτῳ· καὶ ὃς θεασάμενος ἔκρινε τὴν πρεσβυτέραν, ἧς καὶ εἰς ἔρωτα ἐμπεσὼν ἐλθὼν εἰς ἄστυ κλινήρης
d γίνεται καὶ διηγεῖται τὰ γεγενημένα τῷ ἀδελφῷ ἑαυτοῦ ὄντι νεωτέρῳ. ὃ δὲ καὶ αὐτὸς ἐλθὼν εἰς τοὺς ἀγροὺς καὶ θεασάμενος τὰς παῖδας ἐρᾷ καὶ αὐτὸς τῆς ἑτέρας. ὁ οὖν πατὴρ ἐπεὶ παρακαλῶν αὐτοὺς ἐνδοξοτέρους λαβεῖν γάμους οὐκ ἔπειθεν, ἄγεται ἐκ τοῦ ἀγροῦ τὰς παῖδας αὐτοῖς πείσας ἐκείνων τὸν πατέρα καὶ ζεύγνυσι τοῖς υἱοῖς. αὗται οὖν ὑπὸ τῶν πολιτῶν

καλλίπυγοι ἐκαλοῦντο, ὡς καὶ ὁ Μεγαλοπολίτης Κερκιδᾶς ἐν τοῖς ἰάμβοις ἱστορεῖ λέγων

ἦν καλλιπύγων ζεῦγος ἐν Συρακούσαις.

αὗται οὖν ἐπιλαβόμεναι οὐσίας λαμπρᾶς ἱδρύσαντο Ἀφροδίτης ἱερὸν καλέσασαι καλλίπυγον τὴν θεόν, e ὡς ἱστορεῖ καὶ Ἀρχέλαος ἐν τοῖς ἰάμβοις.

81. ἐν μανίᾳ δὲ τρυφὴν ἡδίστην γενομένην οὐκ ἀηδῶς ὁ Ποντικὸς Ἡρακλείδης διηγεῖται ἐν τῷ περὶ ἡδονῆς οὕτως γράφων ʽὁ Αἰξωνεὺς Θράσυλλος ὁ Πυθοδώρου διετέθη ποτὲ ὑπὸ μανίας τοιαύτης ὡς πάντα τὰ πλοῖα τὰ εἰς τὸν Πειραιᾶ καταγόμενα ὑπολαμβάνειν ἑαυτοῦ εἶναι, καὶ ἀπεγράφετο αὐτὰ καὶ διῴκει, καὶ ἀπέστελλε καὶ καταπλέοντα ἀπεδέχετο μετὰ χαρᾶς τοσαύτης ὅσης περ ἂν τις ἡσθείη τοσούτων χρημάτων f κύριος ὤν. καὶ τῶν μὲν ἀπολομένων οὐδὲν ἐπεζήτησε, τοῖς δὲ σωζομένοις ἔχαιρε καὶ διῆγε μετὰ πλείστης ἡδονῆς. ἐπεὶ δὲ ὁ ἀδελφὸς αὐτοῦ Κρίτων ἐκ Σικελίας ἐπιδημήσας συλλαβὼν αὐτὸν παρέδωκεν ἰατρῷ καὶ τῆς μανίας ἐπαύσατο, διηγεῖτο . . . οὐδεπώποτε φάσκων κατὰ τὸν βίον ἡσθῆναι πλείονα· λύπην μὲν γὰρ οὐδ᾽ ἡντινοῦν αὐτῷ παραγενέσθαι, τὸ δὲ τῶν ἡδονῶν πλῆθος ὑπερβαλεῖν.᾽